P. 367, 7. Thucydidis verba sunt e cap. 13. libri I.

Prolegomenon p. VII. Villoisono et Tittmanno adde Fabricium Bibl. Gr. VI, p. 190.

P. XI. Mirere ipsum adeo Amadeum Peyronem, exercitatissimum in hoc genere virum, *Theodoreti Episcopi Cyri* scripta quaedam sine ulla, ut videtur, vitii suspicione posuisse in Notit. libror. Valperga-Calus. p. 84.

P. XII. adde Maximi Planudae *ἐκλογήν* apud Tittmannum Praef. ad Zonar. p. XLIII.

P. XVIII. not. Rursus aliter nomen scriptum est in codice Vaticano ap. Bekkerum (Anecd. p. 1081.) *Καλιεργίου τοῦ Κρητός*, paullo autem post *Καλιέργου*.

P. XXVIII. notare oblitus sum, ⁊ subscriptum prorsus Guelferbytanum codicem ignorare.

P. XLV, l. 5. Notationem de *ὄρνιθες* voce suam Thomas sumpsit e Moschopuli Sylloga f. 153. a.

P. LXI. fragmento Aristophanio priori conferantur Aeschyli verba, de quibus ad p. 309, 6. dictum.

P. CIV. l. 9. 20. Si verum est, quod Paschalis Baffii fide Harlesius prodidit in Fabr. Bibl. Gr. V, p. 776. sq., exstare in libro Farnesiano in Aeschyli Agamemnonem scholia Thomae Magistri: (ac certe non oblocutus est Elmsleius in Museo critico Cantabrig. N. VII, p. 457.:) sic statuendum est, ut post compositam demum Eclogam grammaticus credatur illam cum Agamemnone familiaritatem contraxisse. Idemque valere in Pindarica carmina volo.

P. CXII. v. 3. a fine excidit altera Moschopuli notatio haec: *Τὸ ὅταν οἱ μὲν παλαιοὶ διαιροῦσιν, ὅθεν καὶ πνεῦμα καὶ τόνον τιθέασιν, οἱ δὲ νεώτεροι συνημμένως ἐκφέρουσιν, ὥσπερ καὶ τὸ διό καὶ ἐφῷ καὶ πάλαι.* Syll. f. 153. b.

[illegible] Peyrons [illegible] Theodoretus [illegible] J. G. A. L. Z. p. 280.

Ceterum nullam mentionem nugarum Schleusnerianarum feci, quarum gratiam, si quis appetierit, Miscellanea critica facient a Friedemanno et Seebodio edita, vol. I, part. 3, p. 536. Nihil in illis inveni, quin aut ab aliis pridem occupatum sit aut condonandum potius auctori quam commemorandum.

Reliquum esse video, ut cum laude I. Th. Meyeri docti ex auditoribus meis adolescentis curas commemorem, qui et transscripto meum in usum exemplo Romano et praestita in conficiendis indicibus ope, ac praeterea admonitionibus quibusdam haud inutilibus me sibi devinxit.

Scr. Halis Saxonum m. Sextili a. cIↄIↄcccxxxII.

EPIMETRA.

EPIMETRUM I.

Ad p. XXVIII.

Scripturae diversitas libri Basileensis in primis XXII. paginis haec est:

P. 1, 3. τουτῶν ἀδόκιμοι — αὐτοῖς] παρὰ τοῖσ ἀττηκοῖσ ἀδόκεμοι 5. ἐν τὸ εἰσ τὴν κομηδείαν 6. οὖσησ 8. ἄμαθεσ 9. εἰκῶσι 11. μηδάμως

2, 1. αὐτοχειρία αὐτουργία 3. ἀδυνατία 4. δὲ om. παρ'] παρὰ 7. λογόγραφοι 8. εἰσὶν — ἄγευστοι] εἰσιν καὶ ἑλλήνων ἄγευστοι ἀμαθέσ 12. Ἀκεστὴσ — λογογραφικόν ut G. 13. νεκυομαντία 14. σατρὰ τῶν om. 15. μυοβατραχομαχία ut G.

3, 1. ῥάπτησ ῥάπτησ 2. ἀριστοφάνησ — ἠπήσασθαι. καὶ ἀριστείδησ — διαφέροντες ut G. 5. καὶ om. 8. ἀργή] ἀργηὰ 14. Ἀϊδοῦσ κρεῖττον om. 15. ὀσμὴ ut G.

4, 1. χειρὸσ τὰσ τραπέσασ εἰσφέρειν ἀπονενίμμεθ' ἤδη σπένδομεν ἀριστοφάνησ φησι ἐν σφηγξὶ. 5. ἢ] καὶ 7. Ἀρτοκόποσ 9. ἀρτοκόπουσ 10. ἀρτοκόπουσ 11. καὶ πάλιν ἐν τῷ αὐτῷ 12. ἀρτοκόπων. 13. Ἀλεκτρυὼν ἐπὶ ἄρρενοσ 14. ἀλέκτορεσ ἐν τῇ — ἐπιστολῇ om. 15. γὰρ] δὲ

5, 1. ἀλεκτόρια οὐχ — ὅλως] οὐδαμῶς 3. εἶμι om. 5. κατέπεσε. καὶ Πλούταρχοσ περί — φησὶ om. 8. πρῶτον — παρέχεται] πρῶτος ἐλώνυμο γεγονέναι, si aūt apud Herodotū

pro tempore accipitur, sed usus respuit. Non enī quod ab Herodoto dicitur, praebet probationem usus. 12. οὐχ — χρήσει] οὐ ἵνα ἄξωσι ἀπὼ τοῦ ἀορίστου α. καὶ οἱ ἐξ αὐτοῦ ἄχρηστοι δευτέρου ἀόριστοσ χρόνοι ἐν χρήσει. 18. Θουκυ.

P. 6, 2. τοὺς ἀγογοὺσ 4. καὶ — ἐπαγωγὸς] ἀντιπαγωγὸς 6. ἀπήρτηκα 8. ἀλήλιπται κατώρυκται] κατωώρυκται 10. Ἀλκαΐκον — ἀλκαικὸν — τροχαϊκὸν — τροχαικὸν 13. Ἀλιεύομαι οὐκ ἀλιεύω 14. ὑπὼ 16. ἀκροάσματα

7, 2. καὶ om. 3. μέσου μελλοντοσ 5. 6. om. 7. οὐκ οὐκ ἀτειλεύσεται ἀπήμην] ἀπήμι 8. κοινοὶ 9. ἀντὶ ἀντὶ τοῦ φείρεται 10. Φιλόστρατος — σημαινομένων om. 14. ἀλλάσ 16. νυκτῶν οὐκ ἀωρία. ἀρωὶ (ut videtur) τῶν νυκτῶν ἐξανάσταο λοικ. ἐν Δημοσθ ἀγκωμιω 18. Ἀλμαδὲς. ελοῦαι

8, 1. Οἱ om. δεῖ λέγειν om. 2. Ἀλοάσω οὐκ ἀλοήσω 3. Ἀλοίη οὐκ ἀλώη 4. Ἀβασμὸς οὐκ ἀναβαθμὰς 5. μέντοι sine οὐκ, ut G. 6. Ἀριστήδησ ἐν πέμτω 9. κάλλιον om. ἀδόκιμον πάντη] οὐδαμῶσ. 10. καὶ ἀναπεμπάζομαι ἢ ἀναμεμπάζω τὸ ἀναλογίζομαι ἢ ‡ ἢ ἀναπεμπάζω. Σύνέσ. ἐν 13. Ἀνεβαλλόμην οὐχ ὑπερθέμην Ἀριστήδησ 14. ἀνεβάλλου. 15. Ἀνεβαλλόμην ὡσ τὸ Ἀφθονίου καὶ τῶν

9, 1. ἀνεβάλλον το σύντονον ὡσ αὐτὸσ καὶ ἀνεβαλλόμην 4. Ἀριστείδησ ἐν τῷ Παναθηναϊκῷ ut G. γένος] ἔθνοσ ut G. 5. ὁ τῆσ δὲ τῆσ πόλεοσ ἀπείρατον ἔστιν ἐν δ᾽ οἶκον ἐπίκαιρον 9. Λουκιανὸς — ἀντίξους om. 11. οὐκ ἀναψεχ; ῆναι

10, 3. ἐν] ἐν τῇ 4. οὖν om. συνεροῦντα ut G. 9. οὐκ οὐκ 10. Ἀσελγὴσ ἀρσενικῶς, οὐ θηλυκῶσ. 11. 12. om. 13. ἄλλοσε om. ἀλλάχόθι 15. οὐδὲ] οὐκ 17. πληθυντικοῦ] θηλυκοῦ ut G.

P. 11, 1. *Ἀπήλλαξεν — ὁμοίων. καὶ* (l. 5.) om. 5. *μέμψεως*] *μελίψεωσ* 6. *ἀπαλλάττο* 7. *ἐν τῇ πρὸσ τοὺσ Ἀθηναίουσ τῆς πρὸς*] *τῆσ πρὸσ τοὺσ* 8. *εἰρήνης* om. 9. *ὑμᾶσ* ut G. *συνεχέρισαν* 11. *Λακεδαιμονίους* ut G. 13. *ἀροτιᾶν* 15. *οὐχ ἁλιεύεισ* 18. *τῆσδε* om.

12, 1. om. 6. *Καὶ ἀπειπάμην*] *Ἀπειμάπην* 7. *Ἀνυποδίετοσ ἐρεῖς, οὐκ ἀνυπόδητοσ* 8. *Ἀποκτεννῦναι κάλλιον ἢ ἀποκτεννύειν* 9. *ἐν τῇ μελέτῃ τῇ* 10. *ἔχοντεσ γυναίκα* : *ἀνίστο φῇ ὦ κακόδαιμον* 12. *Ἀχθέσομαι* ut G. 14. *Ἀκναπτὸν οὐκ γναφεὺσ*

13, 3. *οἴει* ut G. 5. *κράττομενα* 6. *Ἀττικοὶ* om. 7. *τὸν ἀπολλω τη* 8. *ἀεὶ λέγει*] *ἀφ᾽ ἀρ᾽ λέγοι* 10. *μόνον* om. *μετὰ* om. 11. *οὐ καὶ*] *οὐ καὶ* 12. *Καὶ ἀσταφίς*] *Ἀσταφίσ* 14. *Ἀσυλληπιοῦ μάλ᾽*

14, 10. *τεῖχος ἢ ἔργον* (*φάνωκο φανωκοδόμησα*) *ἀνήγειρα* sed linea transversa iis vocibus inductis, quas *nos* uncis sepsimus. *καὶ* om. 11. *δήμους* (*ον* supra) *ἤγουν*] *ἢ* (*η* supra) 13. *ἐπὶ ἔργον*] *επι τι* 15. *ἁμαρτάνουσιν ἐξήγειρα γὰρ δεῖ* 17. *δοκιμώτερον λέγειν* om. 18. *δειλιῶ*] *ὡσαύτωσ καὶ ἐπ᾽ ἄλλων* add.

15, 1. *τοῦτο* om. 3. *οὐ κατ᾽ ἔτος*] *οὐκ᾽ ἀέτοσ* 4. *ἀμφημερινὸν ἢ καθημερινὸν. να—* 6. *κάλλιστον ὡς αὐτ*ς *καὶ εὐτυχὴσ* 7. *Ἐτὶ δὲ καὶ* 9. *τε* om. 11. *Ἀκκισμὸσ τὸ λεγόμενον* om. *ἤγουν*] *ἤτε* 12. *ἀκκίζομαι* 13. *ἀκκισμὸν* 14. *ἐπιστ. ὁ Ὀδυσσεῦσ* 15. *ἀκκιῇ*

16, 1. *χάλλιον* 5. *ἀλλὰ — κομιζόμενα* om. *Συνέσιος*] *σιοσ* 6. *πολλαῖς ἴυγξι*] *καὶ πολλαῖσ ἰύγξι* 7. *ἐν ἑτέρᾳ ἐπιστολῇ πτολεμαιο ἴδοσ* 11. *Ἀπηγορευμέναι ἡμέραι οὐκ ἐρεῖσ εὕριται* 15. *Ἀργυρα μοιβός οὐκ ολυμπιστήσ δῆλοι*

P. 17, 1. *κατ᾽ ἀλλάκτην ὄν* 2. *ἤγουν] ἢ* *δοκιμάζοντοσ* 3. *ἐν τῇ μελέτῃ τῆσ λάλου* 4. *συκοφαντῆσθαι* 6. *ὡσαυτῶσ* *ἔξω* *τῇδὲ* 7. *τίθεται] τεθεκται* 8. *κινείσεωσ* 10. *ἄει* 12. *ἀνατεθειμένον* (ον above the line) 14. 15. 16. om.

18, 2. *ἐσθήμασιν] ἢ εἰσάπαξ ὑποχωρεῖν τοῖσ πρεσβυτέροις* add. 3. *εἴποισ* 10. *Ἀγχὴ* 11. *ἀττικῶν δηλοῖ, δὲ τὸ* 12. *διὰ* 13. *κάλλιον καὶ ἐγκραγεῖν* 14. *δάπιδη* *καὶ* om.

19, 3. *Ἀριστήδησ ἐν ἢ ἐν δῶ* 4. *νόμο* 5. *ἀναθῆναι* 6. *ἀναθεῖναι* 8. *Ἀνεμᾶν λέλε ἐπὶ* *ἀνελελεκειν* 10. *ὑπονέμιον* 11. *Τὸ ἅττα] Ἄττα* *ἄτινα* 13. *ἄττ᾽ ἂν βούλομαι*

20, 1. *καὶ ἔπετε ἀεί. ἐπεχοὲν ὡσ τὸ* (nisi quidem illud *ἔπεται μὲν* esse voluit librarius.) 2. *ἕτερα ττα καὶ πόσσ᾽ ἄττα* 3. *πλάττωνοσ* 8. *Ἀφηλικεστέρα* 9. *οὗ] τοῦ* *ἀφήλιξ* 14. *ἐλάμβετο*

21, 2. *παρ᾽ Ἀριστοφάνει] Ἀριστοφανῆσ* 4. *Λιαὶσ Πλούταρχος — ἀτενῶς* (l. 6.)] *πλούταρχοσ.* (*ἀτενοῦσ*) *ἀτενὲσ καὶ ἀτενὼσ* linea inducto *ἀτενοῦσ*, quod nos uncis signavimus. 7. *δαέλου* 8. *ἐλόκει* 9. *εἰς] ὡσ* ut Lb. 10. *καὶ* om. 12. *καὶ — μερισμός* om. 14. 15. om. 16. *Καὶ ἀναλέγομαι] Ἀναλέγομαι* 17. *καὶ ἐκλέγω δὲ* 19. *μόνα* om.

22, 1. *δὲ* om. *ἀπολέγω] ἀπολέξαι.* 3. *ἐπὶ λέγομαι* 6. *μόνον* 7. *δεῖναι* 8. *συγκεχωρηκὸς] συγχώρηκα* 9. *τουτοῦτον* 16. *τὸ μὲν* 17. *ῥιπτειν* 18. *τεθνεώτων τὰ ὀστὰ ἀνέλοντεσ ἐξέβασον.*

EPIMETRUM II.

Ad p. LVII.

Manuelis Moschopuli Erotemata qualia in codice Gudiano 112. habeantur, cognosci cum minimo chartarum dispendio sic potest, ut conferantur cum grammatico Bambergensi (h. e. ipso Moschopulo), quem Etymologico Gudiano Sturzius adiecit p. 669. sqq., et suis locis cum Theodosio Goettlingii Dionysioque Bekkeri. Sed initium tamen placet integrum ponere infra.

. . : . . . . . *εἰς χ[ρόνους,] εἰς πνεύματα, καὶ εἰς πάθη. καὶ διατί εἰς τέσσαρα; διότι καὶ ὁ τέταρτος ἀριθμὸς γεννητικός ἐστι τοῦ δεκάτου. καὶ πῶς ἐστὶ γεννητικὸς δεκάτου; μετρεῖς ἀπὸ τοῦ πρώτου ἕως τοῦ τετάρτου, καὶ τελειοῦται ὁ δέκατος ἀριθμός. καὶ πῶς μετρεῖς; μία καὶ δύο τρεῖς, δὶς τρεῖς ἕξ, μεθ' ὧν τέσσαρες, καὶ ἰδοὺ δέκα. πόσαι κυρίως προσῳδίαι; ἑπτά. ἡ δὲ ἀπόστροφος, ἡ ὑφὲν καὶ ἡ ὑποδιαστολὴ οὐκ εἰσὶ κυρίως προσῳδίαι, ἀλλὰ καταχρηστικῶς. πόσοι τόνοι; τρεῖς, ὀξὺς, βαρὺς, περισπώμενος. πόσοι τόνοι κυρίως; [β'.] ἡ γὰρ βαρεῖα συλλαβικὸς τόνος ἐστὶ, καὶ οὐ κυρίως. πόθεν τόνος; παρὰ τὸ τείνειν τὴν φωνήν. διατί εἰσὶ τρεῖς τόνοι; διότι καὶ τρεῖς τρόποι εἰσὶ τῶν τεινόντων ἑαυτοὺς πρὸς δρομόν· εἰ γὰρ ὀρθῶς τις τρέχει, καὶ μιμεῖται τὴν ὀξεῖαν, εἰ κεκυφότως, καὶ μιμεῖται τὴν βαρεῖαν, εἰ ἡνιοχευτικῶς, μιμεῖται τὴν περισπωμένην. πόσα εἴδη τῶν προσῳδιῶν; πάθη, τόνοι, χρόνοι, πνεύματα. τί ἐστὶ τόνος; ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα. τί ἐστὶ ὀξεῖα; ποιότης συλλαβῆς τεταμένον ἔχουσα φθόγγον. τί ἐστὶ βαρεῖα; ποιότης συλλαβῆς, κεκλασμένον ἔχουσα φθόγγον. τί ἐστὶ περισπωμένη; ποιότης συλλαβῆς συνηγμένον ἔχουσα φθόγγον. πόθεν ὠνόμασται ὀξεῖα; ἐκ μεταφορᾶς τῶν ὀξέων ἢ* (in marg. *δοράτων*) *διὰ τὸ τοὺς ὀξεῖς ἥλους μιμεῖσθαι. πόθεν ὠνόμασται βαρεῖα; ἐκ μεταφορᾶς τῶν τὰ φορτικὰ βασταζόντων, καὶ εὐθεῖαν τρίβον ἀνιόντων. πόθεν ὠνόμασται περισπωμένη; ἐκ τοῦ περικεκλᾶσθαι καὶ συναιρεῖσθαι οἱονεὶ συνήρεσίς* (sic) *τις οὖσα. πόσοι τρόποι τῆς ὀξείας; τρεῖς, ὀξύτονος, παροξύτονος, καὶ προπαροξύτονος. ποῖον ἐστὶν ὀξύτονον ὄνομα; τὸ ἐπὶ τέλους ἔχον τὴν ὀξεῖαν. οἷον· καλός, σοφός, δυνα–*

τός. ποῖον παροξύτονον; τὸ πρὸ μιᾶς συλλαβῆς τοῦ τέλους ἔχον τὴν ὀξεῖαν. οἷον πέτρος, ἰωάννης. ποῖον προπαροξύτονον; τὸ πρὸ δύο συλλαβῶν τοῦ τέλους ἔχον τὴν ὀξεῖαν· γρηγόριος, βασίλειος. πόσα πνεύματα; δύο· δασὺ καὶ ψιλή (sic). διατί εἰσὶ δύο πνεύματα; διότι ἡ μὲν δασεῖα ἐκ τοῦ θώρακος ἐξέρχεται, ἡ δὲ ψιλὴ ἐξ ἄκρων τῶν χειλέων. καὶ διατοῦτο οὐ προσέσχεν ὁ ποιητὴς περὶ πνεύματος, τῆς φύσεως μὴ ἀπαιτούσης. τί ἐστὶ πνεῦμα; ἐκφορὰ λέξεως ἀθρόως ἢ μετρίως περιλαμβανόμη· τί ἐστὶ δασεῖα; ποίοτης συλλαβῆς ἐκ τοῦ θώρακος ἐξερχομένη. τί ἐστὶ ψιλή; ποιότης συλλαβῆς, καθ' ἣν ἄκροις τοῖς χείλεσι τὸ πνεῦμα προφέρεται. πόσα πάθη· τρία, ἀπόστροφος, ὑφὲν καὶ ὑποδιαστολή. διατί λέγονται πάθη; διὰ τὸ ἐν ταῖς παθητικαῖς λέξεσι τίθεσθαι. τί ἐστὶν ἀπόστροφος; σημεῖον ἐκθλίψεως φωνήεντος. ἀντὶ πόσων φωνηέντων τίθεται ἡ ἀπόστροφος; ἀντὶ τεσσάρων. ἀντὶ τοῦ α, ὡς τὸ ἆρα οὕτως, ἆρ' οὕτως. ἀντὶ τοῦ ε, ὡς τὸ οὔτε εἶδον, οὔτ' εἶδον. ἀντὶ τοῦ ο, ὡς τὸ δεῦρο ἴθι, δεῦρ' ἴθι. ἀντὶ τοῦ ι, ὡς τὸ ἐπὶ ἐμὲ, ἐπ' ἐμέ. τί ἐστὶν ὑφέν; συνάφεια δύο λέξεων εἰς ταὐτὸ συνερχομένων, οἷον ἀρηίφιλος. τί ἐστὶ ὑποδιαστολή; διάστασις συμφώνων ἀμφιβαλλομένη περὶ τὴν σύνταξιν, οἷον, ἔστιν ἄξιος, καὶ ἔστι, νάξιος ἀπὸ τῆς νάξου τῆς νήσου. Atque haec pro se quisque conferat cum grammatico Sturziano p. 672, 19. — 673, 41. Quae sequuntur, iis inscriptum est in codice: *Περὶ τέχνης.* Ex iis notabo, quae a Bambergensi libro discrepant. Versu 42. Gudianus omisit καὶ 43. πᾶσιν] πᾶσι ἀνθρώποις om. 44. ἐγκαταλήψεων 46. βίῳ] add. τί ἐστι σύστημα; τὸ πλῆθος οἱονεὶ ἑκάστου τεχνίτου τὸ ἐργαλεῖον. ἐκ καταλήψεων] ἐγκαταλήψεων; 48. πρίονας] τρύπονον ἀπόξεον 49. ξύλα] add. καὶ ἄλλος ἄλλο. ταῦτα] οὕτω 50. οἱονεὶ τὸ om. 51. δεδοκιμασμένον] add. γυμνάσια γὰρ λέγομεν τὸ εἰς φῶς ἀγαγεῖν. πόθεν — 54. τοῦ τ τέχνη hic om. 674, 2. ζώων] add. πόθεν τέχνη; παρὰ τοῦ τεύχω τὸ κατασκευάζω γίνεται τευχάνη καὶ συγκοπῇ τέχνη. τίς καλεῖται — 7. βάναυσοι om. Sequitur nova inscriptio *Περὶ γραμματικῆς.* 8. δὲ] add. λέγειν καὶ 9. ἡμᾶς 11. γραμματική ἐστιν om. 12. ἐπιπολὺ 13. καὶ] ἢ 14. τί οὖν — 16. γνῶσις om. 17. λέγονται om. ἐφ'] ἀφ' γεγονότα] add. καταλογά-

δην. 20. γίνεται — 23. καταγινομένη om. 23. παρὰ τὸ — 24. γράμμα] παρὰ τὸ γλάπτω τὸ κολαίνω. οἱ γὰρ παλαιοὶ τὰ γράμματα τοῖς λίθοις ἐκόλαινον. 25. τόνος — 28. γράμμα] τόνος, ὁ χαρακτήρ. ἡ ἐπιστολή. τὸ γράμμα. τὸ ζωγράφισμα. τὸ ψήφισμα καὶ τὸ ποίημα. **Pergit Gud.:** *πόσα εἴδη τῆς γραμματικῆς; τέσσαρα· ἀναγνωστικὸν, ἐξηγητικὸν, διορθωτικὸν καὶ κριτικόν. πόσα ὄργανα τῆς γραμματικῆς; τέσσαρα· γλωσσηματικὸν, ἱστορικὸν, μετρικὸν, τεχνικόν. πόσα ὄργανα φωνητικά; τρία· γλῶσσα, ὀδόντες καὶ χείλη. πόσα μέρη τῆς γραμματικῆς; ἕξ. πρῶτον ἀνάγνωσις ἐντριβὴς κατὰ προσῳδίαν. δεύτερον ἐξήγησις κατὰ τοὺς ἐνυπάρχοντας ποιητικοὺς τρόπους. τρίτον γλωσσῶν τε καὶ ἱστοριῶν πρόχειρος ἀπόδοσις. τέταρτον ἐτυμολογίας εὕρεσις. πέμπτον ἀναλογίας ἐκλογισμός. ἕκτον κρίσις ποιημάτων· ὃ δὴ κάλλιστόν ἐστι πάντων ἐν τῇ τέχνῃ. τί ἐστιν ἱστορία; παλαιῶν πράξεων ἀφήγησις. τί ἐστὶ ἐτυμολογία; ἀνάπτυξις τῶν λέξεων, δι' ἧς τὸ ἀληθὲς σαφηνίζεται.* **His, quibus confer Theodos. p. 56., continuat ea, quae sunt apud Sturzium v. 31.** τί τὸ τέλος τῆς γραμματικῆς e. q. s. 34. λέξις] **add.** ἤτοι 35. ἢ] **add.** περὶ 36. ἤγουν ἡ ὕβρις **om.**

39. καὶ ἄλλως — 48. σχῆμα om., pergit autem: πόσα σημαίνει γλῶσσα; τρία· τὸ σῶμα, τὴν διάλεκτον, καὶ τὸ ἀπεξενωμένον τῶν λέξεων. πόσαι διάλεκτοι; πέντε· ἰὰς, ἀτθὶς, δωρὶς, αἰολὶς καὶ κοινή. τί ἐστὶ διάλεκτος; ἰδίωμα γλώττης. **Post novam inscriptionem:** *Περὶ ἀναγνώσεως* **sequuntur, quae apud Sturzium exstant p. 680, 27.** *Τί ἐστιν ἀνάγνωσις;* κατὰ — 28. ἄλλως **om.**

29. προφορά] add. ἄλλως· ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις. 30. γνῶσις 32. διαστολή] add. ἀναγνωστέον γάρ φησι καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν. τί δεικνύεται ἐκ τῆς ὑποκρίσεως; ἡ ἀρετὴ τοῦ ἀναγινώσκοντος καὶ τοῦ ἀναγινωσκομένου. τί δεικνύεται ἐκ τῆς προσῳδίας; ἡ τέχνη τοῦ ἀναγινώσκοντος. τί ἐνορᾶται ἐκ τῆς ὑποδιαστολῆς; ὁ περιεχόμενος νοῦς. πῶς δεῖ τὰς τραγῳδίας ἀναγινώσκειν; ἡρωικῶς. πῶς τὴν κωμῳδίαν; βιωτικῶς. πῶς τὰ ἐλεγεῖα; λιγυρῶς. πῶς τὸ ἔπος; εὐτόνως. τί ἐστὶ τραγῳδία; ἐπιτάφιον ποιητικόν. τί ἐστὶ κωμῳδία; μίμησις πράξεως διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. τί διαφέρει κωμῳδία τραγῳδίας; διαφέρει, ὅτι ἡ μὲν τραγῳδία περὶ ἡρωικῶν προσώπων διαλέ-

γεται καὶ θρήνων, ἡ δὲ κωμῳδία ἀεὶ γελᾷ καὶ ἀπήλλακται τῶν τῆς τραγῳδίας πάντων. ὥστε ἡ μὲν τραγῳδία λύει τὸν βίον, ἡ δὲ κωμῳδία συνίστησι. πόθεν λύρα; παρὰ τὸ λύω, λύτρον τι οὖσα. ὁ γὰρ ἑρμῆς ἐφεῦρε καὶ ἔδωκεν αὐτὴν εἰς λύτρον. Haec, quae cf. cum Theodos. p. 58. sq., sequitur inscriptio *Περὶ τόνου*. Τί ἐστι τόνος; ἀπήχησις φωνῆς ἐναρμονίου. τί ἐστιν ἀπήχησις; ὁ ἦχος καὶ ἡ προφορὰ καὶ ἡ προένεξις. πόθεν τόνος; παρὰ τὸ τείνειν τὴν φωνήν. πόσαι ἀπηχήσεις; τρεῖς· ἢ κατὰ ἀνάτασιν ἐν τῇ ὀξείᾳ, ἢ κατὰ ὁμαλισμὸν ἐν τῇ βαρείᾳ, ἢ κατὰ περίκλασιν ἐν τῇ περισπωμένῃ. τί ἐστι στιγμή; διανοίας ἀπηρτισμένης σημεῖον. πόσαι στιγμαί; τρεῖς· τελεία, μέση, ὑποστιγμή. τί ἐστι τελεία; διανοίας ὁλοκλήρου περιτομή. τί ἐστι μέση; σημεῖον πνεύματος ἕνεκα παραλαμβανόμενον. τί ἐστιν ὑποστιγμή; διανοίας μηδέποτε ἀπηρτισμένης, ἀλλ' ἔτι ἐνδεούσης σημεῖον. τί διαφέρει στιγμὴ ὑποστιγμῆς; χρονικῶς. ἐν μὲν γὰρ στιγμῇ πολὺ τὸ διάστημα, ἐν δὲ τῇ ὑποστιγμῇ παντελῶς ὀλίγον. ἰστέον ὅτι μετὰ τὴν ὑποστιγμὴν εὐθὺς ἡ τελεία, μετὰ δὲ τὴν μέσην πολλάκις ἔσονται πολλαὶ μέσαι. Cf. gramm. Sturz. p. 680, 38 — 59.

Sequitur *Περὶ ῥαψῳδίας*. Ῥαψῳδία ἐστὶ μέρος ποιήματος περιλαβὸν καὶ ἔχον — ἀχιλέως, ἡ β — μονομαχίαν ut ap. Sturz. p. 481, 1 — 4. Deinde sic Gud.: πόθεν ῥαψῳδία; παρὰ [τὸ] ῥάβδος καὶ τὸ ᾠδή, ῥαβδῳδία, καὶ τροπῇ τῶν δύο συμφώνων εἰς ψ ῥαψῳδία. καὶ τί ..... ὅτι φᾶ (sic) δαφνίναις ῥάβδοις περιήρχοντο καὶ ᾖδον τὰ Ὁμήρου ποιήματα. ἄλλως· παρὰ τὸ ῥάπτω τὸ συντίθημι· ὁ μέλλων ῥάψω καὶ ἐξ αὐτοῦ ῥαψῳδία· ὅτι συνεῤῥάφησαν ἐπὶ τοῦ τυράννου τῶν Ἀθηνῶν Πεισιστράτου τὰ Ὁμήρου ποιήματα, τοπρὶν σποράδην καὶ ὡς ἔτυχεν ἀναγινωσκόμενα. τί λέγεται ποίησις, καὶ τί ποίημα; ποίησις μὲν πᾶσα ἡ Ἰλιάς· ποίημα δὲ ἡ ῥαψῳδία.

Novum caput *Περὶ στοιχείων*. Τί ἐστι στοιχεῖον; φωνῆς ἑλληνίδος φθόγγος ἐλάχιστος. ἄλλως· ἡ πρώτη καὶ ἀμερῆς (sic) τοῦ ἀνθρώπου φωνή. πόθεν στοιχεῖον; παρὰ τὸ στείχω, τὸ ἐν τάξει πορεύομαι. (Cf. his gramm. Sturz. p. 678, 43 — 51. et proximis Theodos. p. 3. sqq.) πόσα παρέπεται τῷ στοιχείῳ; τέσσαρα· ὄνομα, σχῆμα, χαρακτήρ, δύναμις. πόσα γράμματα; εἰκοσιτέσσαρα. καὶ πόσα στοιχεῖα; τὰ αὐτὰ καὶ στοιχεῖα καὶ γράμματα.

ματα καλοῦνται. πότε λέγονται γράμματα, καὶ πότε στοιχεῖα; ὅτε μὲν γράφονται, λέγονται γράμματα, ὅτε δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα. πόθεν ἄλφα; παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω, ἐξ οὗ καὶ ἀνδρῶν ἀλφηστάων, τῶν ἐφευρόντων. διατί προτάσσεται πάντων τῶν στοιχείων τὸ α; διότι ἀντιστρέφει ἀφ᾽ ἑαυτοῦ ἀρχόμενον, καὶ εἰς ἑαυτὸ καταλῆγον. **(Proximis cf. gr. St. p. 678, 53 — 679.)** εἰς πόσα διαιροῦνται τὰ εἴκοσι τέσσαρα γράμματα; πρῶτον εἰς δύο, εἰς φωνήεντα καὶ εἰς σύμφωνα. πόσα φωνήεντα; ἑπτά· α. ε. η. ι. ο. υ. ω. καὶ διατί εἰσὶ ἑπτά; κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων, τῶν πλανητῶν τοῦ οὐρανοῦ, ὧν τὰ ὀνόματά εἰσι ταῦτα· ζεὺς, ἄρης, ἥλιος, ἑρμῆς, σελήνη, ἀφροδίτη καὶ ὁ κρόνος. πόθεν φωνῆεν; παρὰ τὸ φῶ τὸ λέγω. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνῆ φωνητί (h. e. φωνήεντα); εἰς τρία· εἰς μακρὰ, εἰς βραχέα καὶ εἰς δίχρονα. πόσα μακρά; δύο, η καὶ ω μέγα. καὶ ποῖον ἐστὶ μακρότερον; τὸ η· ἐπειδὴ οὐδέποτε ἐν τέλει λέξεως κείμενον τρίτην ἀπὸ τέλους ἐπιδέδωκε τὴν ὀξεῖαν. τὸ δὲ ω μέγα κείμενον ἐπὶ τέλους τρίτην ἀπὸ τέλους παρέχει τὴν ὀξεῖαν, οἷον μενέλεως, νικόλεως. πόσα βραχέα; β΄· ἐψιλὸν καὶ ὀμικρόν. καὶ ποῖον ἐστὶ βραχύτερον; τὸ ο· ἐπειδὴ προλαμβάνον τὸ ἰῶτα, καὶ γινόμενον δίφθογγον, τρίτην ἀπὸ τέλους ἐπιδέδωκε τὴν ὀξεῖαν, οἷον κύπριοι. πόσα δίχρονα; τρία· α. ι. υ. διατί λέγονται δίχρονα; διότι ποτὲ μὲν ἐκτείνονται, ποτὲ δὲ συστέλλονται. ἄλλως. εἰς πόσα διαιροῦνται τὰ ἑπτὰ φωνήεντα; εἰς δύο, εἰς προτακτικά καὶ ὑποτακτικά. πόσα προτακτικά; πέντε· α. ε. η. ο. ω. διατί λέγονται προτακτικά; διότι προτασσόμενα τοῦ ι καὶ υ συλλαβὰς ἀποτελεῖ. πόσα ὑποτακτικά; δύο· ι καὶ υ. καὶ τὸ υ δὲ ἐνίοτε προτακτικὸν ἐστὶ τοῦ ι, ὡς ἐν τῷ μυῖα καὶ ἅρπυια. πόσαι δίφθογγοι; ἕξ· $\overline{αι}$. $\overline{αυ}$. $\overline{οι}$. $\overline{ευ}$. $\overline{ει}$. $\overline{ου}$. καὶ ἄλλως. εἰς πόσα διαιροῦνται τὰ φωνήεντα; εἰς δύο· εἰς μεταβολικὰ καὶ ἀμετάβολα. πόσα ἀμετάβολα φωνήεντα; τέσσαρα· η. ι. υ. ω. διατί καλοῦνται ἀμετάβολα; διότι οὐ μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· τὰ αὐτὰ γὰρ εἰσὶ τοῖς τοῦ ἐνεστῶτος ἀρκτικοῖς, οἷον ἡγεμονεύω, ἡγεμόνευον, ἰξεύω, ἴξευον, ὑβρίζω, ὕβριζον, ὠφελῶ, ὠφέλουν. πόσα μεταβολικά; τρία· α. ε. ο. ὧν τὸ μὲν α εἰς η τρέπεται, οἷον ἁγιάζω, ἡγίαζον. τὸ δὲ ο μικρὸν εἰς ω μέγα, οἷον ὀμνύω, ὤμνυον. τὸ δὲ ε ποτὲ μὲν εἰς η τρέπεται, ποτὲ δὲ καὶ τὸ ι προσλαμβάνει· καὶ πάντοτε μὲν εἰς η· ἐλέγχω, ἤλεγχον. πλὴν τῶν δεκατεσσάρων, ὀκτὼ δὲ σύλλαβα (h. e.

δισυλλάβων), τρισυλλάβων ἕξ. τὰ μὲν οὖν δισύλλαβα εἰσὶ ταῦτα· ἔχω εἶχον. ἕλω εἷλον, τὸ λαμβάνω καὶ τὸ φονεύω. ἔθω εἶθον, τὸ ἐξ ἔθους τι διαπράττομαι. ἔπω εἶπον, τὸ λέγω καὶ τὸ ἀκολουθῶ. ἕω εἷον, τὸ ἐνδύομαι, ἐξ οὗ ἐστὶ εἷμα τὸ ἱμάτιον. ἐῶ εἶον, τὸ συγχωρῶ. ἕλκω εἷλκον, τὸ σύρω. ἕρπω εἷρπον, τὸ βαδίζω. τὰ δὲ τρισύλλαβα εἰσὶ ταῦτα. ἐρύω εἴρυον. ἑρπύζω εἵρπυζον. ἐθίζω εἴθιζον. ἑστιῶ εἱστίων, τὸ εὐωχοῦν. ἐργάζομαι εἰργαζόμην. ἑλκύω εἵλκυον. ἥρυον ὁ (h. e. δὲ, ut videtur) τὸ ἤντλουν καὶ ἤσθιον ἀντὶ τοῦ ἔτρωγον ῆ. πόσα σύμφωνα; δεκαεπτά· β. γ. δ. κ. π. τ. θ. φ. χ. ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. διαιροῦνται δὲ ταῦτα εἰς δύο, εἰς ἡμίφωνα καὶ ἄφωνα. πόσα ἡμίφωνα; ὀκτώ· ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. διατί λέγονται ἡμίφωνα; παρόσον ἧττον τῶν φωνηέντων εὔφωνα καθέστηκεν. εἰς πόσα διαιροῦνται τὰ ὀκτὼ ἡμίφωνα; εἰς τρία· εἰς διπλᾶ, εἰς ἀμετάβολα, καὶ εἰς σ ἄσημον. πόσα διπλᾶ; τρία· ζ. ξ. ψ. διατί λέγονται διπλᾶ; διότι ἓν ἕκαστον αὐτῶν ἐκ δύο συμφώνων σύγκειται, τὸ μὲν ζ ἐκ τοῦ σ καὶ δ, τὸ δὲ ξ ἐκ τοῦ κ. σ, τὸ δὲ ψ ἐκ τοῦ π καὶ σ. πόσα ἀμετάβολα; δ. λ. μ. ν. ρ. διατί λέγονται ἀμετάβολα; διότι οὐ μεταβάλλονται ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων οὐδὲ ἐν τοῖς μέλλουσι τῶν ῥημάτων. πῶς οὐ μεταβάλλονται ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων; οἷον· νέστωρ νέστορος, θέων θέωνος. πῶς οὐ μεταβάλλονται ἐν τοῖς μέλλουσι τῶν ῥημάτων; οἷον χαίρω χαρῶ. κρίνω κρινῶ. πόσα ἄφωνα; ἐννέα· β. γ. δ. κ. π. τ. θ. φ. χ. διατί λέγονται ἄφωνα; διότι μᾶλλον τῶν ἄλλων εἰσὶ κακόφωνα, ὥστε ἄφωνον τραγῳδὸν λέγομεν κακόφωνον. εἰς πόσα διαιροῦνται τὰ ἐννέα ἄφωνα; εἰς τρία· εἰς ψιλὰ, εἰς δασέα καὶ εἰς μέσα. πόσα ψιλά; τρία, κ. π. τ. πόσα δασέα; τρία· θ. φ. χ. πόσα μέσα; τρία· β. γ. δ. διατί λέγονται μέσα; διότι τῶν μὲν ψιλῶν ἐστὶ δασύτερα, τῶν δὲ δασέων ψιλότερα. καὶ ἐστὶ τὸ μὲν β μέσον τοῦ π καὶ φ, τὸ δὲ γ μέσον τοῦ κ καὶ χ, τὸ δὲ δ μέσον τοῦ θ καὶ τ. ἀντιστοιχεῖ δὲ τὰ δασέα τοῖς ψιλοῖς, τὸ μὲν φ τῷ π, ὡς τό· ἀλλά μοι εἴφ' ὅπῃ ἔσχες ἰὼν εὐεργέα νῆα· τὸ δὲ χ τῷ κ, ὡς τό· αὐτίχ' ὁ μὲν χλαῖνάν τε χιτῶνά τε ἕννυτο δισσεύς· τὸ μὲν θ τῷ τ, ὡς τό· ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. **His Dionysianis (p. 631. Bekk.) subiunguntur haec, nulla praemissa inscriptione:** *Συλλαβή ἐστι — οἷον α, ν.*, **ut ap. Dionys. 632, 23 — 25., et** *Βραχεῖα συλλαβὴ γίνεται — οἷον ἄρες.*, **ut ibid. 633,**

10 — 13. Sequitur caput *Περὶ μακρᾶς συλλαβῆς*, fere consentiens Dionysio p. 632, 29. sqq., et item consentiens cum p. 633, 17. sqq. *Περὶ κοινῆς συλλαβῆς*. Deinde *Περὶ λέξεως*, nihil fere differens a Walderi epitoma. Sed post *σύνδεσμος* pergit Gud.: *ποσαχῶς ὁ λόγος εἴρηται; ἑπταχῶς. λόγος ἡ αἰτία καὶ ἡ φροντίς· καὶ ὁ ὁρισμός· ὁ θεός· ὁ ἀπόλογος· καὶ λόγος ὁ προφορικός τε καὶ ἐνδιάθετος.* Quae excipiuntur ab illis grammatici Sturziani p. 680, 18 — 25.: *πόσα τελικὰ — οἷον ἄλλο, τοῦτο, ἐκεῖνο.* Proximum caput est *Περὶ ὀνόματος. Τί ἐστιν ὄνομα; μέρος λόγου πτωτικόν — πλάτων*, ut ap. Dionys. 634, 11 — 14., post quae sic pergit Gud.: *ἄλλως· ἑκάστου τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων κοινὴν ἢ ἰδίαν οὐσίαν σημαῖνον. πόθεν ὄνομα; παρὰ τὸ νέμω τὸ μερίζω γίνεται νόμα, καὶ πλεονασμῷ τοῦ ο, ὄνομα. πόσα σημαίνει τὸ νέμω; πέντε· τὸ μερίζω, ἐξ οὗ καὶ νόμος, καὶ ὄνομα τὸ πᾶσι μεμερισμένον. τὸ βόσκω, ἐξ οὗ καὶ νομὴ ἡ βοσκή. τὸ πορεύομαι, ἐξ οὗ καὶ νέμεται τὸ πορεύεται. τὸ μέμφομαι, ἐξ οὗ καὶ νέμεσις ἡ μέμψις. τὸ οἰκῶ, ἐξ οὗ καὶ τό· οἵ θ᾽ ὑρίην τ᾽ ἐνέμοντο καὶ αὐλίδα πετρήεσσαν. ὄνομα τὸ ο μικρόν, διατί; παρὰ ἀναδίπλωσιν διὰ βραχέος ἐκφέρεται εἰς τὸ ο ψιλόν. διατί; τὸ ο πρὸ τοῦ ν ψιλοῦται, ὄνυξ, ὄναρ, ὄνομα. εἰς τὸ ο, ὀξεῖαν. διατί; πρὸ δύο συλλαβῶν περισπωμένη (?) ἐντίθεται. τὸ* $\overline{\text{νο}}$ *μικρόν. διατί; ἐκ τοῦ νέμω. τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν, ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασι. τὸ* $\overline{\text{μα}}$ *βραχύ, διατί; τὰ εἰς α λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ συστέλλει τὸ α καὶ τῷ μ παραλήγεται καὶ διὰ τοῦ* $\overline{\text{τος}}$ *κλίνεται. ὄνομα πόσα σημαίνει; δύο, σῶμα καὶ πρᾶγμα. τί ἐστὶ σῶμα; πᾶν τὸ θεωρούμενον καὶ κρατούμενον ὑπὸ τῆς ἀφ᾽ ῆς (?) τοῦ ἀνθρώπου λέγεται σῶμα, οἷον λίθος, ξύλον. τί ἐστὶ πρᾶγμα; πᾶν τὸ μήτε θεωρούμενον μήτε κρατούμενον ὑπὸ τῆς, ἀφ᾽ ῆς (?) τοῦ ἀνθρώπου λέγεται πρᾶγμα, οἷον θεός, ἄγγελος, ψυχή. διατί προτερεύει τὸ ὄνομα τοῦ ῥήματος; διότι τὸ μὲν ὄνομα οὐσίαν σημαίνει, τὸ δὲ ῥῆμα πρᾶγμα.* Post haec Gud. pergit: *πόσα παρέπεται τῷ ὀνόματι;* quibus cf. Dionys. 634, 15. sqq. Finitur caput his: *τί ἐστιν ἀριθμητικόν; τὸ ἀριθμὸν σημαῖνον, οἷον εἷς, δύο, τρεῖς. τί ἐστι ἀπολελυμένον; ὃ καθ᾽ ἑαυτὸ νοεῖται, οἷον θεός, λόγος, ἄγγελος, ψυχή; τί ἐστι μετουσιαστικόν; τὸ μετέχον οὐσίας τινός, οἷον τίμιος, θεῖνος.*

Proximum caput inscribitur *Περὶ ῥήματος.* ***Τί ἐστὶ*** *ῥῆμα; λέξις ἄπτωτος, ἐπιδεκτικὴ χρόνων τε καὶ προσώπων καὶ ἀριθμῶν, ἐνέργειαν ἢ πάθος παριστῶσα. ἄλλως· λέξις ἄπτωτος ἐν ἰδίοις μετασχηματισμοῖς διαφόρους χρόνους δηλοῦσα μετ᾽ ἐνεργείας ἢ πάθους ἢ οὐδετέρου· καὶ ἐστὶ προσώπων σημαντικὸν, ὅτε καὶ τὰς τῆς ψυχῆς διαθέσεις δηλοῖ. πόθεν ῥῆμα; παρὰ τὸ ῥῶ τὸ λέγω. διατί μετὰ τὸ ὄνομα τὸ ῥῆμα τέτακται; ἐπειδὴ τὰ κυριώτερα τῶν ὀκτὼ μερῶν τοῦ λόγου τὸ ὄνομα καὶ τὸ ῥῆμα ἐστί. πόσα παρέπεται τῷ ῥήματι;* **et quae sequuntur. Finis capitis hic est:** *πόσοι χρόνοι; τρεῖς· ἐνεστώς, παρεληλυθώς, μέλλων. τί ἐστὶ χρόνος; ἡ τῆς αἰωνίου ῥεύσεως ἐπίνοια. ἄλλως· πλατὺς* (*sic*) *ἐνιαυτός, ἢ ἀκαριαῖος. ἅμα γὰρ τῷ βούλεσθαι ἔχει καὶ τὸ εἶναι. πόθεν χρόνος; παρὰ τὸ ῥέω καὶ πλεονασμῷ τοῦ χ χρόνος. τί ἐστὶ ἐνεστὼς χρόνος; ὁ ἐνισταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. τί ἐστὶ παρεληλυθώς; ὁ ἤδη παρελθών. τί ἐστὶ μέλλων; ὁ μήτε γεγονώς. σημείωσαι ὅτι ὁ παρεληλυθὼς ἔχει διαφορὰς τέσσαρας, παρατατικόν, παρακείμενον, ὑπερσυντέλικον, ἀόριστον. τί ἐστὶ παρατατικός; ὁ παρατεταμένην καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν. τί ἐστὶ παρακείμενος; ὁ ἐν αὐτῷ* (**h. e.** *ἑαυτῷ*) *τὸ ἄρτιον ἔχων. τί ἐστὶν ὑπερσυντέλικος; ὁ ἀπὸ πολλοῦ πληρωθείς. τί ἐστὶν ἀόριστος; ὁ μὴ ἐμφαίνων τὸν ἑαυτοῦ καιρὸν ὡς ὡρισμένον. ποσαχῶς αἱ συγγένειαι τῶν προειρημένων τούτων τριῶν χρόνων καὶ διαλυθέντων εἰς ἕξ; τριχῶς· ἐνεστῶτος πρὸς παρατατικόν, παρακειμένου πρὸς ὑπερσυντέλικον, ἀορίστου πρὸς μέλλοντα. διατί ὁ ἐνεστὼς πρὸς παρατατικὸν ἔχει συγγένειαν; ἐπειδὴ παρατεταμένην καὶ ἀπλήρωτον ἔχουσι τὴν σημασίαν ἀμφότεροι. διατί ὁ παρακείμενος πρὸς ὑπερσυντέλικον; ἐπειδὴ οἱ δύο πεπληρωμένοι εἰσί. διατί ὁ ἀόριστος πρὸς μέλλοντα; ἐπειδὴ ἀδήλους ἔχουσι τοὺς χρόνους ἀμφότεροι. πόσαι συζυγίαι; δεκατρεῖς· ἓξ τῶν βαρυτόνων θεμάτων, περισπωμένων δὲ τρεῖς, καὶ τέσσαρες τῶν εἰς μι.* **Sequuntur nunc reliqua artis Dionysianae capita, simili atque priora ratione ad suos usus a Moschopulo accommodata,** *περὶ μετοχῆς, περὶ ἄρθρου, περὶ ἀντωνυμίας, περὶ προθέσεως, περὶ ἐπιρρήματος, περὶ συνδέσμου.* **Haec excipit altera pars Erotematum, quae in Walderi exemplo ab hac inscriptione orditur:** *Ἀρχὴ σὺν θεῷ ἁγίῳ τῶν ἀρσενικῶν κανόνων*, **ab his verbis in Gudiano:**

Πρῶτος τῶν εἰσαγωγικῶν καὶ ἐπιτομικῶν κανόνων αἰτίας. Eam autem partem Moschopulus sumpsit a Theodosio totam. Quod quidem ita esse, vel Walderianae epitomae et κανόνων Theodosianorum inter se collatio planum facere potest. Quantumvis enim breviata ab epitomae auctore sit prima pars Erotematum, huius tamen alterius pleraque non potuerunt non intacta servari. Itaque uberior Gudianus fere est explicationibus tantum vocabulorum σχεδογραφικῶς factis. Velut quod supra initium posuimus, sic exponitur: Πόθεν πρῶτος; παρὰ τὴν πρό πρόθεσιν. τὸ ἐπενθετικὸν πρότατος, καὶ ἀποβολῇ τοῦ τ, πρόατος e. q. s., similiterque fit in εἰσαγωγικῶν, ἐπιτομικῶν, κανόνων nominibus. — Desinit autem Gudianus in haec verba: διατί ἡ πρώτη συζυγία τῶν εἰς $\overline{μι}$ διὰ τῆς $\overline{ει}$ διφθόγγου ποιεῖ τὴν μετοχήν, ἡ δὲ δευτέρα διὰ τοῦ α, ἡ δὲ τρίτη διὰ τοῦ $\overline{ου}$, ἡ δὲ δ' διὰ τοῦ υ; διότι ἡ ἐν τέλει τοῦ πρωτοτύπου τῆς μὲν πρώτης συζυγίας τὸ ε εἶχε, τῆς δὲ δευτέρας τὸ α, τῆς δὲ τρίτης τὸ ο, τῆς δὲ τετάρτης τὸ υ.

EPIMETRUM III.

Ad p. LX.

I. Ὀνομάτων ἀττικῶν ἐκλογῆς hoc est initium:

Ἀξιώτερον τὸ πλείονος τιμῆς ἄξιον, καὶ ἔντιμον, καὶ τὸ δικαιότερον· ἐπὶ δὲ προσώπου, δόκιμον λέγειν ἄξιος ἐπαίνων καὶ δίκαιος ἐγκωμίων.

Ἀναβασμός, οὐκ ἀναβαθμός.

Ἀοίκητον ἐπὶ τόπου, ἤγουν τὸ μὴ οἰκούμενον· ἄοικον ἐπὶ προσώπου, ἤγουν τὸ μὴ οἰκοῦν.

Ἀντίγραφα ἐπὶ πληθυντικοῦ κάλλιον ἢ ἑνικῶς λέγειν ἀντίγραφον.

Sed ut stemus promissis, integras decerpamus litteras Λ, M, N, Ξ, O.

Λόγος ὁ ἐνδιάθετος λογισμός, ᾧ (h. e. ᾧ) λογικοὶ καὶ διανοητικοὶ ἐσμέν. λόγος καὶ ὁ προφορικός, ὁ καὶ ὀργανικὸς καλούμενος, δι' οὗ τὰς πρὸς ἀλλήλους ποιούμεθα κοινωνίας. λόγος καὶ ἡ φροντίς, ὡς τὸ λόγον ποιοῦμαι τῆς ἐμῆς ψυχῆς. καὶ ὁ λογαριασμός. καὶ ἡ ἀπολογία καὶ ἡ αἰτία,

καὶ ὁ ὅρος παρὰ φιλοσόφοις. καὶ ὁ ῥητορικὸς, ὃς καὶ ἐγκατάσκευος λέγεται ὡς περιεκτικὸς ἐνθυμημάτων καὶ ἐργασιῶν· καὶ παροιμιῶν καὶ προτάσεων, καὶ ἀγώνων καὶ ἐπιλόγων. λόγος καὶ ἡ αὐτοτελῆ διάνοιαν δηλοῦσα τῶν λέξεων παράθεσις. καθὸ σημαινόμενον, καὶ πᾶν μέρος λόγου λέγεται λόγος. (**Ab initio in margine haec scripta:** ἐξόχως λέγεται καὶ ὁ θεοῦ υἱὸς, λόγος.)

Λαισήιον οὐκ ἀσπιδίσκιον.

Λυχνοῦχον οἱ ῥήτορες καὶ λαμπτῆρα φασὶν ἤγουν λαμπάδα· οἱ δὲ κωμικοὶ, φανὸν· οἱ δὲ τραγικοὶ, πανόν.

Λυχνεῖον ἡ λυχνία.

Λαμπρὰ ἐσθὴς λέγειν κάλλιον ἢ λευκή· καὶ λαμπρὰ ἡμέρα οὐ καθαρά.

Λατόμος καὶ λιθουργὸς· καὶ λατομία καὶ λιθουργία· καὶ λατομῶ καὶ λίθον ξέω· καὶ λαξεύω καὶ λαξευτής· καὶ λίθων ἐργάτης· καὶ λιθολόγος. τὸ δὲ λιθοκόπος, ἀδόκιμον.

Λοπάδιον οὐ λεπάς.

Λεπάς δὲ ὄστρεόν τι μονόπτυχον, ταῖς πέτραις προσπεφυκός· λέπας δὲ ἀπόσπασμα ὄρους.

Λέχος ἡ κλίνη· εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή.

Λίβανος τὸ δένδρον· λιβανωτὸς δὲ τὸ θυμιώμενον.

Λάρυγξ ἀρρενικῶς ἡ τῶν σιτίων εἴσοδος· φάρυγξ δὲ θηλυκῶς ἡ τῆς φωνῆς διέξοδος· λαρυγγίζειν δὲ τὸ ἀήχως φωνεῖν.

Λειμὼν τόπος ὁ δίυγρος· κῆπος ὁ τῶν λαχάνων ἢ δένδρων· παράδεισος ὁ δένδρα ἥμερα ἔχων· ἄλσος καὶ δρυμὼν καὶ λόχμη ἐπ' ἀγρίων δένδρων, ἱσταμένων ἐπὶ ξηρᾶς· ἕλος δὲ τόπος λιμνώδης καὶ καλαμώδης.

Λευκὸν τὸ μετέχον λευκότητος· καὶ αὐτὴ ἡ λευκότης. καὶ μέλαν ὁμοίως τὸ μετέχον μελανίας· καὶ αὐτὴ ἡ μελανία. ἔστι δὲ μέλαν μὲν, χρῶμα συγκριτικὸν ὄψεως· λευκὸν δὲ ἐστί, χρῶμα διακριτικὸν ὄψεως.

Λύγξ κάλλιον ἢ λυγμός· ἀπὸ τοῦ λύζω τὸ κοινῶς κλώζω κατέχομαι· ὁ μέλλων λύξω· λέλυγκα· λέλυγμαι λέλυξαι· καὶ ἐκ τούτου λύγξ· ὁ δὲ λυγμὸς ἀπὸ τοῦ λέλυγμαι.

Λητουργὸς ὁ τὰ λήιτα ἔχων ἔργα· λήιτον δὲ τὸ κοινῶς χωράφιον.

Λίθος ἀρρενικῶς ὁ ἁπλῶς λίθος· ἐπὶ δὲ τῶν τιμίων θηλυκῶς ἡ λίθος· ὁμοίως καὶ τῶν διαφανῶν καὶ λαξευομένων.

Λύτρα καὶ σῶστρα τὰ ἐπὶ ἐλευθερίᾳ διδόμενα· ὃ ποιητικῶς ἄποινα γράφεται· ὑποφόνια δὲ, ἃ διδόασιν οἱ φονεῖς ἐπὶ ἐλευθερίᾳ καὶ λύσει τοῦ ἐγκλήματος.

Λυδία ἐπὶ χώρας ἢ καὶ μηωνία λέγεται· καὶ ὁ ἀπὸ ταύτης, λυδός· ἡ δὲ ἀπὸ ταύτης γυνὴ, λυδία. λυδία καὶ ἡ λίθος, ἡ καὶ βάσανος λεγομένη, ᾗ τὰ κίβδηλα διακρίνεται τῶν δοκίμων· καὶ λύδιον ἅρμα τὸ ταχύ· λύδιος δὲ τόνος ἐν μουσικῇ ἤγουν ἦχος τοιόσδε· λυδίον δὲ παροξυτόνως τὸ πεδίον.

Λέμφος ἡ κόρυζα οὐδετέρως. καὶ ἀρρενικῶς ὁ κορυζώδης.

Λογογράφος καὶ λογοποιὸς ὁ λόγους συντιθείς καὶ γράφων· καὶ ὁ ψευδῆ συντιθεὶς ἐπὶ διαβολῇ.

Λεπτὸν κυρίως τὸ μὴ πάχους μετέχον ξύλον, ἀλλ' ἄγαν περιεξεσμένον, ἀπὸ τοῦ λέπω λέψω λέλεφα λέλεμμαι λέλεψαι λέλεπται· ἀφ' οὗ μεταφορικῶς λεπτὸν νόημα τὸ μὴ τοῖς πολλοῖς εὔληπτον. καὶ τὸ μικρὸν καὶ ἀσθενές. λεπτὸν καὶ τὸ δυσμεταχείριστον καὶ οὐκ εὐάγωγον.

Λαμυρία ἡ εὐτραπελία· καὶ ἡ κατάπληξις· καὶ ἡ ἡδύτης καὶ ἡ καθαρότης· ἀφ' οὗ λαμυρὰ πηγή· καὶ λαμυρὰ γραφή ἡ καθαρά.

Λόγιος ὁ πολυΐστωρ παρὰ τοῖς ἀρχαίοις ἀττικισταῖς, παρὰ δὲ τοῖς ὕστερον ὁ διαλεκτικός. καὶ λόγιος ὁ λόγου ἔφορος· ἀφ' οὗ λογεῖον ὁ τόπος τοῦ θεάτρου· λόγιμον δὲ καὶ ἐλλόγιμον τὸ λόγου ἄξιον.

Λακεδαιμονία ἀπὸ τοῦ λάχος ὁ κλῆρος, καὶ τοῦ δαίμων· ἐν αὐτῇ γὰρ ὥς φασιν οἱ θεοὶ τὰς πόλεις ἐκληρώσαντο.

Λάγνος ἐπ' ἀνδρῶν, μαχλάς ἐπὶ γυναικῶν.

Λαῖον τὸ δρέπανον.

Λογεὺς ὁ λογογράφος.

Μεγαλοψυχία ἡ γενναιότης καὶ ἡ ἐν μεταδόσεσι δαψίλεια.

Μόχθηρος ὁ γεωργὸς ἀπὸ τοῦ μοχθῇ καὶ τοῦ ἔρα ἡ γῆ. καὶ ὁ φαύλους ἔχων τρόπους.

Μένος τὸ ἔμμονον ἔργον. ἀφ' οὗ καὶ τὸ σθένος καὶ ἡ μῆνις.

Μέτριον τὸ σύμμετρον καὶ τὸ ὀλίγον· καὶ τὸ ταπεινόν.

Μέροψ ὄνομα ὀρνέου καὶ ποιητικῶς ὁ ἄνθρωπος· ἀπὸ τοῦ μεμερισμένην ἔχειν τὴν ὄπα καὶ τὴν φωνήν.

Μουσικὴ ἡ ἐπιστήμη· καὶ γυνὴ ἡ μετέχουσα τῆς μουσικῆς· ὡς καὶ γραμματικὴ ἢ ῥητορικὴ ἥ τε τέχνη καὶ ἡ μετέχουσα αὐτῆς.

Μεσέγγυος οὐ μεσίτης.

Μυρίνη οὐ μυρσίνη.

Μεῖραξ καὶ μειρακίσκος ἀδόκιμον· μειράκιον δέ. καὶ ἐπὶ θήλεος κάλλιον μειράκιον θῆλυ λέγειν ἢ μεῖραξ καὶ μειρακίσκη.

Μαστὸς ἐπὶ γυναικὸς ἀπὸ τοῦ μασῶ, ὁ οἱονεὶ μαστητός. μασθὸς ἐπὶ ἀνδρὸς, ὁ οἱονεὶ μὴ ἐσθιόμενος.

Μάγειρος σιτοποιός καὶ ὀψοποιός.

Μύκης μύκητος οὐκ ἀμανίτης.

• υρίνη οὐ μυρσίνη.

Μεθύων ἐπ' ἀνδρὸς καὶ μεθυστικός. ἐπὶ δὲ γυναικὸς, μεθύουσα καὶ μεθύση καὶ μέθυσος. μεθύειν δὲ καὶ ἐπὶ οἴνου, καὶ ἐπὶ τοῦ ἁπλῶς ὑβρίζειν καὶ μὴ σωφρονεῖν.

Μνήστωρ καὶ μνηστήρ, ὁ πρὸ γάμου νυμφίος.

Μίσητρον τὸ μῖσος ἐμποιοῦν· ὥσπερ καὶ φόβητρον τὸ φόβον ἐμποιοῦν· καὶ θέλγητρον τὸ ἡδονὴν ἐμποιοῦν.

Μίτος τὸ κεκλωσμένον νῆμα.

Τὸ μόνον ὑπέρθεσιν σημαίνει κατὰ τὸ ἰδιάζον.

Ναύκληροι ἐπὶ νεῶν· ναύκαροι δὲ παρ' ἀττικοῖς οἱ εἰσπραττόμενοι τὰ δημόσια χρήματα· καὶ οἱ μισθωτοί. ναυκαρεῖα δὲ οἱ τόποι, ἐν ᾧ (sic) *ταῦτα ἔκειτο.*

Νάπυ οὐ σίνηπι.

Νουμηνία οὐ νεομηνία.

Νουθέτησις οὐ νουθετησία.

Νῶτον οὐδετέρως ἡ ῥάχις.

Νήτη ἡ ἐσχάτη.

Νυμφεύτρια ἡ προμνήστρια κυρίως· καταχρηστικῶς δὲ ἡ παράνυμφος.

Νῆις ὁ ἐστερημένος δυνάμεως, ἢ ὁ ἁπλῶς ἐστερημένος.

Νήπιος τό τε βρέφος, καὶ ὁ βρεφικὴν ἔχων γνῶσιν.

Νομὴ, ἀφ' οὗ εὐνομία.

Ναὸς καὶ ἱερὸν, ἔνθα τιμῶνται τὰ θεῖα. οἰκία καὶ οἴκημα ἐπ' ἀνθρώπων· χειὰ ἐπὶ δράκοντος· φωλεὰ ἐπὶ θηρίων· ὀπὴ ἐπὶ μυρμήκων καὶ μυῶν· νεοττιὰ ἐπὶ τῶν μικρῶν ὀρνίθων. ἰλεὼς ἐπὶ ὄφεως· σταῦλος ἐπὶ ἵππων καὶ κτηνῶν καὶ ἑτέρων· ἰδικῶς δὲ ἱππῶνες καὶ ἱπποστάσεις καὶ ὀνοστάσεις· καὶ σταθμὰ ἐπὶ πάντων καὶ κτηνοστασεῖα (sic)*· σηκὸς,*

ἔνθα ἐγκλείεται τὰ νεογνὰ, ὅταν αἱ μητέρες ἀμέλγονται (sic) ἢ εἰς νομὴν ἐκπέμπωνται.

Ξένον τὸ ἀλλότριον καὶ τὸ παρηλλαγμένον. καὶ ξενίζω τὸ ξένον ὑποδέχομαι, καὶ τὸ ἐκπλήττω. καὶ ξενίζομαι τινὶ ἤγουν ὑπό τινος ἐπιξενοῦμαι. ξένισις ἡ ξενοδοκία καὶ ξενία τὸ αὐτό. ξενία καὶ ἡ ξενιτεία. ξένος καὶ ὁ ἐξ ἀλλοδαπῆς ἥκων· καὶ ὁ ἀλλόκοτος καὶ παράδοξος· καὶ ὁ ἐξ ἀλλοδαπῆς φίλος.

Ξυστὴρ οὐ ξύστρον.

Ξυλισμὸς ἡ τῶν ξύλων συλλογή.

Ὄζος ὁ κλάδος· καὶ ὁ πρέμνος.

Ὄψον οὐ προσφάγιον.

Ὄρνιθες πάντα τὰ πετώμενα. ἰδίως δὲ οἱ εἰς μαντείαν συντείνοντες ὄρνιθες.

Ὄρθιον τὸ εὐθὲς, καὶ μέλος ὄρθιον τὸ ὑψηλόν.

Οὐρὰ τὸ ὄπισθεν τοῦ ζώου· ἀφ' οὗ καὶ ἡ τῆς νεὼς πρύμνα· ὅθεν οὖρος ἄνεμος ποιητικῶς ὁ φορὸς, ὃς κοινῶς οὔριος λέγεται· ἀφ' οὗ τὸ ἐξ οὐρίας πλεῖν.

Ὄχλος ἀττικῶς ἡ ὄχλησις, ἑλληνικῶς δὲ τὸ τοῦ λαοῦ πλῆθος. κρεῖττον ὄχλησις λέγειν ἢ ὄχλος.

Ὀστοῦν οὐκ ὀστέον.

Quae sequitur *Π* littera plus alterum tantum chartarum complet, quantum quattuor quas transscripsimus litterae.

II. Excerptorum *περὶ πολυσημάντων ῥημάτων* **hoc habeto initium:**

Ἄγω τὸ ἔχω, ὡς τὸ, ἄγει ἡ θάλασσα γαλήνην. καὶ τὸ τελῶ, ὡς τὸ, τόδε τὸ ἔθνος ἑορτὴν ἄγει ἤγουν τελεῖ. καὶ τὸ διάγειν, ὡς τὸ, ποίας ἡμέρας δοκεῖς μ' ἄγειν, ἤγουν διαβιβάζειν **et quae reliqua leguntur in Moschopuli Sylloga f. 135. a.** *Λ* **litterae nulla est notatio,** *Μ*, *Ν*, *Ξ*, *Ο* **litterarum hae, quas infra pono:**

Μαρτυρῶ ἐπὶ καλοῦ· ἐλέγχω δὲ ἐπὶ κακοῦ· μαρτύρομαι τὸ μάρτυρα καλῶ.

Μέλλω τὸ βραδύνω καὶ τὸ ἀπόκειμαι, ἀπαρεμφάτῳ συντάσσεται ἢ ἐνεστῶτι ἢ μέλλοντι πρώτῳ· μέλλω δὲ ἀντὶ τοῦ ὀφείλω, μετὰ τοῦ ἀορίστου συντάσσεται.

Μεθιστῶ τὸ μετακινῶ τι· μεθίσταμαι δὲ ὑπ' οὐδενός.

Μναμίγνυται **(h. e.** *Ἀναμίγνυται*, **perperam expleto litterae miniandae spatio)** *τὸ φυραθέν· προσμίγνυται τὸ ἑνωθέν.*

• ακαρίζειν δέον τινὰ, οὐκ ἐφ' οἷς ἐποίησε καλοῖς, ἀλλ' οἷς ἔχει ἢ ἀπολαύει· ἐφ' οἷς δὲ ἐποίησεν, ἐπαινεῖν ἢ ψέγειν εἰκός. πλὴν ἐπὶ τοῦ προτέρου οὐ λέγεται τὸ πρᾶγμα μακαρία, ἀλλ' ἀπόλαυσις· ἐνταῦθα δὲ, καὶ ἔπαινος καὶ ψόγος ὀνομάζεται.

Ἔξει τὸν ἀσκάντην λαβὼν ὁ κωμῳδὸς φησί. καὶ κανονίζεται οὕτως· ἴω, ἴσω, ἴον, ἴες, ἴε. καὶ μετὰ τῶν προθέσεων κατὰ μετάθεσιν μέτει καὶ ἔξει.

Μετέρχομαι τὶ ἤγουν ἀσκῶ· καὶ μετέρχομαι τὸ κολάζω.

Μοιχεύειν καὶ μοιχᾶσθαι ἐπ' ἀνδρός· μοιχεύεσθαι ἐπὶ γυναικός.

Ἀπομύττεσθαι. ἀπὸ τούτου μύξα καὶ μυκτήρ· ἀφ' οὗ πάλιν μυκτηρίζειν τὸ χλευάζειν.

Μύειν ἐπὶ ὕπνου· καταμύειν κυρίως ἐπὶ θανάτου.

Μέλλω ποιεῖν καὶ μέλλω ποιήσειν· καὶ μέλλω ποιῆσαι ἄν. συντάσσεται μὲν πρὸς ἀπαρέμφατον· μετὰ τῶν τριῶν χρόνων, προσκειμένου τῷ παρεληλυθότι καὶ τοῦ ἄν.

Μαιεύεται οὐ μαιοῦται.

Μυήσεται οὐ μυηθήσεται.

ηκύνω ἐπὶ λόγου· ἐκτείνω ἐπὶ χειρός.

Μαίνομαι τὸ ἐνθουσιῶ· καὶ τὸ ἐρῶ, καὶ τὸ ἁπλῶς δίχα νόσου μωραίνω.

Μάττω τὸ ζυμῶ.

Μίγνυται ὁ ἀνὴρ τῇ γυναικί. οὐ μὴν ἐρεῖς καὶ ἡ γυνὴ τῷ ἀνδρί.

Μιμοῦμαι ἐγὼ ἕτερον· καὶ μιμοῦμαι ὑφ' ἑτέρου, ἤγουν ἔχω μιμητὴν ἐμοῦ.

Μισθοφορῶ τὸ μισθὸν φέρω· καταμισθοφορῶ τὸ εἰς μισθὸν στρατιωτῶν δαπανῶ.

Νέμω τὸ μερίζω. νέμω τὸ παρέχω, ἀφ' οὗ διανομή· καὶ νέμω τὸ διοικῶ, ἀφ' οὗ νόμος. νέμω καὶ τὸ βόσκω, ἀφ' οὗ νομή· νομὴ καὶ ὁ στρατιωτικὸς μισθός. νέμομαι τὸ πορεύομαι καὶ τὸ μερίζομαι. ἀπονέμω τὸ οἱονεὶ τάσσω τὶ εὐμετάθετον. διανέμω τὸ ἓν τὶ διαφόροις δίδωμι.

Γρηγορεῖν λέγεται ὁ ἐκτὸς ὢν ὕπνου· νήφει ὁ ἐκτὸς ὢν μέθης. σωφρονεῖ δὲ ὁ ἐκτὸς ὢν μανίας.

Νομίζω τὸ δοκῶ καὶ τὸ φαίνομαι· καὶ νομίζεταί τι, ἤγουν κατὰ νόμους πράττεται.

Ξυρεῖν, οὐ ξυρᾶν.

Ξαίνω τό τε διαλύω καὶ τὸ μαστίζω.

• έω ἐπὶ ξύλων· ξύω δὲ ἐπὶ σαρκός.

Ὀνυχίζειν καὶ ἐξονυχίζειν τὸ ἀκριβολογεῖσθαι· ἀπονυχίζειν τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν.

Οἰκῶ τὸ κατοικῶ καὶ τὸ οἰκονομῶ· οἰκίζω τόπον, ἤγουν οἰκεῖσθαι ποιῶ· οἰκίζεται τόπος, οἰκεῖται δέ.

Ὀστρακίζομαι καὶ ἐξοστρακίζομαι καὶ ὀστρακισμὸς ἐπὶ τῶν ἐνδόξων· μεταφορικῶς ἐκ τῶν ὀστράκων, ἐν οἷς γράφοντες ἐδίδοσαν τὰς καταδίκας τοῖς ὑπευθύνοισιν (sic).

Ὁρμίζω τὸ ἐλλιμενίζω, καὶ ὁρμῶ τὸ αὐτό· ἀφ᾽ οὗ μεταφορικῶς ὑφορμεῖν (sic) τὸ ὑποπτεύειν, ἀπὸ τῶν ὑφάλων πετρῶν.

Ὀφθαλμιᾶν τὸ νοσεῖν τοὺς ὀφθαλμούς· καὶ ὀφθαλμία αὐτὸ τὸ πάθος. ὀφθαλμιᾶν καὶ τὸ ἀδίκοις ὄμμασιν ὁρᾶν γυναῖκα.

• ἰμώξειν τὸ θρηνεῖν· τὸ δ᾽ αὐτὸ καὶ οἰμώττειν λέγεται.

EPIMETRUM IV.

Ad p. LVIII.

In describendis reliquis partibus codicis Gudiani 20. quam potero paucissimis me continebo. Sed tamen breviter percurrenda sunt XII. codicis capita.

I. *Περὶ σημαινομένων τῶν τε πτώσεων ἑκάστης καὶ τῆς πρὸς αὐτὰ τῶν ῥημάτων συντάξεως μετὰ αἰτιῶν καὶ ἀποδείξεων· καὶ περὶ πολυσημάντων ῥημάτων.* Initium hoc est: *Ἰστέον ὡς ἡ πρὸς ἀλλήλους τῶν ἀνθρώπων κοινωνία διπλῆ τις, ἡ μὲν φυσική, ἣ καὶ γενικὴ καὶ σχετικὴ λέγεται, ἡ δὲ πρακτικὴ καὶ ὡσπερεὶ συναλλαγματική, δευτέρα τις αὕτη τῇ τάξει τῆς προτέρας. περὶ δὲ ταύτην ἁπλῶς τὴν κοινωνίαν, δι᾽ ἣν ἐδέησε καὶ λόγου τοῦ κατὰ σύνταξιν, πρόσωπά τε θεωροῦνται τὰ κοινωνοῦντα, καὶ πράγματα, ἐν οἷς ἥ τε δρᾶσις καὶ κοινωνία γίνεται, καὶ τρίτον αἰτίαι, δι᾽ ἃς ἕκαστα πράττεται. ἃ δηλοῦν ὁ λόγος βούλεται διὰ τῆς πρὸς ἄλληλα τῶν μερῶν αὐτοῦ συντάξεως, ὧν ἰσχυρότερα τό τε ὄνομα καὶ ῥῆμα, ὡς δι᾽ αὐτῶν μόνων γινομένου λόγου τελείου, καὶ ὅτιπερ τὸ μὲν οὐσίαν σημαίνει, τὸ δὲ οὐσίας διάθεσιν. αἱ δὲ πτώσεις, δι᾽ ὧν αἱ συντάξεις γίνονται, πέντε, κυρίως δὲ τρεῖς· ἐπεὶ πῶς ἂν ἡ πρώτη ὀρθὴ καὶ εὐθεῖα λέγοιτ᾽ ἂν*

πτῶσις οὖσα; ἀλλ' οὐδὲ ἡ κλητική· ἔοικε γάρ πως καὶ αὕτη τῇ ὀρθῇ. Folio septimo recto incipit illud caput, quod est *περὶ πολυσημάντων ῥημάτων*, finitur autem folio XVII. recto.

II. Ibidem incipit: *Ἐκ τῶν τοῦ σοφωτάτου καί λογιωτάτου κυροῦ μανουὴλ τοῦ μοσχοπούλου κεκορημένων περί τινων σημειώσεων ἐν τοῖς τοῦ λόγου μέρεσιν*, hoc quidem initio: *Ἰστέον ὡς τῶν ὀνομάτων τινὰ μὲν δηλοῦσιν ἐνέργειαν, τινὰ δὲ πάθος, οἷον ποιητής, ποιητός. τὰ δὲ δηλοῦντα πάθος τὰ μὲν ἔχουσι τὸ πάθος ἐνεργείᾳ, τὰ δὲ δυνάμει· ἐνεργείᾳ μὲν, οἷον γνωστὸς ὁ ἐγνωσμένος, δυνάμει δὲ, οἷον τρωτός ὁ δυνάμενος τρωθῆναι.*

III. Folio XXII. verso inseruntur, quae p. LVIII. posuimus, e Thomae Ecloga excerpta.

IV. A f. XXVI. recto ad XLII. versum perscripta est *ὀνομάτων ἀττικῶν ἐκλογή*, de qua satis Epimetro III.

V. A f. XLIII. ad LIX. versum pertinent, quae sic inscribuntur: *Ἐκ τῶν τοῦ μαξίμου περὶ συντάξεως προσωπικῆς καὶ ἀπροσώπου, καὶ μεταβατικῶν καὶ ἀμεταβάτων ῥημάτων κατὰ στοιχεῖον*, ab his autem ordiuntur: *Τὸ σύνταξιν ἀπαρτίζον ῥῆμα ἢ ὁριστικόν ἐστιν ἢ προστακτικὸν ἢ εὐκτικόν.* Inde a medio f. XLIII. verso ea consequuntur, quae Bachmannus prodidit Anecd. II, p. 153.: *Τῶν ῥημάτων τὰ μὲν οὐδαμῇ μεταβαίνουσιν* e. q. s. Quae qui excipit *index verborum*, in eo ultima *A* litterae haec sunt: *ἀφραίνω, ἀφροδισιάζω, ἀχθηφορῶ*, prima autem *B* litterae: *βαδίζω τὸ ἁπλῶς περιπατῶ· βαδίζω δὲ πρὸς τὴν πόλιν. βακχεύω τὸ μαίνομαι* et quae reliqua Hermannus vulgavit appendice ad librum de emend. rat. Gr. gramm. p. 391. inf. Quorum quidem hac ratione auctor patefactus est. F. LVIII. recto post ultima *τῶν μεταβατικῶν* exempla sic pergitur: *Ἰστέον μέντοι ἀναγκαίως, ὡς ἐν ταῖς τοῦ κατὰ σύνταξιν λόγου συνθήκαις, ἐπειδὰν τὸ πρόσωπον ὁποιονοῦν ὂν ταὐτὸν ἐξ ἀρχῆς καὶ ἐς τέλος ᾖ μένον, καὶ μιᾶς δεῖται πτώσεως. αὕτη δ' ἂν εἴη ἡ εὐθεῖα, καταχρηστικῶς ὀνομαζομένη πτῶσις* e. q. s.

VI. *Τοῦ αὐτοῦ περὶ τῶν μερῶν τοῦ λόγου καὶ τῆς τούτ[ων] συντάξεως ὥσπερ ἐξαίρετα.* *Sic* inscribitur. Ut, quam fere in speciem a Bachmanni Parisinis liber

Guelferbytanus differat, cognoscatur, speciminis loco esto initium infra positum.

Περὶ συντάξεως ἡμῖν βουλομένοις διεξιέναι τοῦτο πρῶτον ἁπάντων εἰδέναι χρὴ, ὅτι ὃν τρόπον τὰ στοιχεῖα καὶ αἱ συλλαβαὶ, τὰ μὲν συνιόντα ἀλλήλοις ταύτας ἀποτελεῖ, αἱ δὲ τὰς λέξεις, οὕτω καὶ αἱ λέξεις τὸν λόγον. ὥσπερ δὲ τὰ στοιχεῖα οὐκ ἀτάκτως ἀλλήλοις ἐπιπλέκεται, ὅθεν καὶ παρὰ τὸ στείχειν παρῆκται, ὅ ἐστι τὸ τάξει πορεύεσθαι, παρῆχθαι ταῦτά φασιν, καὶ δὴ καὶ αἱ συλλαβαὶ ὁμοίως, οὕτω καὶ τὰς λέξεις, μέρος οὔσας τοῦ κατὰ σύνταξιν λόγου αὐτοτελοῦς, προσηκόντως ἀλλήλαις συνάπτεσθαι δεῖ, ὡς ὑγιᾶ γενέσθαι τὸν λόγον· ἐπεὶ καὶ τὸ ἐφ' ἑκάστης λέξεως σημαντικὸν στοιχεῖον ἐστὶ τρόπον τινὰ τοῦ τελείου λόγου. λόγος γὰρ ἐστὶ σύλληψις λέξεως ἁρμοδίως συντεταγμένων, ὥσπερ καὶ ἡ συλλαβὴ στοιχείων ἐστὶ σύλληψις ὁμοίως. τοῦτο δὲ καὶ ἔκ τινος συμβεβηκυίας ὁμοιότητος ἔξεστι θεωρῆσαι. δὶς γὰρ e. q. s. Finis est f. LXXXVIII. verso.

VII. Inc. *Ὁ τῆς τῶν λόγων παιδείας ἐν μεθέξει γενόμενος καὶ τοὺς περὶ συντάξεων τῶν μερῶν τοῦ λόγου κανόνας μετιὼν δίκαιος γυμνάζεσθαι καὶ τὰ ἴδια τοῦ νοὸς κινήματα καὶ τὸν προφορικὸν λόγον συντάξει διδόναι.* Paullo post ad ipsum propositum transitus fit his verbis: *εἰσὶ δὲ πᾶσαι αἱ προσηγορίαι, αἷς ὁ ἐ π ι σ τ ο λ ι μ α ῖ ο ς χ α ρ α κ τ ὴ ρ ἐνθεωρεῖται, αἵδε· παραινετική, μεμπτική, παρακλητική, συστατική, εὐχαριστική, φιλική, εὐκτική, ἀπειλητική, ἀπαρνητική, παραγγελτική, μεταμελητική, ὀνειδιστική, συμπαθητική, θεραπευτική, συγχαρητική, παραλογιστική, ἀντεγκληματική, ἀντεπισταλτική, παροξυντική, παραμυθητική, ὑβριστική, ἀπαγγελτική, σχετλιαστική, πρεσβευτική, ἐπαινετική, διδασκαλική, ἐλεγκτική, διαβλητική, ἐπιτ η μ η τικὴ* (sic), *ἐρωτηματική, παραθαρρυντική, ἀναθετική, ἀποφαντική, σκωπτική, αἰνιγματική, ὑπομνηστική, λυπητική, ἐρωτική, μικτή, συμβουλευτική.* Finitur hoc caput f. XCVI. verso in media pagina.

VIII. A f. XCVII. recto nulla praemissa inscriptione septem loci communes pertexuntur putida arte expositi, hoc quidem initio: *Οὐδείς τις ἂν ἐπιτιμήσεται ἔμοιγε νομίζω, εἰ γράμματα πέμπειν ἔγνων, ὅτῳ μηδὲ τὴν ἀρχὴν εἰς λόγους ἦλθον.* Sed medio f. CIII. verso ad CIV. vers. commentariolum inseritur de *barbarismo* et *soloecismo*: *Βαρβαρισμός ἐστιν ἁμάρτημα γινόμενον ἐν*

λέξει παρὰ τὴν τῶν ἑλληνιζόντων συνήθειαν. εἴρηται δὲ οὕτως παρὰ τὸ βαρὺ καὶ τὸ αὐδὴ ἡ φωνή, βαρυανδατισμός τις, καὶ ἐν συγκοπῇ βαρβαρισμός. γίνεται δὲ τρόποις πέντε e. q. s. Ex quibus satis intelligitur, non differre haec ab *Anonymi* περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ libello, quem e Regio codice Boissonadus vulgavit Anecd. III, p. 238 — 240.

IX. Folium CXIII. rectum inscribitur Περὶ σχημάτων τοῦ λόγου. Τῶν τοῦ λόγου σχημάτων τὰ μὲν εἰσὶ κατ᾽ ἔννοιαν, τὰ δὲ κατὰ λέξιν e. q. s. Bis editum est hoc caput, falso Moschopuli nomine a Titzio in *Moschopuli Opusculis* p. 60 — 68., Zonaei nomine tanquam prius ignotum a Boissonado l. c. p. 307 — 320.

X. Sequitur medio f. CXVII. verso Περὶ ποιητικῶν τρόπων. Τούτοις ἑπομένως καὶ περὶ ποιητικῶν λεγέσθω τρόπων. ποιητικοὶ δὲ λέγονται οὐχ ὅτι παρὰ ποιηταῖς μόνοις γράφονται, ἀλλ᾽ ὅτι τὴν κοινὴν ὑπερβαίνοντες συνήθειαν παρ᾽ αὐτοῖς μᾶλλον πλεονάζουσιν. ὡς γὰρ φιλόσοφοι πάντως καὶ μεῖζον ἔχοντες ὄνομα τῶν ἄλλων καὶ τοὺς αὐτῶν [insere λόγους] ἐξόχοις σχήμασί τισι ποικίλλειν ἐπετήδευον καὶ ἀπὸ τοῦ χθαμαλοῦ ἐξαιρεῖν ἔσπευδον. ὀνομάζεται μὲν οὖν οὕτω καθολικῶς, ὡς ἐκ τῶν κατὰ φύσιν πραγμάτων μετακινουμένων ἐφ᾽ ἕτερα. ὀνομάζονται δὲ καὶ ἰδίως, οὕτως· ἀλληγορία, μεταφορά, κατάχρησις, μετάληψις, μετωνυμία, αἴνιγμα, συνεκδοχή, ὀνοματοποιία, σύλληψις, παραπλήρωμα, ὑπερβολή, ἔλλειψις, πλεονασμός, ἀντίφρασις, ἐξοχή, προσωποποιία, παραβολή, ἀνταπόδοσις, παράδειγμα, ἀντονομασία (sic) καὶ εἰρωνεία. In harum expositione figurarum nihil inveni, quin apud „*Moschopulum*" Titzii p. 72. sqq. 80. sqq. et Cocondrium Tryphonemque Boissonadi p. 288. sqq. 270. sqq. exstet.

XI. F. CXX. verso perscriptae sunt ὀρνέων, ζώων, ἀψύχων φωναί, de quibus inde ab I. Iriarto (Catal. bibl. Matr. p. 306. sqq. 371.) et Valckenario (ad Ammon. p. 226. sqq.) nota omnia. Hoc unum addo, principem illarum fontem Herodianum esse περὶ ἀκυρολογίας, id quod apparet e Boissonadi Anecd. III, p. 262.

XII. Sequitur f. CXXI. hoc indice commentarius: Περὶ συνδέσμων, manu ut videtur antiquiore exaratus. Initium sic habet: Ὅρα τὴν τῶν συνδέσμων σύνταξιν, πῶς τινὲς ἐξ αὐτῶν προτάσσονται τοῦ λόγου καὶ τῆς

ἐννοίας, τινὲς δὲ ὑποτάσσονται· ὥστε οὐδὲν ἄλλο μέρος λόγου δεσμεῖ καὶ εὐτάκτως ὑπὸ ζυγόν τινα καὶ ῥυθμὸν εὔτακτον ἔννοιαν ἄγον (sic), *ὡς οἱ σύνδεσμοι. διὰ τοῦτο μικράν τινα διαίρεσιν εἴπομεν περὶ τούτων. ὀκτὼ μέντοι διαφορὰς φησὶν εἶναι τῶν συνδέσμων. καὶ τῆς μὲν πρώτης διαφορᾶς καλοῦνται συμπλεκτικοί. τοῦτο δ' ἄν τις ὀρθῶς σκοπῶν, φαίη ἂν ἐπὶ πάντων ἁρμόζειν τῶν συνδέσμων. καθὸ γὰρ σύνδεσμοι συμπλεκτικοὶ εἰσὶ πάντες, ἀλλ' ἕκαστοι τούτων ἰδικὴν ὀνομασίαν ἀπεκληρώθησαν· ὅθεν καὶ ἡμεῖς ἐν πρώτοις περὶ τῶν συμπλεκτικῶν διασαφήσομέν σοι· ἐπεὶ τὰ* (h. e. *ἔπειτα*) *τῶν καθεξῆς καὶ τόπον καὶ δύναμιν ὑποδείξομεν. περὶ συμπλεκτικῶν. Ἡ μὲν* (sic) *τίθεται ἐν τῷ προτέρῳ λόγῳ, καὶ ἔχεται τῆς προτέρας λέξεως. ἀπαιτεῖ οὖν τὸν δὲ ἐπενεχθῆναι ἐν τῷ δευτέρῳ λόγῳ· οἷον ἐγὼ μὲν διδάσκω, σὺ δὲ μανθάνεις.* **Quibus congruenter continuatur institutio. Sed medio fol. CXXII. recto, quod est, ut ultimum CXXIII., bipartitum, ad accentuum doctrinam transitur:** *Ἰστέον δὲ ὅτι ἡνίκα ἐστὶ λέξις τετράχρονος, οὐκ ἀναπέμπει τῇ προηγουμένῃ λέξει τὸν τόνον, ἀλλὰ τῇ προηγουμένῃ συλλαβῇ, οἷον ἄνθρωπος ἥμων, ἔτυψας ἥμας· ἐπειδὴ οὐδέποτε πρὸ τεσσάρων χρόνος πίπτει* **e. q. s. — F. CXXII. b. verso:** *Πᾶν ἐγκλινόμενον μόριον, ἢ ὀξύνεται ἢ περισπᾶται, οὐδέποτε δὲ βαρύνεται* **e. q. s., quae pridem aliunde novimus. Denique f. CXXIII. a. recto:** *Ἰστέον ὅτι ὁ βαρβαρισμὸς γίνεται ἐν λέξει, ὅταν ἐξ ἀτεχνίας παραφθαρῇ ἡ ἑλληνικὴ λέξις, καὶ ἄλλην ἄλως ἐκφωνηθῇ* (sic)*· παραφθείρεται δὲ λέξις κατὰ τρόπους δ'* **e. q. s. Finis hic est:** *Εἰσὶ δὲ καί τινες λέξεις ἐπιχωριάζουσαι αἱ καθ' ἑκάστην χώραν καὶ πόλιν ἰδιότροποι προφοραὶ, αἳ λέγονται κατὰ συνήθειαν διαλέκτου γλωσσηματικαὶ* (sic) *ἀλλ' οὐ βάρβαροι. πῶς δὲ τοῦτον ἐκφύγεις* (sic), *παρεδόθησάν σοι κανόνες ἐν τοῖς ἐρωτήμασι καὶ ἐν τῇ κλήσει* (h. e. *κλίσει*) *αὐτῶν, ἀρσενικῶν θηλυκῶν καὶ οὐδετέρων ὀνομάτων· καὶ ῥήματα βαρύτονα καὶ περισπώμενα καὶ εἰς μι. πρὸς ταῦτα γοῦν τὰ ἀρχέτυπα ἀπεικόνιζε καὶ ἀπεύθυνε τὰς ἀμφιβαλομένας* (sic) *σοι λέξεις, καὶ οὐ βαρβαρίσεις. Σολλοικισμὸς δὲ λέγεται, ἐπεὶ σόλλοικον καὶ βάρβαρον ἔχει τὴν προφοράν. καὶ γὰρ οἱ παλαιοὶ σολλοίκους ἔλεγον τοὺς βαρβάρους· εἰ γὰρ καὶ ὁ τεχνικὸς εἶπεν, ὁ μὲν βαρβαρισμὸς . . . .*

EPIMETRUM V.

Ad p. LXXIX.

Voluminum manu scriptorum Spanhemianorum, quae Berolini asservantur, quinquagesimum primum folio 4. et 5. haec tenet ipsius manu Spanhemii consignata:

In Cod. Caesar. 4. chartac. num. **143.** *Bibliothecae Vindobonensis.* Ευδήμου Ῥήτορος λέξεων χρησίμων συναγωγή. αἷς μάλιστα χρῶνται Ῥήτορες καὶ τῶν συγγραφέων οἱ λογιώτατοι. *Aug. Busbequius emit Constantinopoli . . . . est . . . . Nos haec quae sequuntur, sparsim exscripsimus. I. Pricaeus.*

Ex litt. Z.

Ζιπάτης, ὄνομα κύριον.

Ζέρκων, Σκύθης ἦν.

Ζεύξιλες, ᾧ ὑπεζευγμένοι εἰσὶν οἱ λαοί.

Ζευξίσια, ἡ Ἥρα.

Ζεὺς κτήσιος, ὃν ἐν τοῖς ταμείοις ἔγραφον ὡς πλουτοδότην.

Ζῇ χύτρα, ζῇ φιλία. παροιμία ἐπὶ τῶν διὰ κέρδους φιλουμένων, μετὰ δὲ τοῦτο ἀθετούντων τὴν φιλίαν.

Ζῇ καῖος πῦρ. ἐπὶ τῶν μόλις γινομένων.

Ζηλίτης, ὄνομα κύριον.

Ζηναὶς καὶ Ζηνόβιος, ὄνομα κύριον.

Ζηφύριον, ἢ Ζήριν ἄντρον, ἐν ᾧ τὰς κύνας ἔθυον.

Ζήνων, ὄνομα βασιλέως, ἐξ οὗ καὶ καὶ παροιμία, Ζήνωνος ὑγιέστερα, οὗτος γὰρ ὀκτὼ πρὸς τοὺς ἐνενήκοντα βιοὺς, οὐκ ἐνόσησεν.

Ζητρίων ὁ κούσπος.

Ζητρεῖον, τὸ τῶν δούλων κολαστήριον.

Ζῆχοι, ὄνομα ἔθνους.

Ζυγὸς, ὁ σταθμὸς, τὸ πλάγιον τῆς ἁμάξης, τὸ ἐν οὐρανῷ ζῴδ. τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος, τὸ τὰς ἰσότητας διακρῖνον σκεῦος, καὶ ὁ παρακείμενος τοῖς δακτύλοις πλάγιος ἐπὶ τῶν σανδαλίων.

Ζυ-

Ζῦθος, ὁ ἀπὸ κριθῆς οἶνος.

Ζωμήρυσις, μαγειρικὸν ἐργαλεῖον, κοχλιάριον.

Ζώνη, τὸ πορφυροῦν ἱμάτιον, καὶ τὸ ἀξίωμα.

Ζώπυρος ἐγκάρδιος πόθος, καὶ ὁ ἄκρατος οἶνος.

Mx. a. *Ζωπύρου τάλαντα, τὸ ἐκ θερμῆς διαθέσεως ἔργον, καὶ αἱ πράξεις.*

Ζευρὸς, ὁ ἄκρατος οἶνος.

Ζωροπότης, ὁ μέθυσος.

Ζωστὴρ, ἡ πολεμικὴ ζώνη.

Ex litt. N.

Νάβα, παρὰ Ῥωμαίοις τὸ πορθμεῖον. Naulum ergo legend. *ἴσ. νάβλα.*

Νάκος, ἔντριχον δέρμα, κυρίως δὲ τὸ τῆς αἰγός.

Νακοτίλται, οἱ τῶν προβάτων κουρεῖς.

Ναξία, νῆσος. Ναξία λίθος, ἡ Κρητικὴ ἀκόνη. Νάξος γὰρ πόλις Κρήτης.

Νάπυ, σίνηπι.

Ναστὸς, πλακοῦς, ἢ θερμὸς ἄρτος μετ' ἐλαίου.

Ναύμαχα, μακρὰ δόρατα.

Νεβρὶς, ἐλάφου δέρμα.

Νεβρὸς, ἐλάφου γέννημα.

Νεκεσσάρια, προίξ.

Νεοδαμώδης, ὁ ἐλεύθερος παρὰ Λακεδαίμοσι.

Νέποδες, ἰχθύες, οἱ ἐστερημένοι ποδῶν.

Νηφάλια ξύλα τὰ μὴ ἀμπελινὰ, μηδὲ σύκινα, μηδὲ μύρσινα. ἐκεῖνα γὰρ οἰνόσπονδα λέγονται.

Νίβα, χιονω· καλεῖται δὲ οὕτω καὶ κρήνη ἐν Θράκῃ.

Νίδες, αἰδοῖα παίδων· ὄρχια.

Νικεστωνάριος, δήμιος, βασανιστής.

Νίφει, χιονίζει.

Νίφετος, χιονιτὸς. τέσσαρες δὲ πήξεις ὑδάτων γίνονται· αἱ μὲν δύο ἐν τῇ γῇ· αἱ δὲ δύο ἐν τῷ ἀέρι· καὶ ἐν μὲν γῇ ἔλαττον μὲν πάχνη, ἐπὶ πλέον δὲ κρύσταλλος καὶ πάγος· ἐν δὲ τῷ ἀέρι ἔλαττον, χίων· ἐπὶ πλέον δὲ χάλαζον.

Νοσπλεύω, κυρίως τὸ εἰς νόσου πρὸς ὑγείαν ἔρχεσθαι.

Νοῦμμος, τὰ διανενεμημένα μέρη τῆς γῆς, καὶ τὸ δίκαιον, ἔγγραον.

Νοτάριος, ὁ γραμματεὺς παρὰ Ῥωμαίοις.

Νότα· τὰ γράμματα.

Νοῦς οὐκ ἐνὶ Κενταύροισι· παροιμία ἐπὶ τῶν μὴ δυναμένων συνιέναι.

Νοῦδον, γυμνόν.

Νούμεροι, τάγμα στρατιωτικόν.

Νουμβατεύει, ἐγγαμεῖ.

Νυκτερινοὶ κύνες· οἱ λύκοι.

Νυφίος, ὄνομα ποταμοῦ.

Νύσκιον, ὄρος οἱ μὲν τὸ Στινά, οἱ δὲ ἐνδοτέρω τῆς Ἰνδικῆς.

Νωγαλέον, ἡδὺ βρῶμα.

Νωδὸς, ὁ ἐστερημένος ὀδόντας.

Νωτάργος, βαρυβαστάκτης.

Miserrime corrupta verba satius duxi e codice transscribere, (id quod etiam in superioribus epimetris factum,) quam vera et integra ex Suida substituere: quae quoniam ad unum omnia adeo manifesta sunt, ut quasi incurrant in oculos, ne hic quidem vel laudem ea ex re quaerere vel chartas perdere volui.

ΘΩΜΑ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ

ΗΤΟΙ

ΘΕΟΔΟΥΛΟΥ ΜΟΝΑΧΟΥ

ΕΚΛΟΓΗ

ΟΝΟΜΑΤΩΝ ΚΑΙ ΡΗΜΑΤΩΝ ΑΤΤΙΚΩΝ.

INDEX SIGLORUM.

A = codex	Burmannianus : Proleg. p. 25. sqq. 29. sq. 43. 116.
La	Leidensis I : p. 25. 29. sq. 43.
Lb	Leidensis II : p. 25. 30. 57.
LL	ambo Leidenses : p. 25. 27. 30.
Ra	Regius I : p. 24. 29. sqq. 32 — 43.
Rb	Regius II : p. 24. (115.) 30. 43.
RR	ambo Regii : p. 23. 27.
Ox	Oxoniensis : p. 24. sq. 29. sq. 32 — 43. 58.
G	Guelferbytanus : p. 28. sq. 33. 43. 117.
B	Basileensis : p. 28. sqq. 32 — 43. 40. sq. 57. 121. sqq.
Bc	liber Calpurnii : ad Eclog. p. 351. 357. 396. 402. 406.
E	Excerpta Guelferbytana : Proleg. p. 60. sqq.
E π. ῥ.	Exc. Guelf. *περὶ πολυσημάντων ῥημάτων* : p. 59. sq. 61. 63
C = editio	Romana Calliergae : p. 21. sq. 29. sq. 32 — 43.
D	Veneta Aldi : p. 18. 20. sq.
P	Parisina Vascosani : p. 18. sqq.
F	Franekerana Blancardi : p. 14. sqq.
O	Leidensis Bernardi : p. 18.
Edd. =	CDPFO.

ΘΩΜΑ ΕΚΛΟΓΗ.

Α.

Ἀσπαίρω Ἀττικοὶ, οἱ δὲ ἄλλοι σπαίρω.

Ἀνέῳγεν ἐπὶ μὲν τοῦ παρατατικοῦ ἀντὶ τοῦ ἤνοιγεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἱερά τε γὰρ πάντα ἀνέῳγε καὶ τὰ τῶν ἱερέων γένη συνῆγε καὶ διεπρεσβεύετο πρὸς τοὺς θεοὺς τὸν ἀρχαῖον τρόπον. καὶ Δημοσθένης· ἢ γράμματ᾽ ἔκλεπτεν ἢ ὑπανέῳγεν. ἀπὸ γὰρ τοῦ ἀνοίγω, ἀνέῳγον, ἀνέῳγες, ἀνέῳγεν. ἐπὶ δὲ μέσου παρακειμένου τὸ ἀνέῳγεν ἀντὶ τοῦ ἀνεῴχθη· ἀνοίγω γὰρ ἀνοίξω, ἀνέῳχα, ἀνέῳγα, ἀνέῳγας, ἀνέῳγε. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον· τίνες οἰκίαι τοῖς λῃσταῖς ἀνεῴγασι. Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· καὶ ἐνδιατρίβει ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς.

---

1. ἐκβάλλει — γυναῖκα LLRRGBCDPO. om. F. Viderat Valckenarius ad Ammon. p. 159. Λιβάνιος] vol. I, p. 311. Mor. (IV, p. 147, 4. Rsk.) ἐν μελέτῃ τῇ περὶ τῆς LLGBO. ἐν μελέτῃ τῆς CDPF. 2. ἔκβαλε τὸ GCFO, Liban. ἐκβαλετὸ B. ἔκβαλλε τὸ DP.

3. ἐγκαλούμενος ALaRRBOx. κατηγορούμενος GCDPFO.

4. Ἀσπαίρω] ἀπαίρω RR, unde permira comminiscitur Stoeberus ad voc. Ἀοίκητον p. 82. Bern.

5. τοῦ παρατατικοῦ ALaGB. τοῦ om. CDPFO. 6. Παναθηναϊκῷ] vol. I, p. 213. extr. Cnt. (I, p. 200. Ddf.) 9. Δημοσθένης] adv. Zenothem. p. 889. extr. γράμματ᾽ RRB, Demosth. γράμματα G Edd. 10. ὑπανέῳγεν] ὑπανεῴγεν FO. 11. μέσου] τοῦ μέσου Phavor. p. 86. a. 12. ἀνεῴχθη Oudendorpius. ἠνεῴχθη GBCPFO. vid. p. 31. 4. 6. ἠνεόχθη D. ἀνέῳχα — ἀνέῳγε] quater accentu in prima syllaba notat D. 13. ἀνέῳγε] ἀνέῳγεν F. Συνέσιος] ep. 5. p. 169. d. τῇ LaRbGBCDPO. τῷ F. 14. λῃσταῖς] λισταῖς Ra. 15. ἀνεώγασι GB, Synes. Scribebatur ἀνεῴγασιν. Λουκιανὸς] cap. 6. vol. II, p. 712. Μίκυλλος PFO. Μίκυλος GBCD.

καὶ ἐν τῷ Χάρωνος καὶ Ἑρμοῦ διαλόγῳ· ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα· ὥστε ἁμαρτάνει Φρύνιχος διϊσχυριζόμενος εἶναι τὸ ἀνέῳγε καὶ ἀντὶ τοῦ ἤνοιξεν, ὅπερ ἀδύνατον. ἀντὶ γὰρ τοῦ ἀνεῴχθη καὶ ἤνοιγεν, ὡς ἔφημεν, λαμβάνεται· ἔστι δὲ τὸ μὲν ἤνοιγε καὶ τὸ ἀνεῴχθη κοινά, τὸ δὲ ἀνέῳγεν Ἀττικόν. ὅτι δὲ καὶ τὸ ἀνέῳξε κάλλιστον, Ἀριστοφάνης ἐν Πλούτῳ·

εἶτ' ἀνέῳξάς με φθάσας.

καὶ Λιβάνιος ἐν ἐπιστολῇ τῇ Σέβων ἐστὶ μὲν Κρής· ἀνέῳξε γὰρ τοῖς ξένοις τὴν οἰκίαν. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ· καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιέων ἄνδρες. [σημείωσαι δὲ καὶ τοῦτο· τὸ ἀνέῳγεν ἀντὶ τοῦ ἠνεῴχθη ἅπαξ εὑρίσκεται.]

Οὐ μόνον ἄκρα πόλις ἡ ἀκρόπολις, ἀλλὰ καὶ ἄκρα μόνον.

---

1. Ἑρμοῦ] ἐμοῦ B. διαλόγῳ] dial. mort. IV, 1. vol. I, p. 342. 2. ἀνεῳγότα] ἀνεογότα D. 3. ἁμαρτάνει] ἁμαρτάνοι Ra. Φρύνιχος] Nihil eiusmodi tradit p. 157. Lob. τὸ ἀνέῳγε] om. G. 6. καὶ τὸ ALaRaB, Phav. p. 86. b. τὸ om. G Edd. ἀνεῴχθη solus B; legebatur ἠνεῴχθη. vid. ad p. 30, 12. ἀνέῳγεν ARaCB. ἀνέῳγον Edd. 7. ἀνέῳξε] ἀνέωγε B. κάλλιστον LaRaGBCDP. κάλλιον FO. 8. Πλούτῳ] v. 1103.

9. εἶτ'] εἶτα La. ἀνέῳξάς] ἀνέωξεις B. φθάσας] φθράσας B. 10. ἐπιστολῇ] 192. p. 90. Wolf. τῇ — Κρής] om. Ra. Σέβων LaRbGB, Liban. Σείων Edd. ἐστὶ μὲν, sed pravis accentibus, ALaB, Liban. μὲν ἐστι GEdd. 11. γὰρ] om. Libanius. τοῖς ξένοις ALLRRGBOxO, Phav., Liban. τῆς ξένης CDPF. 12. τῇ δευτέρᾳ] τῇ om. LLGB. δευτέρᾳ] cap. 2. πύλας] θύρας Ox.

13. Πλαταιέων ante Bekkerum vulgatum apud Thucydidem: Πλαταίων B. σημείωσαι — εὑρίσκεται om. LaRRGB, quare uncis circumscripsimus. Suppositicia etiam Pauwius indicabat ad Phryn. p. 157. Lob. τὸ] ὅτι τὸ coni. Normannus.

15. Οὐ μόνον — μόνον] Ἄκρα πόλις οὐ μόνον ἀλλα καὶ ἀκρόπολις καὶ ἄκρα μονον. B. ἄκρα πόλις] ἄκραι πόλις La. ἡ RbG Edd. ἢ RaOx. ἀλλὰ] ἄλλα P.

Ἀξιῶ τὸ παρακαλῶ, τὸ ἄξιον κρίνω, καὶ τὸ τιμῶ· ἀφ' οὗ καὶ ἀξιούμενος ὁ τιμώμενος. Εὐριπίδης ἐν Ἑκάβῃ·

τύμβον δὲ βουλοίμην ἂν τὸν ἐμὸν ἀξιούμενον ὁρᾶσθαι.

Καὶ ἀξίωμα ἡ τιμὴ καὶ ἡ παράκλησις παρὰ τῇ θείᾳ γραφῇ, οἷον ἐν τοῖς ψαλμοῖς τὸ, εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου· καὶ τὸ μέγεθος. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τὸ μὲν οὖν ἀξίωμα τοῦ παρόντος ἀγῶνος, ἤγουν τὸ μέγεθος τοῦ ἀγῶνος. ἀξίωσις δὲ οὐ μόνον ἡ παράκλησις, ὡς Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσις, ἀλλὰ καὶ τὸ μέγεθος, ὡς ὁ αὐτός· καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται· καὶ ἡ τιμὴ, καὶ τὸ προσόν τινι ἀξίωμα, ὡς ὁ αὐτὸς· ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργὴν ἀντειπεῖν. καὶ Ἀριστείδης· οὐ τοὺς ἐν ἀξιώσει προὔχοντας. ἔστι δὲ ἀξίωσις καὶ ὅπερ ἀξιοῖ τις, ὡς Θουκυδίδης ἐν τῇ δευ–

---

1. κρίνω] οὐ καταξιῶ add. FO ex superiore quadam §., quae est p. 9, 7. οὗ] οὐ P. 2. ἀξιούμενος GBEdd. τὸ ἀξιούμενος Lb. ἀξιούμενον E. ὁ τιμώμενος om. B. τὸ τιμώμενον E. Ἑκάβῃ] v. 319. 3. ἂν τὸν] αὗτον B. τὸν ἐμὸν ἀξιούμενον ALLRaGBCDP. ἀξιούμενον Τὸν ἐμὸν FO ex Euripide.

5. Καὶ ἀξίωμα] Continuant GBFO, disparant CDP. ἀξιώμα P. 6. ψαλμοῖς] CXIX, 170. „*desunt haec a La.*“ τὸ εἰσέλθοι] τὸ addidimus ex G. 7. ἐνώπιόν σου om. B. Ἀριστείδης om. B. τῷ Edd. et ut videtur RR. om. GB. 8. Παναθηναϊκῷ] imo περὶ ῥητορικῆς vol. III, p. 10. Cnt. (II, p. 5. Ddf.) ἀξίωμα] add. τοσοῦτον Aristides. 9. ἤγουν — ἀγῶνος om. ARb, haud scio an vere. τοῦ ἀγῶνος] παρόντος his quoque inserit Ra. 10. τῇ τρίτῃ BFO. τῇ om. LaGCDP. Est cap. 9.

12. ὁ αὐτὸς] lib. I, c. 69. 14. ὁ αὐτὸς] II, 65. med.

15. ἀντειπεῖν] τι ἀντειπεῖν Thucydides: sed abest τι ab uno Parisino et Aristide vol. III, 201. Cnt. (II, 163. Ddf.) 16. Aristidis exemplum om. Rb. 17. ἀξίωσις καὶ Edd. καὶ ἀξίωσις LLGB (in quo ἀξίωσεις.) „Θουκυδ.] *Sic RR.*“ (*STOEB.*) ἐν τῇ FO. τῇ om. LLGBCDP.

δευτέρᾳ· ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν, μηδένα ὄχλον Πελοποννησίων νεῶν ὑποχωρεῖν. ἀξίωμα δὲ παρὰ φιλοσόφοις ἡ λεγομένη κοινὴ ἔννοια, οἷον, ἀξιοῦσι πάντες σφαιροειδῆ τὸν οὐρανὸν εἶναι.

Καὶ ἀφαιρῶ καὶ ἀφαιροῦμαι. συντάσσεται δὲ καὶ ἀπὸ γενικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς γενικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν καὶ ἀπὸ δοτικῆς εἰς αἰτιατικήν· οἷον ἀφαιρῶ σου τόδε, ἀφαιρῶ σε τοῦδε, ἀφαιρῶ σε τόδε, καὶ ἀφαιρῶ σοι τόδε. παραδείγματα τοῦ ὑστέρου παρὰ μὲν Ἀριστείδῃ· ἀφεῖλε πολλοῖς νόσον· παρὰ δὲ Φιλοστράτῳ· μέγαν ἆθλον ἀφῃρημένης αὐτῷ τῆς τύχης. [Καὶ ἀφαιροῦμαι οἱ δόκιμοι μετὰ αἰτιατικῆς ἀμφοῖν καὶ τοῦ πράγματος καὶ τοῦ προσώπου μόνον· τὸ δὲ ἀφαιρῶ πρὸς μὲν πρᾶγμα μόνον λεγόμενον μετὰ γενικῆς· καὶ νοεῖται μέρος. πρὸς δὲ

---

1. δευτέρᾳ] cap. 88. 2. ὄχλον] Ἀθηναῖοι ὄντες add. Thucydides: vid. Popp. ad Thuc. P. II, vol. 1. p. 81. 3. ὑποχωρεῖν] ὑποχορεῖν C. φιλοσόφοις] φιλοσόφους B. τοῖς φιλοσόφοις La. 4. ἡ λεγομένη κοινὴ] καὶ ἡ κοινὴ E. κοινὴ om. B. οἷον] ὅθεν Benzelius.

6. Καὶ ἀφαιρῶ LLGCDP. καὶ om. BFO. δὲ καὶ LLRaOx O. καὶ om. CDPF. καὶ ἀπὸ γενικῆς — αἰτιατικῆς εἰς αἰτιατικὴν om. B. 7. 8. sic invertit G: καὶ ἀπὸ αἰτ. εἰς αἰτ., καὶ ἀπὸ αἰτ. εἰς (εἷς P.) γενικήν. 8. καὶ ἀπὸ δοτ. εἰς αἰτ. om. La.

9. τοῦδε] add. B: ἀπὸ αἰτιατικῆς εἰς γενικὴν καὶ ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν οἷον. 10. παραδείγματα τοῦ ὑστέρου] παράδειγμα (sic etiam ARb) ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν B. 11. Ἀριστείδῃ] Cogitavit puto de verbis vol. I, p. 69. (I, 67. D.) his: πολλὰς ὀδύνας τε καὶ ἀλγηδόνας καὶ ἀπορίας — — ἀφεῖλε πολλοῖς. πολλοῖς] πολοῖς C. 12. Φιλοστράτῳ] ἐν εἰκόσι add. Edd. om. ALL RRGB. Est autem in Vit. Sophist. II, 1, 7. p. 554. ἀφῃρημένης] ἀφηρημένος Rb. 13. αὐτῷ] μοι Philostr. τύχης] μάχης Rb.

Proxima Καὶ ἀφαιροῦμαι — Φιλοστράτου accesserunt ex solo Ox., melius a nobis distincta, restitutoque ab initio αἰτιατικῆς pro αἰτιατικοῦ Valckenari monitu ad Herodot. VIII, 8. Thomae vix sunt.

ὁμοῦ καὶ πρᾶγμα καὶ πρόσωπον, τὸ μὲν αἰτιατικῇ, τὸ δὲ πρόσωπον δοτικῇ, ὡς καὶ τὸ Ἀριστείδου καὶ Φιλοστράτου.]

Ἅρμα ἐν ᾧ ἵπποι ζεύγνυνται· οἱ δὲ ἐπὶ ὅπλων λαμβάνοντες οὐ καλῶς χρῶνται.

Ἀπήνη ἐπὶ ἵππων, ἅμαξα ἐπὶ βοῶν.

Ἀπειλῶ οὐ μόνον ἐπὶ ὀργῆς, ἀλλὰ καὶ ἀντὶ τοῦ μεγαλαυχοῦμαι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ᾽ ὅτι.

καὶ Λιβάνιος ἐν ἐπιστολῇ· μιμνήσκου δὲ ὧν ἠπείλεις ἐξιών.

Ἀκαιρία, ἔνδεια καιροῦ ἐπιτηδείου· ἀσχολία ἡ περί τι ἀναστροφή.

Ἀληθὲς τὸ ἐναντίον τῷ ψεύδει, ἄληθες δὲ παρὰ ποιηταῖς τὸ κατ᾽ εἰρωνείαν ἀντὶ τοῦ ὄντως λαμβανόμενον, ὡς τὸ παρ᾽ Ἀριστοφάνει ἐν Πλούτῳ·

ἄληθες; ὦ δειλότατε πάντων δαιμόνων.

Ἀποπέμπω τὸ ἀποστέλλω, ἤγουν τὸ ἀπὸ τῶν ἐνταῦθα ἑτέ-

---

4. ἵπποι] οἱ ἵπποι A. 5. οὐ καλῶς χρῶνται] ἁμαρτάνουσιν ARb.

6. ἅμαξα] ἄμαξα CDP.

7. καὶ om. B. ἀντὶ] ἐπὶ A. 8. ἐν Πλούτῳ] „*Caret Ox.*" Est v. 88. 9. γὰρ] δὲ ARb. 10. καὶ Λιβάνιος] καὶ om. G. ἐν ἐπιστολῇ] om. Ox. „*Est hic locus ex Epist. MSS.* 108. *quae est* 84. *apud Wolf. p.* 264. *ubi tamen non legitur ὧν ἠπείλεις, sed ὧν ἔλεγες.*" *STOEB.* Non repperi. ἠπείλησ᾽ B.

12. ἀσχολία] Continuant GO., disiuncta infra posuit F, et iterum O. Reprehendit iam Valckenarius ad Ammon. p. 9. περί τι] ἄλλο ex Ammonio add. Valckenarius.

14. ἄληθες] ἀληθὲς P. hic et l. 17. ποιηταῖς] τοῖς ποιηταῖς GB. 15. λαμβανόμενον] παρὰ τοῖς ποιηταῖς repetit B. ὡς τὸ] τὸ om. BOx., quod immerito Oudendorpius probat. 16. Aristophanis exemplum om. Rb. Πλούτῳ] v. 123. 17. δαιμόνων Edd. om. LLGB. ἀνθρώπων Ox.

18. ἤγουν] ἤτοι B.

ρωσε πέμπω. Λιβάνιος ἐν ἐπιστολῇ· ἀποπέμπομεν ὑμῖν Λιάνιον. ἐκ τούτου καὶ ἀποπομπή. Λουκιανὸς ἐν τῷ Ἀλεξάνδρου βίῳ· πιστεύσας τῇ ἀποπομπῇ τοῦ μισθοῦ. καὶ ἀποπέμπω τὸ ἀποδιώκω.

Ἀνακείμενος ὁ ἀναπεπτωκὼς καὶ ῥαθυμῶν· καὶ ἀνακείμενος ὁ ἀνατεθειμένος, οἷον ἀνακείμενος ἀνδριάς. Θουκυδίδης· τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς.

Ἀναβαίνω ἵππον, οὐκ ἐπιβαίνω. Ἀχιλλεὺς ὁ ῥήτωρ ἐν Λευκίππῃ· τούτοις ἐσκευασμένος ἀναβαίνω τὸν ἵππον. ἐπιβαίνω δὲ νεώς.

Ἀνατυποῦταί τις, ὅταν φαντάζηται ἃ ἑώρακεν· ἀναπλάττει δέ, ἃ οὐδέποτε εἶδεν.

Ἀναγκάζειν ἐπὶ ἐμψύχου μόνον· βιάζειν δὲ καὶ ἐπὶ ἀψύχου, οἷον, ἐβιάσατο τὸ ῥεῦμα τοῦ ποταμοῦ [τὴν ναῦν.]

Ἀνάπαυλα ἡ ἀνάπαυσις. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Καὶ ὅτε ἀσθενεῖν σοι τὴν γυναῖκα ἠκούομεν· κἀγὼ μὲν ἀναπαύλης ἐδεόμην. καὶ πάλιν ἐν τῇ εἰς τὸν νεὼν τοῦ

---

1. *Λιβάνιος ἐν ἐπιστολῇ* GB. *ἐν ἐπιστ. Λιβ.* Edd. Cf. supra p. 9, 3. Est ep. 378. p. 189. Wolf. 2. *ἐκ τούτου*] *ἐν τουτ'* B. *Λουκιανὸς*] cap. 54. vol. II, p. 258. 4. *μισθοῦ*] *μασθᾶ* B.

5. *Ἀνακείμενος*] *Κατακείμενος* coni. Oudendorpius: prave. Cf. Abresch. dilucid. Thucydid. auctar. p. 393. 6. *ἀνδριάς*] *ἀνδρίας* P. *Θουκυδίδης*] III, c. 114.

9. *Ἀχιλλεὺς — ἵππον* om. Rb. *Λευκίππῃ*] *λευκίππο* B. Apud Achillem Tatium verba prolata non exstant: *ἐπιβὰς ἵππῳ* est p. 161, 14. cf. Iacobsium animadv. p. 904. 10. *ἐσκευασμένος* Ra GB. *ἐσκευασμένοις* Edd.

12. *ἀναπλάττει*] non continuantur in CDP. *δὲ* om. B.

14. *δὲ καὶ* ALLRaGB. om. Phav. p. 73. c. *καὶ* om. Edd.

15. *ῥεῦμα*] *ῥεῦγμα* B. *ῥεύμα* CDP. *τὴν ναῦν* ex Phavor. add. Valckenarius ad Ammon. p. 18., ex Philemoniis Osannus p. 224.

16. *ἐπιστολῇ*] 407. p. 208. *τῇ — ἠκούομεν*] om. B. *Καὶ* om. La. 17. *κἀγὼ μὲν*] *ἐγὼ μὲν οὖν* Libanius, unde *κἀγὼ μὲν οὖν* coni. Oudendorpius. 18. *καὶ πάλιν — ἀνάπαυλαν* om. B. *νεὼν* scripsimus ut p. 39, 9. 42, 2. Fuit *ναὸν*.

Ἀπόλλωνος μονῳδίᾳ· οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀνάπαυλαν. τὸ δὲ παῦλα ἀδόκιμον. [ἀνάπαυσις καὶ κατάπαυσις γράφεται· ἀνάπαυλα δὲ μόνον, οὐχὶ κατάπαυλα.]

Ἄτοπον οὐ μόνον τὸ ἄλογον, ἀλλὰ καὶ τὸ θαυμαστὸν καὶ παράδοξον. Πλάτων ἐν Φαίδωνι· ὡς ἄτοπον, ἔφη, ὦ ἄνδρες, ἔοικέ τι εἶναι τοῦτο. καὶ πάλιν ἐν Θεαιτήτῳ· οὐδὲν γὰρ ἄτοπον, ἀλλὰ πολὺ θαυμαστότερον ἦν· ἐσαφηνίσθη γὰρ διὰ τῆς ἀντιθέσεως. καὶ Θουκυδίδης· δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων.

Ἄξονες τετράγωνοι ὄντες εἶχον ἰδιωτικοὺς νόμους ἐγγεγραμμένους· κύρβεις δὲ τρίγωνοι οὖσαι εἶχον δημοσίους νόμους καὶ ἱεροποιΐας.

Ἀναμιμνήσκομαι ὑπ' ἐμαυτοῦ. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Κράτιστον μέν· ἀναμιμνησκόμενος οὖν ὅπως ἤλγεις προπέρυσιν. ἀναμιμνήσκω δὲ ἕτερον. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· ἀνεμίμνησκέ με τῆς Ὀδυσσείας. καὶ ἀναμιμνήσκομαι ὑπ' ἄλλου.

Ἀποκέκλεισμαι τροφῆς λέγε, μὴ ἀποτετείχισμαι μηδὲ κεχώρισμαι.

---

1. *μονῳδίᾳ*] vol. II, p. 186. (III, p. 333, 17. Rsk.) 2. *καμνούσης*] *καμούσης* Ra. 3. *ἀνάπαυσις*] Novam §. inchoant CDP., omnia autem ad *κατάπαυλα* usque om. ALLRRB: ut non esse Thomae videantur.

6. *Φαίδωνι*] p. 60. b. 8. *Θεαιτήτῳ*] p. 142. c. *γὰρ*] *γ'* Plato. 9. *ἦν*] *εἰ μὴ τοιοῦτος ἦν* Plato. *ἦν — ἀντιθέσεως* om. B. 10. *Θουκυδίδης*] III, 38.

12. *τετράγωνοι*] *τετράγονοι* Rb. *νόμους* om. Ox., ut Ammonius, e Thoma suppletus ab Valckenario p. 18. 13. *τρίγωνοι*] *τρίγονοι* Rb.

15. Libanii exemplum (ep. 328. p. 158.) om. B. „*Libanii nomen tantum sine initio epistolae Ox.*" 17. *προπέρυσιν* FO. *προπερύσιν* CDP. *προπερίστυν* G. *ἕτερον — ὑπ' ἄλλου*] B. sic: *ἕτερον καὶ ἀναμιμνήσκομαι ὑπ' ἄλλου*. *Ἀριστείδ — Ὀδυσσείας*. 18. *Ἀριστείδης*] vol. I, p. 529. (I, 476.) *ἐν — ἱερῶν* om. Ox.

Ἀποστασίου δίκη ἔλεγοι, ὁπότε ἀπελεύθερος κρίνοιτο ὡς ἀποστὰς τοῦ δεσπότου· ἀπροστασίου δὲ, ὁπότε μέτοικος ἐγκαλοῖτο μὴ ἔχων προστάτην.

Ἀποκήρυκτος ὁ ἐπὶ ἀδικήματι ἐκβληθεὶς τῆς οἰκίας παρὰ τοῦ πατρὸς μετὰ ψήφου δικαστικῆς. καὶ ἀποκηρύττειν τὸ τοῦτο ἐργάζεσθαι, καὶ τὸ διὰ κηρύγματος πωλεῖν. Λουκιανὸς ἐν τῷ βίων πράσεις· ἀποκηρύξομεν δὲ βίους φιλοσόφους. καὶ ἀποκήρυκτος ὁ οὕτω πωλούμενος. ἀπόκληρος δὲ ὁ ἐν διαθήκαις πατρὸς μὴ τυχὼν κλήρου· ἐκποίητος δὲ ὁ δοθεὶς εἰς υἱοθεσίαν ἄλλῳ, ᾧ λέγεται ὁ τοιοῦτος εἰσποίητος.

Ἀποφέρεσθαι οὐ μόνον τὸ πόρρω φέρεσθαι, ἀλλὰ καὶ τὸ κερδαίνειν. [παράδειγμα τοῦ πόρρω φέρεσθαι παρὰ Λιβανίῳ· εἰ μὲν γὰρ φιλοσοφίας ἁπτόμενος ἀπεφέρετο τοῦ σχήματος, καὶ ἦν ἐν προσηγορίᾳ φιλοσοφίας.] ἀποφέρειν δὲ καὶ ἀποφορὰ τὰ παρὰ τῶν ἡττόνων τοῖς μείζοσι παρεχόμενα χρηστά.

---

1. ἀπελεύθερος] ἢ δοῦλος ἀποστασίου addi ex Ammonio, ut ait, vult Stoeberus, quae ne exstant quidem apud illum. 2. ἀποστὰς] ὁ ἀποστὰς B. δεσπότου] κρίνοιτο add. B. ἀπροστασίου] ἀποστασίου BOx. 3. μὴ] ὡς μὴ Edd. et Ammonius p. 19. ὡς om. ALLRbGB.

5. δικαστικῆς] δικαστικοῦ B. 6. τοῦτο] τοῦτο τὲ G. Fort. τό τε τοῦτο. 7. Λουκιανὸς] cap. 1. vol. I, p. 540. πράσεις, quemadmodum constanter Thomas, RRGB Edd. (etiam C., ut fallat, ut in hoc genere saepius, Stoeberus.) Luciani codices praeter *unum Parisinum* πρᾶσις tenent. 8. καὶ — πωλούμενος LLRRGBCDPO. om. F. πωλούμενος] πολούμενος BP. 9. ἀπόκληρος] Novam §. inchoant BCDP. continuant GFO. 10. τυχὼν] τυχῶν P. ἐκποίητος] ἐκποιητός Ra. ἐκποιότητος Rb. 11. εἰσποίητος] Notabatur εἰσποιητός.

13. παράδειγμα — προσηγορίᾳ φιλοσοφίας solae Edd. om. A LLRRGB: quare uncis fuere circumscribenda. Λιβανίῳ] epist. 18. p. 7. 15. ἀπεφέρετο ex Libanio O: scribebatur ἀποφέρετο. 16. ἀποφέρειν] Continuant BFO, disiungunt CDP. 17. παρεχόμενα om. Ox. χρηστά] χρήματα ex Ammonio Dukerus ad Thu-

Θουκυδίδης ἐν τῇ πέμπτῃ· τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν. λέγεται μέντοι ἀποφορὰ καὶ ἡ δυσώδης ὀσμή.

Ἀπόδοσις ἀψύχου. Ἰουλιανὸς ἐν ἐπιστολῇ· ἀποδέδωκας Ἀριστοφάνει τὰς ἀμοιβάς. ἀποκατάστασις δὲ ἐμψύχου ἀγομένου.

Ἄρχειν ἀνθρώπων, κρατεῖν δὲ καὶ ἀνθρώπων καὶ θηρίων.

Ἀράχνη τὸ ὕφασμα, ἀράχνιον τὸ νῆμα, ἀράχνης τὸ ζῶον. Ἡσίοδος·

ἀερσιπότητος ἀράχνης.

Ἄρνες οἱ νεογνοί, ἀρνειοὶ οἱ προήκοντες τῇ ἡλικίᾳ.

Ἀστεῖος ὁ πιθανὸς καὶ ὁ χαρίεις.

Ἀτέλεστον τὸ ἀδύνατον τελεσθῆναι, ἀτελὲς δὲ τὸ μήπω τετελεσμένον. τὸ μέντοι τετελεσμένον λαμβάνεται παρ' Ὁμήρῳ ἐν Ἰλιάδι καὶ ἐπὶ τοῦ μήπω μὲν τελεσθέντος, φύσιν δὲ ἔχοντος τελεσθῆναι· οἷον

---

cyd. V, 31., probatum Valckenario ad Amm. p. 21. 1. πέμπτῃ] cap. 31. τάλαντον] τάλαντα A, plane ut Thucydidis aliquot libri. τάλανταν B. 3. καὶ ἡ δυσώδης ALLRRGBOxO. ἡ ἡδυσώδης F. 4. ἀψύχου Edd. ἐπὶ ἀψύχου GB. ἐπιστολῇ] Reperitur, ut admonuit Oudendorpius, in Wolfii ad Liban. Epist. annotat. p. 321. ἀποδέδωκας] ἀπέδωκας ARb. 5. ἀποκατάστασις] Contin. GBFO, disi. CDP. 6. ἐμψύχου] ἐπὶ ἐμψύχου. G. ἐπὶ εὐψύχου B.

7. δὲ καὶ] καὶ om. B.

8. ἀράχνιον τὸ νῆμα] ἀραχνίου vel ἀράχνου νῆμα coni. Oudendorpius. Vulgatis E quoque prorsus consentit. 9. Ἡσίοδος] Op. et D. v. 777.

11. νεογνοὶ· ἀρνειοὶ LLGR (in quo est ἀργειοὶ) ECDPO. νεογνοὶ ἀρνειοί, F. προήκοντες] προσήκοντες Lb. πρόκοντες P. τῇ ἡλικίᾳ accesserunt ex ALL, Ammonio p. 24. om. GBE Edd.

12. Ἀστεῖος — χαρίεις om. B. ἀστεῖον Ra. πιθανὸς] καὶ ὁ κομψὸς add. E.

13. Ἀτέλεστον — ἐσμέν om. Lb. ἀτέλεστον D. μήπω] μήποτε B. 15. Ἰλιάδι] XIV, 196. μήπω] μίπω P. φύσιν δὲ ALaRROx, Phavor. p. 132. a. δύναμιν δὲ GBEFO. δύναμιν δ' CDP.

εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.

ἀνήνυτον δὲ κάλλιον ἢ ἀτέλεστον. ἔστι δὲ καὶ ἀτέλεστος ὁ μὴ μυηθείς· καὶ ἀτελὴς ὁ ἀμέτοχος. Λουκιανὸς ἐν Μενίππου καὶ Χείρωνος διαλόγῳ· *ἀλλ' ἀτελεῖς τούτων πάντων ἐσμέν.*

Αὐχὴν τὸ ὄπισθεν τοῦ τραχήλου. Φιλόστρατος ἐν εἰκόσιν· *αὐχὴν εὐπαγής.* δέρη δὲ τὸ ἔμπροσθεν. Λιβάνιος ἐν τῇ εἰς τὸν νεὼν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· *ἁπαλότητα δέρης ἐν λίθῳ.*

Ἀσφόδελος τὸ φυτόν, ἀσφοδελὸς δὲ ὁ τόπος ὁ ἔχων ἀσφοδέλους, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· *οὓς ἀσφοδελῶν λειμώνων καὶ Ἠλυσίων πεδίων ἠξίωσαν Ἕλληνες.*

Αἴτιαι, αἱ πρόξενοι, ἐπειδὴ καὶ ἡ πληθυντικὴ εὐθεῖα τοῦ ἀρσενικοῦ τὸ αἴτιοι προπαροξύτονός ἐστι· ταύτῃ γὰρ ἀεὶ ἐν τοῖς τριγενέσιν ἀκολουθοῦσι καὶ αἱ πληθυντικαὶ εὐθεῖαι τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου. αἰτίαι δέ, αἱ ἀφορμαὶ

---

1. *γε* om. G. 3. *ἀνήνυτον*] Contin. GBFO. disi. CDP. *ἀτέλεστος* LaRRGB et Edd. praeter F, in qua est *ἀτέλεστον*. 4. *Λουκιανὸς — ἐσμὲν* om. Ox. 5. *διαλόγῳ*] *διαλώγῳ* P. Est dial. mort. 26, 2. vol. I, p. 436. *ἀτελεῖς*] *ἀνεπιδεεῖς* vulgatum apud Lucianum: *ἀτελεῖς* ex uno Parisino et Thoma scite nunc positum. 6. *πάντων*] *πάντες* G. *ἁπάντων* Lucianus.

7. *εἰκόσιν*] Reperiri non potuit. 8. *δέρη* LLGBEO, Valckenariusque ad Ammon. p. 27. *δερὴ* RR. *δέρην* F. 9. *μονῳδίᾳ*] *μονῳδίῃ* D. Est vol. II, p. 187. (vol. III, p. 335, 2. Rsk.) 10. *δέρης*] *δέρρης* Libanius.

11. *ἀσφοδέλους*] *ἀσφοδέλην* GB. 12. *ὡς — ἐπιταφίῳ*] latinis verbis mirabiliter B sic: *ut in epitaph. Greg. Nazianz. Magni Basilii.* 13. *ἐπιταφίῳ*] „*T. I. p. 333. c. ed. Col.*" 14. *Ἠλυσίων* GFO. *Ἡλυσίων* RRCDP. *ἠξίωσαν*] *ἠξίωσεν* B. *ἠξίουσαν* P.

15. *εὐθεῖα*] *εὐθεία* C. *τοῦ ἀρσενικοῦ* om. Ox. 16. *αἴτιοι* LLRaGB. *οἱ αἴτιοι* CDPFO. *ταύτῃ* RRGBOx, Hemsterhusius. *ταῦτα* Edd. 17. *ἀκολουθοῦσι*] plene interpungebatur in Edd. 18. *τοῦ οὐδετέρου*] *τοῦ* om. B.

καὶ αἱ μέμψεις, παροξυτόνως. οὕτω καὶ ὅσιαι γυναῖκες, ὁσίαι δὲ αἱ ταφαί, διὰ τὸ μὴ ἔχειν ταῦτα ἀρσενικὸν ᾧ παρακολουθήσωσιν.

Ἀγροῖκος ὁ ἐν τῷ ἀγρῷ οἰκῶν παρὰ τοῖς Ἕλλησιν ἁπλῶς· ἄγροικος δὲ ὁ ἰδιώτης καὶ ἀπαίδευτος. οἱ Ἀττικοὶ δὲ καὶ ἐπὶ τοῦ ἐν τῷ ἀγρῷ οἰκοῦντος καὶ ἐπὶ τοῦ ἰδιώτου καὶ ἀπαιδεύτου καὶ ἀναισθήτου προπαροξυτόνως ἄγροικος λέγουσιν. Ἀριστοφάνης ἐν Πλούτῳ·

> λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν,

ἤγουν ἀναίσθητον. καὶ πάλιν ἐν νεφέλαις·

> ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους,
> ἀδελφιδῆν ἄγροικος ὢν ἐξ ἄστεος,

ἤγουν ἐν τῷ ἀγρῷ οἰκῶν. ἔστι δὲ καὶ ῥῆμα ἀγροικίζομαι, τὸ ἀπαιδεύτως πρός τινα διατίθεμαι. Λιβάνιος ἐν τῷ λόγῳ τῷ πρεσβευτικὸς πρὸς τὸν Ἀχιλλέα· εἰ ἠγροικισάμην πρὸς ὁντινοῦν ἢ τῶν νέων ἢ τῶν πρεσβυτέρων.

---

1. παροξυτόνως. οὕτω καὶ] παροξύτονος ὡς B. οὕτω] ὕτω D. „καὶ ὅσιαι] Ox. αἱ.“ (OUD.) καὶ ὅσαι P. 2. ὁσίαι δὲ αἱ ταφαί G. ὅσιαι δὲ αἱ ταφαί ARRB. ὁσίαι δὲ ταφαὶ FO. 3. παρακολουθήσωσιν LbG et Hemsterhusius. παρακολουθήσουσιν Edd. παρακολουθήσειν B.

5. ἀπαίδευτος] ὁ ἀπαίδευτος G. δὲ καὶ ἐπὶ ARb. δὲ ἐπὶ GBEdd. 6. ἐν τῷ om. B. 8. ἐν Πλούτῳ] ἐν τῷ Πλούτῳ B. Est v. 705. 11. ἤγουν] ἢ B. πάλιν om. B. νεφέλαις] v. 46, 47.

12. ἔπειτ' — τοῦ Μεγακλέους om. B. Μεγακλέους prius om. Lb.

13. ἀδελφιδῆν RaBCDPO. ἀδελφιδὴν RbF. 15. ἤγουν — οἰκῶν om. B. 16. Λιβάνιος] imo in Ἀχιλλέως πρὸς τὸν Ὀδυσσέως πρεσβευτικὸν ἀντιλογίᾳ, vol. I, p. 239. b. (IV. p. 60, 7. Rsk.)

17. πρεσβευτικὸς] πρεσβευτικῷ G„Ox.; sed supra, ἐν τῷ ῥητόρων διδάσκαλος.“ (OUD.) τὸν om. LLB. 18. ἠγροικισάμην LLGBOxOP. „ἠγροκισ. RR.“ ἠγροικησάμην CDF. πρὸς] εἰς Libanius. πρὸς ὁντινοῦν — πρεσβύτερον om. B. νέων] νέον D.

Ἀθυροστομεῖν μὴ εἴπῃς, ἀλλὰ λοιδορεῖν.

Αἰτοῦμαι λέγουσιν, ὅταν ζητῇ τις ὃ μέλλει ἀποδώσειν, οἷον ἐπὶ δανείου· αἰτῶ δὲ ἄρτον, ὃν δηλονότι οὐκ ἀποδώσω. εὕρηται δὲ καὶ αἰτοῦμαι Ἀττικῶς ἀντὶ τοῦ ἁπλῶς αἰτῶ. Αἰσχύλος·

σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ.

καὶ Λιβάνιος ἐν ἐπιστολῇ τῇ Οἶσθά που Μάρκελλον· τί τοίνυν αἰτοῦμαι; Μάρκελλος ὀψέ ποτε γίνεται πατήρ. ἔστι δὲ αἰτοῦμαι καὶ τὸ παρά τινος ζητοῦμαί τι, ὡς ὁ αὐτὸς ἐν ἐπιστολῇ [καὶ τοῦτο]· πολλάκις ἔφασκες ἀδικεῖσθαι μηδὲν αἰτούμενος παρ' ἡμῶν.

Ἀλάβαστον δίχα τοῦ ρ̄ Ἀττικοὶ, μετὰ δὲ τοῦ ρ̄ ἁπλῶς Ἕλληνες.

Ἀνάλωκα καὶ ἀνάλωσα Ἀττικοί· τὸ δὲ μετὰ αὐξήσεως ταῦτα

---

1. μὴ εἴπῃς] οὐκ B.

2. Αἰτοῦμαι] Superioribus continuant CDP. 3. οὐκ] οὖκ P. ἀποδώσω] ἀποδώρω B. 4. δὲ om. B. 5. Αἰσχύλος] Choeph. v. 2. 6. γενοῦ μοι] μοι γενοῦ GB. σύμμαχός] ξύμμαχος Aeschylus. 8. „Λιβάνιος] *desunt haec omnia in Ra.*" (*STOEB.*) Est ep. 365. p. 179. *Λιβαν. in epist.* B. τῇ om. B. τί Liban.: scribebatur τὶ, itemque post αἰτοῦμαι (αἰτοῦμεν Liban.) levius distinguebatur. 9. Μάρκελλος — πατήρ om. B. ὀψέ ποτε] ὀψέτε La. γίνεται] γίγνεται Liban. „γίνηται *P.*" (*OUD.*) 10. πατήρ] πῆρ CF. ζητοῦμαι] αἰτοῦμαι B.

11. ὡς ὁ αὐτὸς] Λιβαν. B. ὡς αὐτὸς Rb. ἐπιστολῇ] 1568. p. 556. καὶ τοῦτο RbGBEdd. om. Ra, Phavor. p. 37. b. et Libanius. Seiunximus igitur, transposito interpunctionis signo, quod erat post ἐπιστολῇ. Ex Θεοδότῳ (cui inscripta est epistola) posse ortas illas voculas esse Oudendorpius quanquam dubitanter suspicatur.

13. ἡμῶν] ἐμοῦ Libanius.

14. Ἀλάβαστον] ἀλάβαστρον Rb. δὲ om. La.

16. Ἀνάλωκα καὶ ἀνάλωσα RbG, Phavor. p. 177. b. ἀνήλωκα καὶ ἀνάλωσα Ra. ἀνάλωμα καὶ ἀνάλωσα B. ἀνάλωσα καὶ ἀνάλωκα Edd. ταῦτα om. B.

λέγειν, οἷον ἀνήλωσα [καὶ ἀνήλωκα], κοινόν. Λιβάνιος ἐν τῇ προρρηθείσῃ εἰς τὸν ἐν τῇ Δάφνῃ νεὼν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· *σμικρῷ σπινθῆρι πάντα ἀνάλωσεν.* ὡσαύτως καὶ ἐπὶ πάντων τῶν χρόνων τοῦ τοιούτου ῥήματος τῶν δεχομένων αὐξήσεις.

Ἀνέραστος καὶ ὁ μὴ ἐρῶν καὶ ὁ μὴ ἐρώμενος. Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησεν· ἐρωτικόν· *ἐγὼ δὲ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνέραστος.* Λουκιανὸς ἐν Τίμωνι· *ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων.* καὶ αὖθις ἐν Μενίππου καὶ Χείρωνος διαλόγῳ· *τίς δέ σε τοῦ θανάτου ἔρως ἔσχεν, ἀνεράστου τοῖς πολλοῖς χρήματος;* ἐπέραστος δὲ ἀεὶ ὁ ἐρώμενος.

Ἀνακαθαίρομαι οὐ μόνον τὸ κάθαρσιν δέχομαι, ἀλλὰ καὶ τὸ

---

1. *καὶ ἀνήλωκα* om. ALaGB, quod uncis significavimus. *Λιβάνιος*] *Λιβάννιος* C. 2. *προρρηθείσῃ*] p. 39, 9. *προρηθείσῃ* Rb. 3. *μονῳδίᾳ*] *μονοδίᾳ* D. Est vol. II, p. 185. (III, p. 333, 5. Rsk.) *σμικρῷ* AGBCDP. *μικρῷ* FO, Liban. 4. *ἀνάλωσεν*] *ἀνάλομεν* B. *ἀνάλωσε* Liban. *ὡσαύτως*] *ὡσαύτος* DP. *ὡσαυτῶ* B. *ὡσαύτως — αὐξήσεις* RbGBEdd. om. Ra.

6. *καὶ ὁ μὴ ἐρῶν καὶ ὁ*] *οὐχ ὁ μὴ ἐρῶν, ὁ* Ox. *Λιβάνιος*] vol. I, p. 830. d. (IV, p. 653, 4.) 7. *ἐν μελέτῃ* RaGB. *ἐν τῇ μελέτῃ* Edd. Pro proximis, usque ad *ἐγὼ δέ*, B nihil habet nisi *γρ.* *πατρὶ*] *πατρὸς* Lb. Post *ἀπεδήμησεν* non interpungitur in CDP F, itemque non post *ἐρωτικόν* in O: recte utramque G. 8. *ἐρωτικόν* RbGCDFO. *ἐροτικόν* P. om. ARa. *ἐγὼ δὲ* BEdd., Liban. *ἐγὼ δ'* LLG. 9. *Λουκιανὸς*] cap. 27. vol. I, p. 141. *ἐν Τίμωνι*] *ἐν τῷ Τιμῶνι* B. 11. *Μενίππου*] *Μενίππω* B. *διαλόγῳ*] dial. mort. 26, 1. vol. I, p. 434. *τίς*] *τὶς* GF. *τις* O.

12. *τοῦ θανάτου ἔρως* Parisinus unus Luciani: vulgatum *ἔρως τοῦ θανάτου*. 13. *ἀεὶ ὁ ἐρώμενος* ALLRbGECDPO. *ὁ ἀεὶ ἐρώμενος* RaB. *ἀεὶ, ἐρώμενος* F.

14. Ante hanc §. G inserit eam, quae sequitur p. 43, 10. *Ἀνακαθαίρομαι* GBFO. *ἀνακαθέρομαι* CDP. *κάθαρσιν* A „*Leid.*" RRGB, Phav. p. 75. c. *καθάρσιον* CDFO. *κατάρσιον* P.

καθαίρω. Λιβάνιος ἐν τῷ πρὸς Κωνστάντιον καὶ Κώνσταντα· πάντα τὸν ἐκείνῃ τόπον ἐπῆλθεν ἀνακαθαιρόμενος γῆν τε καὶ θάλατταν.

Ὥσπερ ἀστεῖος, οὕτω καὶ ἀστειοσύνη, ὡς ὁ αὐτὸς ἐν τῷ Ἀντιοχικῷ· ἀστειοσύνη δὲ ἡ διὰ πάντων.

Οὐ μόνον Ἀχερουσία λίμνη, ἀλλὰ καὶ Ἀχερουσιάς. Φιλόστρατος ἐν τοῖς ἡρωικοῖς· τοὺς δὲ Κωκυτούς τε καὶ Πυριφλεγέθοντας καὶ τὴν Ἀχερουσιάδα.

Τὸ μὲν αὔξει ἐπὶ ἐνεργητικοῦ· οἷον, αὔξει ὁ ἥλιος καὶ ἡ ὑγρότης τὰ φυτά. Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· τὰς εὐδοξίας τῆς πατρίδος θεραπεύειν, ταύτας αὔξειν. καὶ αὔξει ἀντὶ τοῦ αὔξεται. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· ἀλλὰ καὶ εἰκότως ηὔξησεν ἡ

---

1. *καθαίρω* GBFO. *καθέρω* CD. *κατέρω* P. *Λιβάνιος*] vol. II, p. 106. (III, p. 230, 3. Rsk.) *Κωνστάντιον*] *Κωνστάντων* B. 2. *ἐκείνῃ* apud Thomam Oudendorpius (O.), apud Libanium, ubi vulgatum est *ἐν ἐκείνῃ*, Reiskius. *ἐκείνῃ* CDPF. *ἐκείνης* G. *ἐκείνου* Ox. et ap. Lib. margo Morell. *ἐκεῖνον* LbB. *ἐπῆλθεν* RRGB, Liban. *ἀπῆλθεν* Edd. 3. *ἀνακαθαιρόμενος* GBFO. *ἀνακαθερόμενος* CDP. *τε καὶ*] *καὶ* B.

4. *Ὥσπερ ἀστεῖος — πάντων* om. B. *ὡς ὁ αὐτὸς* LbGBCDP. *ὡς αὐτὸς* La. *Λιβάνιος* FO. 5. *Ἀντιοχικῷ*] vol. II, p. 362. c. (I, p. 322, 20. Rsk.)

6. *Οὐ — λίμνη*] *Ἀχερουσία λίμνη οὐ μόνον* B. Prioribus continuant DP. *Ἀχερουσιάς*] *Ἀχερουσίας* BDP. *Φιλόστρατος*] Her. c. 19. p. 752. Olear. 7. *ἡρωικοῖς*] *ἡροϊκοῖς* P. *ἐρωικοῖς* B. *τε*] *δὲ* P. 8. *Πυριφλεγέθοντας* LLRRGCDPO. *πυριφλεγεθόντες* B. *Πυριφλεγέτοντας* F. *Ἀχερουσιάδα*] *ἀχερουσίαδια* B.

10. Continuant DP. Supra posuit G. v. ad p. 42, 14. Usque ad finem omittit Lb. *Τὸ μὲν αὔξει* LaGB. *Αὔξει μὲν* RbB. *τὸ μὲν αὔξειν* Edd. *καὶ ἡ ὑγρότης* om. B. 11. *Δημοσθένης*] p. 332. Rsk. *ἐν τῷ ὑπὲρ τοῦ στεφάνου* om. ALaGB, quod mirere.

12. *τῆς*] *τὰς τῆς* vulg. Demosth.: *τὰς* om. qattuor libri Bekkeri.

13. *αὔξειν*] *αὔξει* GB. *Ἀριστείδης*] vol. I. p. 372. Cnt. (I. 345. Ddf.) 14. *ἀλλὰ*] *ἅμα* nunc legitur: vulgabatur autem *ἀλλά*.

ἀρχή. αὐξάνει δὲ ἐπὶ παθητικοῦ, οἷον αὐξάνει τὰ φυτά ἤγουν αὔξησιν δέχεται. καὶ αὐξάνομαι ἐπὶ τοῦ αὐτοῦ σημαινομένου. ὁ αὐτὸς Δημοσθένης ἐν τῷ αὐτῷ λόγῳ· ἐπί γε οἷς ἡ πατρὶς ηὐξάνετο.

Τὸ ἀεὶ ἐπὶ τῶν τριῶν χρόνων· τὸ δὲ ἐσαεὶ ἐπὶ μέλλοντος, καὶ ἐπὶ ἐνεστῶτος δὲ ὅταν διηνέκειαν δηλοῖ. Ἀριστείδης ἐν τῷ εἰς Δία· ἀλλ' ἦν τε ἄρα ἐξ ἀρχῆς καὶ ἔσται ἐσαεί. καὶ Θουκυδίδης ἐν [τῇ] πρώτῃ· κεῖσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος. Λουκιανὸς ἐν τοῖς ἀληθινοῖς· θάλλουσα ἐσαεί.

Ἄρτι οὐ μόνον ἀντὶ τοῦ πρὸ ὀλίγου, ἀλλὰ καὶ ἀντὶ τοῦ ποτέ. Λουκιανὸς ἐν τῷ Διογένους καὶ Ἀλεξάνδρου διαλόγῳ· ἐπαινῶν ἄρτι μὲν ἐς τὸ κάλλος, ἄρτι δὲ ἐς τὰς πράξεις καὶ τὸν πλοῦτον.

---

1. *παθητικοῦ* ALaRbGB. *παθητικῆς σημασίας* praeter Phavorinum p. 136. b. Edd., in quibus haec inseruntur, quae iterum paullo post redeunt: *ὁ αὐτὸς Δημοσθένης ἐν τῷ αὐτῷ λόγῳ· ἐπεί γε* (*ἐπί γε* RbCDP) *οἷς ἡ πατρὶς ηὐξάνετο. καὶ* —. Om. haec ALaRR GB, Phav. *οἷον* add. ALaGB. om. Edd. 2. *ἤγουν* ALaRRGB. *εται* Phav. *οἷον* Edd. *αὐξάνομαι*] *αἰξάνομαι* B. 3. *ὁ αὐτὸς* om. B. *Δημοσθένης*] de cor. p. 328. Rsk. 4. *ἐπί γε οἷς* GCDP, Demosthenes. *ἐπεί γε οἷς* FO, Paris. unus Demosth. *επίγροῖσ* B.

5. *Τὸ ἀεὶ* „*MSS.*" (*OUD.*) RaGCDP. *τὸ* om. FO. Totam §. om. B. *ἐπὶ τῶν* LLG. *καὶ ἐπὶ τῶν* Edd. *χρόνων*] *τίθεται* add. Edd. om. LLRRG. *τὸ δὲ ἐσαεὶ* RaGEdd. *τὸ δ' ἐς ἀεὶ* Rb. 6. *ἐνεστῶτος*] *ἐνεστῶτος* C. *διηνέκειαν*] *δηνέκειαν* P. *Ἀριστείδης*] vol. I, p. 6. (I, 3. Ddf.) 7. *ἐξ ἀρχῆς*] *ἐξαρχῆς* G. 8. *ἐσαεί* GEdd. et Aristidis Baroccianus I.. *εἰς ἀεί* Rb. *εἰσαεί* vulg. ap. Arist. *πρώτῃ*] cap. 129. Non dubitavi autem *τῇ* articulum adiicere. *κείσεται* LLRRG et Thucydides ante Bekkerum. *κεῖται* CDPFO et aliquot codd. Thucyd. 10. *ἀληθινοῖς*] I, cap. 23. vol. I, p. 89. 11. *ἐσαεί*] *ἐς ἀεί* Lucianus.

13. *διαλόγῳ*] dial. mort. XIII, 5. vol. I, p. 393. 14. *κάλλος*] omisit Thomas Luciani verba haec: *ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ.* *δὲ ἐς* LaGB. *δὲ εἰς* CDP. *δ' ἐς* FO, Luc.

Ἀπώμοτος ὁ ἀπηγορευμένος, ἀνώμοτος δὲ καὶ ὁ μὴ ἐν ὅρκῳ παραληφθεὶς καὶ ὁ μὴ ὀμόσας, ὡς ὁ αὐτὸς ἐν τῷ Ἴριδος καὶ Ποσειδῶνος διαλόγῳ· ἀνώμοτός ἐστιν· ἀφανὴς γὰρ ἦν.

Ἀποσοβῶ οὐ μόνον τὸ ἀποδιώκω, ἀλλὰ καὶ τὸ σεσοβημένως καὶ θαρραλέως ἀπέρχομαι· [ὡς ὁ αὐτὸς] Λουκιανὸς ἐν τῷ πλοῖον, ἢ εὐχαί· εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα ἐς τὸ ἄστυ. καὶ πάλιν ἐν τῷ ὑπὲρ τῶν εἰκόνων· καὶ ὡς ὁρᾷς ἤδη ἀποσοβῶ παρ᾽ αὐτήν. περισοβῶ δὲ τὸ περιέρχομαι. ὁ αὐτὸς ἐν τῷ συμπόσιον ἢ Λαπίθαι· συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ. ἀνασοβῶ δὲ τὸ ἀναταράσσω. σοβῶ δὲ καὶ τὸ πεπαρρησιασμένως χωρῶ, ὡς Συνέσιος ἐν ἐπιστολῇ· ὁ γὰρ ἰδὼν τὸν πορνότριβα σοβοῦντα διὰ τῆς ἀγορᾶς. καὶ τὸ ἀναταράσσω καὶ ἀνεγείρω.

Ἀντίπαλον καὶ τὸ ἐναντίον καὶ τὸ ἴσον. ἀμφοτέρων παραδείγματα παρὰ Θουκυδίδῃ, τοῦ μὲν ἴσου ἐν τῇ δευτέρᾳ· πόλιν μεγάλην οἰκοῦντας καὶ ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους· τοῦ δ᾽ ἐναντίου ἐν

---

1. Continuat P. ἀπώμοτος] ἀπώκοτος DP. ἀνώμοτος] ἀνώματος DP. ὅρκῳ] ὅρκῳ CDP. ὅρμω B. 2. παραληφθεὶς] περαληφθεὶς P. ὀμόσας] ὁμόσας BCDP. ὡς] καὶ Rb. 3. Ποσειδῶνος] Ποσειδώνος P. διαλόγῳ] dial. mar. X, 1. vol. I, p. 315. ἀνώμοτος] ἀνώματος D. 4. ἦν om. ARb.

5. σεσοβημένως] σεσωβημενὸς B. 6. καὶ θαρραλέως — ἀπέρχομαι om. B. θαρραλέως GFO. θαραλέως CDP. θαρσαλέως Rb. ὡς ὁ αὐτὸς Edd. om. LaRbGB: quocirca certe uncis sepsimus. Λουκιανὸς] c. 4. vol. III, p. 250. 7. ἢ εὐχαί] ἀχαιοὶ Ox. 8. ἐς A „Leid." GB, Luc. εἰς Edd. καὶ πάλιν] pro imag. c. 29. vol. II, p. 507. 11. συμπόσιον] σουμπόσιον P. Est cap. 14. vol. III, p. 428. 12. περιεσοβεῖτο LaRbO, Lucianus. περιεσοβοῦτο F. περιεσοβᾶτο GBCDP. 13. ὡς om. B. ἐπιστολῇ] 32. p. 178. b. 15. καὶ ἀνεγείρω] καὶ τὸ ἀνεγείρω La.

17. τῇ] τῆς B. δευτέρᾳ] cap. 61. 18. μεγάλην, omissum Edd., addidimus ex ALLGB, Thucydide.

τῇ τρίτῃ· ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει.

Ἀρρωστία οὐ μόνον ἡ νόσος, ἀλλὰ καὶ ἡ ἁπλῶς ἀδυναμία, ἐπειδὴ καὶ ὁ νοσῶν ἀδυνάτως ἔχει χρῆσθαι ἑαυτῷ. Θουκυδίδης ἐν τῇ τρίτῃ· ἐν καρποῦ ξυγκομιδῇ ἦσαν καὶ ἀρρωστίᾳ τοῦ στρατεύειν.

Οὐ μόνον ἀπόγνωσις, ἀλλὰ καὶ ἀπόγνοια. ὁ αὐτὸς ἐν [τῇ] τρίτῃ· ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς.

Ἄπεδος χώρα ἡ ὀρεινὴ καὶ πετρώδης καὶ μὴ πεδίον ἔχουσα· καὶ ἄπεδος ἡ ὁμαλὴ καὶ οἷον ὁμόπεδος. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ πᾶσα ἄπεδος. καὶ Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· κατέβησαν ἐς χωρίον ἄπεδόν τι.

Ἀθυμία καὶ ἡ λύπη καὶ ὁ πρὸς τοὺς πολέμους ὄκνος. Ἡρόδοτος ἐν τῇ πρώτῃ· οὔτε τινὰ δειλίην μοι παριδὼν οὔτε ἀθυμίην. ἄθυμος δὲ μόνον ὁ ὀκνηρὸς εἰς

---

1. τρίτῃ] cap. 9. ἴσοι BEdd., Thucydides. ἴσῃ ARbG. γνώμῃ] γνωμῇ P. καὶ εὐνοίᾳ ALLRRGB, Thucyd. καὶ τῇ εὐνοίᾳ Edd. 2. δυνάμει] τῇ δυνάμει B.

4. ἑαυτῷ LaRRGBO. ἑαυτοῦ CDPF. Θουκυδίδης] III, cap. 15. 5. ἐν τῇ τρίτῃ] τῇ om. GB. καρποῦ ALLRRGB, Thucydides. καρπῷ Ox. καρπῶν CDFO. καρπών P.

7. Οὐ μόνον et ἀλλὰ om. Rb. Ἀπόγνωσις οὐ μόνον, ἀλλὰ B. ὁ αὐτὸς GCDP. Θουκυδίδης BFO. ἐν τῇ] articulum inserui meo periculo. 8. τρίτῃ] cap. 85. ὅπως] ὁσ'πώς B. ἄλλο τι CDP. ἄλλό τι GBFO. ἀλλότι RR. ἢ κρατεῖν] καὶ κρατεῖν B.

11. καὶ ἄπεδος] καὶ ἔτι ἄπεδος F. ὁμόπεδος LLRRGBOxC DPO. ὁμόπεδες F. 12. πρώτῃ] cap. 110. Μηδικὴ] μηδικὴ B. χώρη] χώρα GB. ἐστὶ πᾶσα om. CDPF. add. ALaGBOxO, Herodotus. 13. ἑβδόμῃ] cap. 78. 14. ἐς LaG, Thucydides. εἰς BEdd.

15. Totam §. om. Lb. ὁ om. B. Ἡρόδοτος] I, cap. 37. 16. πρώτῃ] „desunt in Ox. de more.“ (*OUD.*) δειλίην μοι] δειλίαν μοῦ Ox. 17. οὔτε] οὔτ' B. ἄθυμος — στρατιώτης om. B.

μάχην. Συνέσιος ἐν ἐπιστολῇ· καὶ ἄλλως οὐκ ἄθυμος στρατιώτης.

Ἀμηχανῶ τὸ ἀπορῶ καὶ οὐχ εὑρίσκω μηχανήν· καὶ ἀμηχανῶ τὸ ἀποτυγχάνω. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ἔνθα ἀμηχανήσεις χρήματος οὐδενός.

Καὶ ἀπεικότως καὶ ἀπεοικότως. Θουκυδίδης ἐν τῇ ἕκτῃ· οὐδὲ τοῦτο ἀπεοικότως.

Οὐ μόνον ἀγών, ἀλλὰ καὶ ἀγωνισμός. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ· πολλὴ δὲ ἡ ἀντιτέχνησις τῶν κυβερνητῶν καὶ ἀγωνισμὸς πρὸς ἀλλήλους.

Καὶ ἀντιβόλησις καὶ ἀντιβολία. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· πρὸς ἀντιβολίαν καὶ ὀλοφυρμὸν τραπόμενοι.

---

1. *ἐπιστολῇ*] 98. p. 232. d., ubi *ἄθυμον στρατιώτην* legitur.
3. *τὸ ἀπορῶ* ALLRbGBCDPO. *τὸ ἀπορρῶ* Ra. *καὶ ἀπορῶ* F. *καὶ ἀμηχανῶ*] *καὶ* om. Ox. 4. *πρώτῃ*] cap. 35. 5. *ἀμηχανήσεις* ALLRRGBCDPO, Herod. *ἀμηχανέσεις* F. *χρήματος*] *χρήματα* Rb. *χρίματος* P.

6. Bis haec §. diversis locis comparet in B, semel in margine scripta. *Καὶ* ab initio om. BFO. add. LaGCDP. *ἀπεοικότως*] *ἀπεικότως* hic et v. proximo GB. Thucydidis exemplum om. Ra. *ἐν τῇ ἕκτῃ* om. Ox. *τῇ* om. G. Est cap. 55.

8. Continuant DP. Totam §. om. Lb. *Ἀγὼν οὐ μόνον* B. *οὐ μόνον* et *ἀλλὰ* om Rb. Post *ἀλλὰ* inserunt *καὶ ἀγωνία* Edd.; om. LaRbG, quod quidem rectissime fieri apparet ex notatione p. 51, 4. *ὁ αὐτὸς* GCDP. *Θουκυδίδης* BFO. „*ὁ αὐτὸς* (*θουκυδ.*) *Rb.*“ (*STOEB.*) *ἐν τῇ ἑβδόμῃ* BEdd. *ἐν ἑβδόμῃ* LaG. „*ἐν ζ'*. *Rb.*“ Est cap. 70. 10. Quae post *ἀλλήλους* leguntur in Edd., absunt ab LaRbGOx, sequuntur autem infra, p. 51, 4., unde hic repetuntur in CDP haec verba: *Πλάτων ἐν Γοργίᾳ· δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι, καθάπερ τῇ ἄλλῃ ἀγωνίᾳ πάσῃ* (*πάσι* P.). Eadem habent FO et B, sed et aucta iis, quae altero illo loco annexa sunt *καὶ γὰρ — ἀνθρώπους* (de quibus notabitur infra), nec bis posita (ut in CDP), quoniam in unam ambae conglutinatae notationes sunt.

11. Continuant DP. *Καὶ* ab initio om. B. *ἀντιβάλησις* B. *ὁ αὐτὸς ἐν τῇ αὐτῇ* G. *Θουκυδίδης ἐν τῇ ζ* CDP. *Θουκυδίδης ἐν τῇ ἑβδόμῃ* FO. Est cap. 75. *πρὸς*] *πρὸς γὰρ* Thuc.
12. *ὀλοφυρμὸν*] *ὀλοφυρμὸν* CDP.

Ὥσπερ ἐκ τοῦ λογίζομαι λογισμὸς, οὕτω καὶ ἐκ τοῦ ἀναλογίζομαι ἀναλογισμός. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· ὄντων δ' αὐτῶν ἐν τοιούτῳ ἀναλογισμῷ.

Ὥσπερ ἐγεννησάμην ἀντὶ τοῦ ἐγέννησα καὶ ἐθρεψάμην ἀντὶ τοῦ ἔθρεψα λέγομεν, οὕτω καὶ ἠγανακτησάμην ἀντὶ τοῦ ἠγανάκτησα. Λουκιανὸς ἐν τῷ ἐνυπνίῳ· ἀγανακτησαμένης δὲ τῆς μητρός. ὡσαύτως καὶ ἐθαψάμην ἀντὶ τοῦ ἔθαψα. Ἡρόδοτος ἐν τῇ πρώτῃ· καὶ εἶδον δι' ἐκείνων καὶ ἐθαψάμην.

Ἃ μὲν, ἃ δὲ μὴ εἴπῃς, ἀλλὰ τινὰ μὲν, τινὰ δὲ, εἰ καὶ Λουκιανὸς λέγει, οὐκ οἶδα εἴτε παίζων εἴτε σπουδάζων· λέγει γὰρ ἐν τῷ ῥητόρων διδάσκαλος· ἔπειτα δὲ καὶ αὐτὸς ἃ μὲν προϊόντι ἐπιδεικνὺς κατὰ τὴν ὁδὸν, ἃ δὲ καὶ παραινῶν. καὶ πάλιν ἐν Τίμωνι· διδοὺς ἅπασι τοῖς δεομένοις, ᾧ μὲν πέντε δραχμὰς, ᾧ δὲ μνᾶν, ᾧ δὲ ἡμιτάλαντον. ὁ δὲ αὐ-

---

1. *οὕτω καὶ* LaGB. *οὕτως* Edd. 2. *ὁ αὐτὸς* GCDP. *Θουκυδίδης* FO. *ὁ αὐτὸς Θουκυδίδης* B. *ἐν τῇ* Edd. *τῇ* om. LaG B. *ὀγδόῃ*] cap. 84. *ὄντων δ'* RRB, Thuc. *ὄντων δὲ* GEdd.
3. *αὐτῶν*] *αὐτὸν* P. *τοιούτῳ*] *τοι οὕτω καὶ ἐκ τοῦ ἀναλογίζομαι* B, proximis sine ulla distinctione agglutinatis.
4. Continuant DP. In H littera posuerunt FO, propter *ἠγανακτησάμην* vocabulum. 6. *ἐνυπνίῳ*] cap. 4. vol. I, p. 7. *ἀγαράκτησαμησ* B. 7. *ἐθαψάμην*] *ἐθρεψάμην* A. 8. *ἔθαψα*] *ἔθρεψα* A. *ἐν τῇ*] *τῇ* om. B. *πρώτῃ*] cap. 117. 9. *δι' ἐκείνων*] *δ' ἐκείνων* P. *δι' ἐκείνην* A. *ἐθαψάμην*] *ἐθρεψάμην* A. *ἔθαψάμιν* Herodotus.
10. *τινὰ μὲν, τινὰ δὲ*] *τὰ μὲν, τὰ δὲ* coni. Normannus, prob. Oudendorpius, vulgata tutans scholiastae verbis ad Lucianum, sumptis illis ex Thoma. 11. *λέγει* om. B. *οὐκ οἶδα* RRGBEdd. om. Phavor. p. 61. b. *σπουδάζων*] *σπουδάζων λέγει* B. 12. *ἐν τῷ ῥητόρων διδάσκαλος* RRGBEdd. om idem Phav. Est cap. 15 vol. I, p. 15. *ἔπειτα δὲ*] *δὲ* om. Lucianus. *αὐτὸς*] *ὁ αὐτὸς* Lb.
13. *προϊόντι*] *προτόντι* D. *ἐπιδεικνὺς* RRGEdd. *ἐπιδείκνυσι* B. *δεικνὺς* Phavor. 14. *Τίμωνι*] cap. 57. vol. I, p. 174.
15. *διδοὺς*] *διαδιδοὺς* Lucianus.

αὐτὸς οὗτος ἐξελέγχει τοῦτο ἐν τῷ ψευδο[σοφιστῇ ἢ]σολοικιστῇ αὐτοῦ.

Ἀφῆκεν εἰς τὸ πέλαγος, οὐκ ἐφῆκεν. Ἀριστείδης ἐν τῷ Αἰγαίῳ· ἀλλὰ διεξελθὼν ἐπ' ἄλλην ἀκτὴν κατάρας ἐκεῖθεν ἀφιέναι.

Καὶ ἀνακαλοῦμαι καὶ ἀνακαλῶ. Θουκυδίδης ἐν τῇ πρώτῃ· οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι τό τε πρῶτον δι' αὐτὰ ταῦτα ἀνεκάλεσαν αὐτόν.

Ἀναισθητεύομαι μὴ εἴπῃς, ἀλλ' ἀναισθήτως ἔχω καὶ οὐκ αἰσθάνομαι καὶ ἀναισθητῶ. Δημοσθένης· ἐπεπείσμην δὲ ὑπὲρ ἐμαυτοῦ τυχὸν μὲν ἀναισθητῶν.

Ἀπολύομαι μέμψεως καὶ ἀπολύομαι τὴν μέμψιν, ἢ ἀπολύω. Ἀριστείδης ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας δευτέρῳ· οἷς ἀπολύεσθε τὴν μέμψιν.

Ἀπόστολος ὁ ἀπεσταλμένος. Δημοσθένης· ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τε-

---

1. *τοῦτο ἐν τῷ*] *τούτῳ* B. *ψευδοσολοικιστῇ* ALLRRGCDP, item voc. *Τεθνήξεται.* *ψευδοσοφιστῇ* B et FO, hae quidem ex emendatione Graevii ad Lucian. vol. III, p. 554. Rtz., qui nescio *in quibus editis male legi* dicat *ψευδολογιστῇ*. Veri perquam simile est, quod tum Oudendorpius coniecit tum Witterus: *ψευδοσοφιστῇ ἢ σολοικιστῇ*.

3. *εἰς τὸ πέλαγος* ALaB. *τὸ* om. GEdd. *ἐφῆκεν*] *ἔφημεν* B. *Αἰγαίῳ*] vol. I, p. 436. (I, p. 403. Ddf.) 4. *διεξελθὼν* LaRR GBO, Aristid. *ἐξελθὼν* CDPF. *ἀκτὴν* LbRbGBPO. *ἀκτὶν* Ra CDF. *κατάρας*] *κουτάρας* B.

6. *Καὶ ἀνακαλοῦμαι* solus G. Omittebatur *καὶ*. *πρώτῃ*] cap. 131. 7. *τό τε* RR, Thucyd. Coniungebatur *τότε*.

8. *ἀνεκάλεσαν* ALLRRGB, Thucydides. *ἀνεκαλέσαντο* Edd. et boni quidam Thucydidis libri.

9. *εἴπῃς*] *εἴποις* La man. sec. 10. *Δημοσθένης*] de cor. p. 302. Rsk. *ἐπεπείσμην*] *ἐπιπείσμιν* B. 11. *τυχὸν*] *τυχὼν* LbRa. *μὲν* om. A.

12. *μέμψιν*] Quae sequuntur usque ad finem om. Rb. *ἢ*] *κάλλιον ἢ* coni. Witterus et Normannus. Erunt, quibus *ἤγουν* placeat.

13. *δευτέρῳ*] vol. II, p. 267. (I, p. 745. Ddf.) 14. *ἀπολύεσθε*] *ἀπολύεσθαὶ* B.

15. *Δημοσθένης*] Philipp. I, p. 53. R.

θνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. καὶ ἀπόστολος αὐτὴ ἡ ἀποστολή. Ἀριστείδης ἐν τῷ περὶ τοῦ μὴ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· χρήματα δ' ἡμῖν τὰ μὲν εἰς τὸν ἀπόστολον τὸν καλὸν ἐξανήλωται.

Αὐτομολία κάλλιον ἢ αὐτομόλησις. ὁ αὐτὸς ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· καὶ πρὸς αὐτὰς τὰς αὐτομολίας.

Ἀνεβίωσα ἐγὼ ἀμεταβάτως· μεταβατικῶς δὲ Πλάτων ἅπαξ εἶπεν ἐν τῷ Φαίδωνι· ἐάν πέρ γε ἡμῖν ὁ λόγος τελευτήσῃ καὶ μὴ δυνώμεθα αὐτὸν ἀναβιώσασθαι.

Ἀποδέχομαι καὶ αἰτιατικῇ καὶ γενικῇ. Δημοσθένης ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν· ἄξιον ἀποδέχεσθαι, ὦ Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν. Πλάτων ἐν Φαίδωνι· οὐκ ἀποδέχομαι ἐμαυτοῦ οὐδὲ ὥς. καὶ Συνέσιος ἐν τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ· καὶ ἡμεῖς ἀποδεχόμεθα λέγοντος.

---

2. *αὐτὴ ἡ ἀποστολή* LLGBCDPO. *ἡ ἀποστολὴ αὐτὴ* A. „*αὐτὴ ἡ ἀποστολὴ* RR. *addit insuper Ra τῶν νεῶν.*“ (*SIOEB.*) *ἀντὶ τοῦ ἀποστολὴ* F. *Ἀριστείδης*] vol. II, p. 32. extr. (I, p. 574. Ddf.) ubi *ἐξανήλωται* ex duob. codd. Dind. pro *ἐξανήλωτο*. *περὶ τοῦ* om. B

6. *ὁ αὐτὸς*] *Ἀριστείδης* FO et in margine B. Est vol. II, p. 14. (I, p. 360. Ddf.)

9. *Ἀνεβίωσα ἐγὼ*] *ἀνεβιωσάμην* coni. Oudendorpius, comprobavit Fischerus ad Welleri gramm. vol. III, p. 54. (ubi posuit *ἀνεβιωσάμην ἐγώ*.) 10. *Φαίδωνι*] p. 89. b. 11. *τελευτήσῃ*] *μελετήσῃ* Lb. *καὶ μὴ*] *μὴ* om. B. *δυνώμεθα* ALLRRGO. *δυνάμεθα* BCDPF.

13. *Δημοσθένης*] pag. 211. R. 14. *περὶ τῶν πρὸς Ἀλέξανδρον* coni. Oudendorpius. Legebatur *πρὸς Ἀλέξανδρον περὶ τῶν*.

15. *ὦ ἄνδρες Ἀθηναῖοι* Demosthenes. *τῶν*] *τὸν* Ra. *ὅρκοις* GBFO. *οἴκοις* C. *εἴκοις* DP. 17. *Φαίδωνι*] pag. 96. c.

19. *ἐπιστολῇ*] 4. p. 163. c. *ἀποδεχόμεθα*] *ἀπεδεχόμεθα* Synesius. *λέγοντος* ALLRRGBO, Phavor. p. 104. c. *λέγοντες* CDPF.

Ἀπρονόητος καὶ ὁ μὴ προνοῶν καὶ ὁ μὴ προνοούμενος παρά τινος. Λουκιανὸς ἐν τῷ Ζεὺς τραγῳδός· ἢ ὄντας ἀπρονοήτους εἶναι αὐτῶν.

Καὶ ἀγὼν καὶ ἀγωνία. Πλάτων ἐν Γοργίᾳ· δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆσθαι καθάπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ· καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους. [ἐκ δὴ τῆς ἀγωνίας ταύτης τῆς τὸν ἀγῶνα δηλούσης καὶ ἡ ἀγωνία ἤγουν ὁ φόβος παρήχθη.]

Ἀμφίεσμα τὸ ἔνδυμα, καὶ ἀμφίεσις. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· καὶ τὰ αὐτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων.

Ἀναγινώσκω τὸ βιβλίον διέξειμι· καὶ ἀναγινώσκω τὸ ἀναγνωρίζω, ἀφ' οὗ καὶ ἀνάγνωσις ἡ τῶν πρώτων μαθημάτων τῆς ψυχῆς ἀναγνώρισις ὡς προειδυίας ταῦτα, ὡς ὁ φιλόσοφος λόγος. εὕρηται δὲ καὶ παρ' Ἡροδότῳ ἀναγι-

---

1. παρά ALaRRB. ὑπό GEdd. 2. Λουκιανὸς] c. 18. vol. II, p. 662. τραγῳδός] ὁ τραγῳδός La. ἢ ὄντας om. B.
3. αὐτῶν] σφῶν αὐτῶν Lucianus.
4. Continuant DP. Totam §. om. Lb. Cum superiore §. (p. 47, 8.) conglutinarunt FO, item B. Καὶ ἀγὼν — πάσῃ ἀγωνίᾳ om. RbOx., habent ALaRaGCDP. Γοργίᾳ] pag. 456. d.
5. καθάπερ] ὥσπερ Plato. 6. ἄλλῃ πάσῃ ἀγωνίᾳ GEdd. πάσῃ ἄλλῃ ἀγωνίᾳ B. ἄλλῃ ἀγωνίᾳ πάσῃ (πάσι P) CDP priore illo loco. πάσῃ om. La. καὶ γὰρ — ἕνεκα om. B. καὶ γὰρ — ἀνθρώπους om. RROx., habent ALaG. 7. ἅπαντας] ἄλλοις ἅπαντας A.
8. Uncis comprehensa accesserunt ex Ra.
11. Haec priori notationi, quae est de Ἀποδέχομαι annectunt RR. ἔνδυμα] ἔνειμα B. ὁ αὐτὸς ἐν τῷ αὐτῷ LLRRGBOxCDP. Πλάτων ἐν Γοργίᾳ FO. Est pag. 523. d.
16. ἀναγνώρισις] ἐγνώρισις DP. ἀναγνώρησις Phavor. p. 73. c. προειδυίας] προοδυίας DP. 17. λόγος RbGBEdd. λῆρος Ra. „Alii[?] malunt λέγει, recte quidem nostro iudicio.“ STOEB. δὲ καὶ LLRaG. δὲ η B. καὶ om. Edd. Ἡροδότῳ] I, c. 128.

γνώσκω τὸ ἀναπείθω, ὡς ἐν τῇ πρώτῃ· οἱ μεν ἀνέγνωσαν μετεῖναι Κῦρον.

Ἄφθονος ὁ πολὺς καὶ ὁ μὴ φθονούμενος καὶ ὁ μὴ φθονῶν. Ἡρόδοτος ἐν τῇ τρίτῃ· ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι.

Ἀλογία ἡ τοῦ λόγου στέρησις καὶ ἡ ἀφροντισία· ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· ἀλογίην εἶχον τοῦ χρηστηρίου.

Ἀρὰ οὐ μόνον ἡ κατάρα, ἀλλὰ καὶ ἡ εὐχή. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ἀρὴν ἐποιήσαντο παῖδα γενέσθαι.

B.

Βῶλος ἐπὶ θηλυκοῦ, εἰ ἐπὶ γῆς λαμβάνεται. Συνέσιος ἐν ἐπιστολῇ τῇ Οἶμαί σου τὴν θεσπεσίαν ψυχήν· τὴν πατρῴαν βῶλον ὑποτελῆ τῇ συγκλήτῳ δεξάμενος. ἐπὶ δὲ ἁπλῶς λίθον καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἐκφέρειν δεῖ. Εὐριπίδης ἐν Ὀρέστῃ·

---

1. τῇ πρώτῃ] τῇ δὲ Rb. 2. μετεῖναι „*Thomae et Herodot. Codd.*" (*OUD.*) GBFO. με κτεῖναι CDP. „*unde Iungerm. Praef. ad Herodot. coniiciebat* μὴ κτεῖναι." *OUD.* Κῦρον] κύριον RbGB. κύρον CDP. τὸν Κῦρον FO ex Herodoto. τὸν om. LLB.

4. ἐν τῇ τρίτῃ] cap. 80. τῇ om. La. ἐν δ' Rb.

6. Ἀλογία „*MSS.*" (*OUD.*) GBCDPO. ἀλογία F. ἀφροντισία] ἀφροντιστία coni. Stoeberus. ὡς ὁ αὐτὸς G. ὡς αὐτὸς CDP. ὁ αὐτὸς Ἡρόδοτος B. Ἡρόδοτος FO. 7. τετάρτῃ] cap. 150. extr. ἀλογίην LaRRGBO, Herod. ἀλογίαν CDPF.

8. ὁ αὐτὸς GBCDP. Ἡρόδοτος FO. ἕκτῃ] cap. 63.

10. εἰ ALLRaGBO. ἡ CDPF. ἐπὶ om. B. Συνέσιος] epist. 88. p. 180. a. 11. ἐν ἐπιστολῇ τῇ ALLGO. ἐν ἐπιστολῇ τῆς B. ἐν τῇ ἐπιστολῇ Ra. ἐν τῇ, omisso ἐπιστολῇ, CDPF.

12. πατρῴαν GB. πατρῷαν Edd. δεξάμενος ALLRRGBOxCDP. διαδεξάμενος FO ex Synesio. 14. Ὀρέστῃ] v. 974. Pors., ubi φερομέναν δίναισι βῶλον legitur.

φερομέναν βῶλον ἐξ Ὀλύμπου.

Σοφοκλῆς ἐν Αἴαντι·

ὑγρᾶς ἀρούρας βῶλον ὃς ἔμελλε.

Βαλαντιοκλέπτης, οὐ βαλαντοκλέπτης. καὶ βαλαντιοτόμος, οὐ βαλαντοτόμος.

Βλάβος ἐπὶ οὐδετέρου δοκιμώτερον ἢ βλάβη.

Βλήχων, οὐ γλήχων. ἔστι δὲ εἶδος βοτάνης ἡ ἰδιωτικῶς λεγομένη βλησκούνη.

Βιβλιογράφος, οὐ βιβλιαγράφος. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· τρέπει μὲν ἐπὶ τοῦτο τῶν βιβλιογράφων δέκα.

Βυρσοδέψης, οὐ βυρσεύς.

Βὴξ καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ. Ἀριστείδης [ἐν τρίτῳ τῶν ἱερῶν·] βὴξ βαρεῖα. Θουκυδίδης ἐν τῇ δευ-

---

2. *Αἴαντι*] v. 1286. Sophoclia quoque mire truncata in Thomae exemplaribus. 3. *ὑγρᾶς* RbGEdd. *ὑγρὰς* Ra. *ἔμελλε* BEdd., Soph. *ἔμελλεν* ALaG.

4. *Βαλλαντιοκλέπτης* B. *Βαλανοκλέπτης, οὐ βαλανειοκλέπτης*, ut est apud Phrynichum p. 224., coni. Abreschius: contra e Thoma Phrynichum corrigunt Scaliger et Oudendorpius. *καὶ βαλαντιοτόμος*] *καὶ βαλαντιητόμος* G.

6. *οὐδετέρου. δοκιμώτερον ἡ βλάβη* Rb: quod placuit Stoebero.

7. *δὲ εἶδος*] *δὲ ἢ εἶδος* B. *ἡ* om. La. *ἡ — βλησκούνη* om. ALbGB. Exc. Guelf.: *Βλήχων ἡ κοινῶς βλησκούνη, οὐ γλήχων*.

9. *βιβλιαγράφος*] *βιβλιόγραφος* A. vid. Lobeck. Parerg. ad Phryn. p. 655. *Λιβάνιος*] vol. II, p. 39. b. (I, p. 78, 6. Rsk.) *περὶ τῆς — ἐπὶ τοῦτο τῶν* om. B.

12. Prioribus agglutinat B. *οὐ βυρσεύς*] *ὁ βυρσεύς* Ox.

13. *ἐπὶ ἀρσενικοῦ* RRGBO. *ἐπὶ* om. CDPF. Inverso ordine La: *καὶ ἐπὶ ἀρσεν. καὶ ἐπὶ θηλ.* *Ἀριστείδης*] vol. I, p. 551. (I, 491. Ddf.) reperies: *βὴξ ἐπιγίγνεται πυκνή τε καὶ ἰσχυρά.* *ἐν τρίτῳ τῶν ἱερῶν*, quae ab Mss. et Edd. absunt, ex unius Ra. eruimus vestigiis: *ἐν τῷ τῶν ἱερῶν*. 14. *Θουκυδίδης* ALLRRGB. *καὶ Θουκυδίδης* Edd. *ἐν τῇ* Edd. *τῇ* om. LLGB. *δευτέρᾳ*] cap. 49.

τέρα· κατέβαινεν ἐς τὰ στήθη ὁ πόνος μετὰ βηχὸς ἰσχυροῦ.

Βομβύκιον, οὐ βαμβύκιον.

Οἱ κυρίως Ἀττικοὶ ἐπὶ ἀρσενικοῦ ὁ βάτος λέγουσιν, οὐχ ἡ βάτος.

Βραγχᾶν, οὐ βραγχιᾶν· καὶ βράγχος οὐδετέρως.

Βραδύτερον, οὐ βράδιον· ποιητικὸν γάρ. καὶ Ἡσίοδος ἐν ἡμέραις·

βράδιον δὲ Πανελλήνεσσι φαείνει.

ἐκείνου δὲ μάρτυς Λιβάνιος ἐν ἐπιστολῇ· καί σε εἰ καὶ βραδύτερον, ἀλλὰ καὶ σεμνότερον ὄψομαι.

Βλὰξ καὶ ὁ τρυφῇ χαίρων, καὶ ὁ ἀναίσθητος καὶ πρὸς τὰ καλὰ ἀκινήτως ἔχων καὶ νωθρῶς. Ἀριστείδης ἐν τῷ πρὸς τοὺς αἰτιωμένους ὅτι μὴ μελετῴη· ἦ γὰρ ἂν παντάπασι βλὰξ εἴην τις. ὡσαύτως καὶ βλακεία καὶ ἡ τρυφὴ καὶ ἡ ἀναισθησία.

Βάρος νοῦ λέγειν βέλτιον ἢ μέγεθος.

Βλαβεῖμεν, βλαβεῖτε, βλαβεῖεν, οὐχὶ βλαβείημεν, βλαβείητε, βλαβείησαν. οἱ γὰρ Ἀττικοὶ ἐν πᾶσι πληθυντικοῖς τῶν εὐκτικῶν βαρυτόνων τε καὶ περισπωμένων καὶ τῶν εἰς μι

---

1. ἐς ALbRaG, Thucyd. εἰς BEdd. πόνος e Thucydide FO; idem coniicere licet in LLRR esse. πόλεμος AGBCDP.

3. βαμβύκιον] βαμβάκιον B.

4. ἐπὶ ἀρσενικοῦ] ἀρσενικῶς A. ἐπὶ om. RR.

6. βράγχος] βράχος P.

8. ἡμέραις] v. 528. 9. βράδιον] βράδειον B. Πανελληνέσσι FO ex Hesiodo, et, quantum quidem ex silentio coniicitur, ARR. πανέλληνοι LaGB. παρ' Ἕλλησι LbCDP, eodem errore, qui e Phrynichi (p. 101. Lob.) libro Paris. notatur in Bachmanni Anecd. vol. II, p. 385. 11. βραδύτερον] βραδύστερον B. ἀλλὰ καὶ GBEdd. καὶ om. ALaRR.

13. Ἀριστείδης] vol. III, p. 724. (II, 578. Ddf.) 14. ἦ B, Aristidis Barocc. unus. Vulgo utrobique ἤ. 16. ἀναισθησία] ἀναισθήσα P.

17. νοῦ ALaRbGBCDPO. οὐ Ra. νοῦς F.

παραληγομένοις τῷ η̄ ἀποβάλλουσιν αὐτό, οἷον τυφθεῖμεν, ποιοῖμεν, βαῖμεν. πλὴν φυλάττεσθαι δεῖ τὸ κακόφωνον, ἔνθα ἂν τύχῃ, ὡς ἐπὶ τοῦ βαῖτε καὶ σταῖτε καὶ τῶν ὁμοίων.

Βέβαιος ἐπὶ θηλυκοῦ κρεῖττον ἢ βεβαία. Ἀριστείδης· βέβαιον τὴν αἰτίαν ἔχοιεν ἄν.

Ἡ βοῦς, οὐχ ὁ βοῦς. ἀρσενικῶς δὲ μόνον τὸν τῆς παροιμίας ἐκφέρομεν βοῦν, οἷον τὸν βοῦν ἐπὶ γλώττης φέρει. ὡσαύτως ἐπὶ θηλυκοῦ καὶ τὸ τῶν βοῶν λέγομεν ἄθροισμα, οἷον τὴν βοῦν ἐληίσαντο. [λέγε δὲ ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης κἂν ἀναγκασθεὶς ἅπαξ βοῦς εἶπεν· ἐπὶ δὲ τῆς αἰτιατικῆς βοῦς.]

Βόλιτα λέγε τὴν τῶν βοῶν κόπρον, μὴ βόλβιτα.

Βαλάντιον καὶ πήρα ῥήτορες, οὐ μαρσίπιον.

Βρωμᾶται ὄνος, οὐκ ὀγκᾶται. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου

---

1. παραληγομένοις] παραλεγομένοις B. τῷ η̄ ALLRRGBOxO. τὸ η̄ Phavor. p. 156. a. τῷ ν̄ CF. τῶν DP. παραληγομένου τοῦ ν̄ Iun. τυφθεῖμει] τυφθοῖμεν GB. 2. βαῖμεν] βῶμεν B. 3. τύχῃ] τύχοι G.

5. Ἀριστείδης] vol. III, p. 394. (II, 313. Ddf.)

7. Ἡ βοῦς] ἡ om. LL. τὸν] τὸ Ox. 8. ἐκφέρομεν] ἐκφέροιμεν La. οἷον, τὸν Rb. οἷον τὸν LbB (in quo ν littera videtur erasa esse). οἷον τὸ, RaGEdd. Exc. Guelf.: βοῦς δὲ ἀρρενικῶς ὁ τῆς παροιμίας, ἐκ νομίσματος χρυσοῦ βοῦν ἔχοντος ἐντετυπωμένον. 9. θηλυκοῦ καὶ GBCDPO. θηλυκοῦ, καὶ RaF.

10. ἐληίσαντο LaRaGB. ἐληΐσατο Edd. εἰλκίσαντο A. ἑλκίσαντο Rb. λέγε δὲ — βοῦς om. ALLGOx, quapropter ab Thomae verbis separanda censuimus. λέγε δὲ ἐπὶ μὲν τῆς B. λέγεται ἐπὶ τῆς Ra. λέγεται ἐπ' Edd. 11. Ἀριστοφάνης] Praetermisit Dindorfius.

12. κἂν ἀναγκασθεὶς ἅπαξ Ra. κἂν om. B. ἀναγκασθεὶς om. CDP. κἂν ἀναγκασθεὶς om. FO. βοῦς RaO, atque ita Hemsterhusius post Wesselingium Obss. p. 133. βοῦν CDPF. βόες B. αἰτιατικῆς RaBO, Wessel., Hemsterh., Valckenarius p. 153. αἰτικῆς CDP. Ἀττικῆς F. 13. βοῦς] βοὺς B.

14. τὴν ALLRRGBCDPO. τὸν F. βόλβιτα] βόλβητα DP

15. μαρσίπιον] μαρσήπιον RaGB.

16. Λιβάνιος] vol. I, p. 309. b. (IV, p. 144, 18. Rsk.)

μελέτη· ὄνοι βρωμώμενοι. τὸ δὲ ὀγκᾶται οὐδεὶς τῶν ῥητόρων εἶπε.

Βατὶς θηλυκῶς ὁ ἰχθὺς, οὐχὶ *βάτος.*

Βραβεὺς, οὐ *βραβευτής.* Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ὅσων γὰρ εἰσεκήρυξαν οἱ βραβεῖς
δρόμων διαύλων.

ἔστι δὲ ὁ ἀγωνοθέτης, ὁ τὰ βραβεῖα τοῖς νικῶσι διδούς.

Βιασάμενος κόρην λέγε, μὴ *φθείρας.* καὶ *βεβιασμένη,* οὐκ *ἐφθαρμένη.*

Βόθρος, οὐ *βόθυνος* οὐδὲ *λάκκος·* ταῦτα γὰρ οὐκ ἴσασιν Ἀττικοί.

Βλαφθέντες δοκιμώτερον ἢ *βλαβέντες·* ὡσαύτως καὶ *βλαφθῆναι* ἢ *βλαβῆναι.* Θουκυδίδης· τῷ μεγίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι.

Βελόνη καὶ *βελονοπώλης* ἀρχαῖα, ἡ δὲ *ῥαφὶς* ἀδόκιμον· ῥάπτω μέντοι καὶ ῥάμμα, αὐτὸ τὸ ἐρράφθαι, ἐν χρήσει. Ἀριστείδης ἐν Διονύσῳ· καλέσας τὰς νύμφας λύει τὸ ῥάμμα.

Βάκηλος· ἁμαρτάνουσιν οἱ τιθέντες αὐτὸ ἐπὶ τοῦ βλακός. ση-

---

2. *εἶπε*] *εἶπεν* G.

3. *θηλυκῶς* E. Vulgo *θηλυκὸν.* *ἰχθὺς*] *ἰχθῦς* DP. *οὐχὶ* ALaRRGBOxO. *οὐχ ἡ* CDPF. *οὐχ ὁ* Sallierus ad Moer. p. 98.

4. *οὐ* GBEdd. *οὐχὶ* RR. *Ἠλέκτρᾳ*] v. 690. 5. *ὅσων*] *ὅσω* Ra. *εἰσεκήρυξαν*] *εἰσεκήρυξαν* F. *οἱ βραβεῖς* ALaRRGBOx CDP. *οἱ* om. FO, Soph. 7. *νικῶσι*] *νικῶν* B.

9. *βεβιασμένη*] *βιασμένη* Phav. p. 155. a. *οὐκ*] imo *μή.*

11. *λάκκος* GBEFO. *λάκος* CDP. *λακκός* et *οἱ Ἀττικοί* affert Piers. ad Moer. p. 105.

13. *δοκιμώτερον ἢ βλαβέντες* ALaRRGB, Iun. Phav. p. 156. c. *δόκιμον· τὸ δὲ βλαβέντες κοινόν* Edd. 14. *ἢ* ALaRRGB. Iun. Phav. *λέγε, μὴ* Edd. *Θουκυδίδης*] IV, cap. 73. *μεγίστῳ*] *βελτίστῳ* Thucydides: in quibusdam tamen libris *πλείστῳ.*

17. *μέντοι*] *μὲν* Ox. 18. *Ἀριστείδης*] vol. I, p. 52. (I, 48. Ddf.) *Διονύσῳ* ALaRRGBO. *Διονυσίῳ* CDPF.

20. *ἁμαρτάνουσιν*] *ἀμαρτάνουσιν* DP.

μαίνει γὰρ τὸν ἀποτετμημένον τὰ αἰδοῖα, ὃν Βιθυνοί τε καὶ Ἀσιανοὶ Γάλλον καλοῦσι. λέγε οὖν βλάκα καὶ βλάκιον, ὡς οἱ ἀρχαῖοι.

Βάτταλος ἐπὶ μαλακοῦ τάττεται, ἀπό τινος ὑποκριτοῦ Βαττάλου γυναικείοις πεδίλοις χρησαμένου. ὅθεν καὶ Δημοσθένης σκωπτόμενος παρὰ τῶν ἐχθρῶν εἰς μαλακίαν βάτταλος ἐκαλεῖτο.

Βρέχειν οὐδεὶς τῶν ἀρχαίων εἶπεν ἐπὶ ὑετοῦ, ἀλλὰ ὕειν. Ἀριστοφάνης ἐν νεφέλαις·

ἀλλὰ τίς ὕει;

καὶ ὕεσθαι παθητικῶς. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· πάντες γὰρ ὕονται· καὶ οὐκ εἰκάσαι γε ἡμᾶς ὅτι ὕονται. τὸ βρέχω μέντοι ἐπὶ τῶν ἀπαλυνομένων ὑπὸ ὕδατός φασι· σημείωσαι δὲ, ὡς ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ τῶν ἐξ αὐτοῦ πάντων χρόνων χώραν ἔχει τὸ βρέχω καὶ ἐπὶ ὑετοῦ λαμβάνεσθαι. Ἀριστοφάνης ἐν νεφέλαις·

---

1. *γὰρ* LaRbGB, Phryn. epit. p. 272. *δὲ* Edd. *αἰδοῖα*] *ἤγουν ὁ κοινῶς εὐνοῦχος* add. E. 2. *λέγε — ἀρχαῖοι* ALLRRGBOxC DPO. om. F. *οὖν*] *βοῦν* B. *βλάκα καὶ βλάκιον*] *βλάξ καὶ βλάκιον* Phrynichus. *βλάξ καὶ βλακίων* Phav. p. 148. a. *βλάκα καὶ βλακικὸν* coni. Normannus, prob. Lobeckius. *βλάκα καὶ βλακίονα* coni. Oudendorpius. 3. *ἀρχαῖοι* RbCDFO. *ἀρχαίοι* BP. *ἀχαιοί* Ra.

4. *Βάτταλος*] *ἄτταλος* B. *μαλακοῦ*] *θηλυκοῦ* Iun.

7. *ἐκαλεῖτο*] *ὠνομάσθη* B.

8. *Βρέχειν* ALLRRG, Iun. *βρεχεῖν* B. *βρέχει* Edd. *ὕειν* ALLR RGB, Iun. *ὕει* Edd. 9. *νεφέλαις*] v. 368. 10. *ἀλλὰ τίς*] *ἀλλ' εἴ τις* La. *τίς* om. B. 11. *ὕεσθαι*] *ὕεται* B. *Ἀριστείδης*] vol. III, p. 613. (II, 486. Ddf.) *Αἰγυπτίῳ*] *Αἰγύπτω* B. 12. *ἡμᾶς*] Laurentianis, ex quibus *ἡμᾶς* pro vulgato apud Aristidem *ὑμᾶς* restituit Dindorfius, accedunt Thomae Mss. et Edd. 14. *ὑπὸ* ARR. *ἐπὶ* La, Iun. *ἀπὸ* GBEdd. Exc. Guelf. π. ρ.: *Βρέχειν ἤγουν δι' ὕδατος ἁπαλύνειν, οὐ τὸ ὕειν.* *τοῦ παθητικοῦ* ALaRRGBO. *τοῦ* om. CDPF. 16. *βρέχω*] *βρέχει* DP.

πρὶν ἂν τουτὶ πτύξωμαι μὴ καταβρε-
χθῶ.

καὶ Ἀριστείδης ἐν τῷ αὐτῷ· ὅπου γὰρ καὶ ἡ γῆ ψιλὴ βρεχθεῖσα.

Βαβαὶ λογογραφικόν, βαβαιὰξ ποιητικόν. Ἀριστοφάνης ἐν βατράχοις·

βαβαιὰξ μυριάκις ἐν τῷ βίῳ.

Βασίλεια γυνή, Αἰσχύλος ἐν Πέρσαις·

βασίλεια γύναι,

καὶ βασιλίς. βασιλὶς μέντοι καὶ βασίλειος πόλις καὶ οἰκία καὶ ναῦς, οὐ μὴν καὶ βασιλεία· βασίλειος δ᾽ αὖ μόνον δημηγορία καὶ ἐπιστολή. Φιλόστρατος ἐν σοφιστῶν βίοις· διῆγε τὰς βασιλείους φροντίδας. βασίλισσα δὲ γυνὴ οὐδεὶς τῶν ἀρχαίων εἶπε.

Βασίλεια κρεῖττον ἢ ἀνάκτορα· τὸ δὲ παλάτια ἀδόκιμον. ἀρχεῖα δὲ παρά τισιν εἴρηται.

Βαρὺς τὴν ὀφρὺν κάλλιον ἢ σκυθρωπός.

Ἐκ βαθέων ἐστὶν ὁ δεῖνα οἴκων λέγε, ἢ ἐκ γονέων πλουσίων.

Βεβὼς Ἀττικοὶ λέγουσιν, οὐ βεβηκώς, καὶ βεβᾶσιν, οὐ βεβήκασι.

---

1. πτύξωμαι ALLGCDPO. πτύξομαι BF. καταβρεχθῶ] κατοβρεχθῶ D. 3. Ἀριστείδης] p. 611. (485. Ddf.) ἡ γῆ Aristidis duo Laurent.; vulgo illic γῆ. 4. βρεχθεῖσα] βρεχθεῖσο DP.

6. βατράχοις] v. 63.

8. Totam notationem om. B. Αἰσχύλος] Αἰσχῦλος C. „Αἰσχύλ. ἐν Πέρσ. om. Ox.“ Est v. 623. 10. καὶ βασιλίς] οὐ βασίλισσα add. E. μέντοι] μὲν La. Interpunctione a proximis seiungit G. βασίλειος] βασίλιος Ra. καὶ οἰκία καὶ ναῦς Ra. καὶ ναῦς καὶ οἰκία E. οἰκία (sine καὶ) καὶ ναῦς GEdd. 11. βασιλεία] Notabatur βασίλεια. βασίλια Ra. 12. Φιλόστρατος] I, 8, 2. p. 490. Ol. 14. ἀρχαίων] ἀρχαὶ La.

16. ἀρχεῖα] ἀχρεῖα B.

17. ὀφρὺν GB. ὀφρῦν Edd. σκυθρωπός] σκυθροπός D.

18. ὁ δεῖνα] οὐδεῖνα C. ἢ] οὐκ coni. Abreschius. Imo μή.

19. λέγουσιν] λέγουσι B.

Βρώματα πληθυντικῶς, οὐ βρῶμα οὐδὲ βρῶσις.

Τὸν βίον ἐκ χειρῶν ποιεῖται ἐρεῖς, οὐ τὰ πρὸς τροφήν. Λιβάνιος ἐν τῇ Οἵα τετόλμηται ἐπιστολῇ· εἰ τὸν βίον ἐκ χειρῶν ποιουμένη συγκατακλίνοιτο τῷ δοῦναι δυναμένῳ.

Βασιλεὺς κυρίως ὁ πατρόθεν ἢ ἄλλως ἀπὸ γένους ἔχων τὴν ἀρχήν· κοίρανος ὁ πρὸς καιρὸν τὸ τοῦ βασιλέως ἔργον ποιῶν· ἡγεμὼν δὲ ὁ τάξεως στρατιωτικῆς ἡγούμενος. τὸ δὲ ἄρχων καὶ ἐπὶ τῶν τριῶν λαμβάνεται· τὸ μέντοι κρατῶν ἐπὶ μόνου τοῦ βασιλεύοντος.

Βουλευτήριον, οὐ βουλεῖον δῆθεν ἀπὸ τοῦ βουλή. ἔστι δὲ βουλευτήριον οὐ μόνον ὁ τόπος ἐν ᾧ βουλεύονται, ἀλλὰ καὶ αὐτοὶ οἱ βουλευταί. Συνέσιος ἐν ἐπιστολῇ· ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου. ἀλλὰ δὴ καὶ τὸ σχολεῖον ἐν ᾧ ἐδίδασκον καὶ ἠγωνίζοντο οἱ διδάσκαλοι. Ἀριστείδης ἐν τῇ ἐπὶ Σμύρνῃ μονῳδίᾳ· ποῦ μοι τὸ βουλευτήριον; ποῦ νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι; Λιβάνιος ἐν ἐπιστολῇ· τοῦτον ἥκοντα μὲν εὐθὺς εἰσήγομεν εἰς τὸ βουλευτήριον.

---

2. *Τὸν βίον* ALaGBCDP. *τὸν* om. FO. *χειρῶν*] *χειρὸς* Rb. „*Λιβάνιος*] *cetera desunt Ra.*“ 3. *ἐπιστολῇ*] 551. p. 268.

7. *καιρὸν*] *καρὸν* B. *τοῦ* om. E. 8. *δὲ* om. E. *τάξεως στρατιωτικῆς*] *στρατιωτικῆς τάξεως* E. *ἡγούμενος*] *ἐχόμενος* GB. *τὸ δὲ ἄρχων*] *ἄρχων δὲ* E. 9. *τῶν τριῶν — μέντοι* om. B. *λαμβάνεται — βασιλεύοντος* om. E. 10. *ἐπὶ μόνου* ALL RRGBOxO, Phavor. p. 150. c. *ἐπὶ μόνον* CDPF. *μόνον ἐπὶ* coni. Iensius.

11. *οὐ βουλεῖον — μόνον* om. Rb. (habet Ra.) *δῆθεν*] *δεῖθεν* B. 12. *ὁ τόπος*] *ὁ* om. B. *βουλεύονται*] *ἐβουλεύοντο* E, quae sic pergunt: *καὶ τὸ τῶν βουλευτῶν ἄθροισμα· καὶ ἔτι τὸ σχολεῖον ἐν ᾧ διδάσκαλοι ἠγωνίζοντο.* 13. *βουλευταί*] *βούλευται* DP. *Συνέσιος*] ep. 19. p. 176. b. 14. *παρὰ* ALLRRBO, Iun., Synesius. *περὶ* CDPF. 16. *Ἀριστείδης*] vol. I, p. 459. (I. 427. Ddf.) *Σμύρνῃ* LLOxCDPO, Arist. *Σμύνῃ* B. *Σμύρνην* ABR GF. 19. *ἐπιστολῇ*] 1083. p. 516. 20. *εἰσήγομεν εἰς τὸ βου-*

Βύραθρος ἀρσενικῶς ὁ βαράθρου ἄξιος ἄνθρωπος· βάραθρον δὲ ὄρυγμά τι, εἰς ὃ τοὺς κακούργους ἔβαλλον. κρεῖττον δὲ λέγειν βαράθρου ἄξιος ἢ ὀλέθρου.

Βιοῦν ἐπὶ ἀνθρώπων, ζῆν δὲ καὶ ἐπὶ ἀνθρώπων καὶ ἐπὶ ἄλλων ζώων. ἐντεῦθεν Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτως· βίος ἐστὶ λογικὴ ζωή.

Βλέπειν τὸ ἁπλῶς ὁρᾶν· θεᾶσθαι δὲ καὶ τὸ ὁρᾶν τι τῶν ἐν τῷ θεάτρῳ γινομένων, οἷον πάλην, πυγμὴν καὶ τὰ τοιαῦτα. ἐξ οὗ καὶ θέατρον, ὁ ἀγών. ἔστι δὲ θεᾶσθαι καὶ τὸ κατανοεῖν. Εὐριπίδης ἐν Ὀρέστῃ·

θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην.

Βασκαίνω οὐ μόνον ἀντὶ τοῦ φθονῶ, ὅπερ πρὸς δοτικὴν συντάσσεται, ἀλλὰ καὶ ἀντὶ τοῦ μέμφομαι καὶ διαβάλλω παρὰ τοῖς παλαιοῖς εὕρηται, καὶ συντάσσεται πρὸς αἰτιατικήν. Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ· ταύτην βασκαίνειν καὶ διαλύειν πειρᾶσθαι. καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ· ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν, πόθεν καὶ τί μέλλει ποι-

---

λευτήριον] εἰς τὸ βουλ. εἰσήγ. Libanius. βουλευτήριον LLGBCDP O. βουλητήριον F.

1. βαράθρου] βράθρου B. βάραθρον GBFO. βάθρου CD P. 2. ἔβαλλον] ἔβαλον B. 3. ὀλέθρου] ὄλεθρος coni. Valckenarius Animadv. ad Ammon. p. 43. ......βάραθρος ὁ ὀλέθρου ἄξιος E.

4. ἐπὶ ἄλλων] ἐπ' ἄλλων Ra. ἐπὶ om. B. ἄλλων] ἀλόγων, ut est apud Ammonium, coni. Valckenarius not. ad p. 30., quod non displicet Oudendorpio. 5. οὕτως] οὕτως CDP.

8. πάλην] πάλιν Rb. 9. δὲ om. Rb. 10. ἐν Ὀρέστῃ LLRRGBO,Iun. om. CDPF. Est v. 901. Pors. 11. ὧδε] ὁ δὲ DP.

12. μόνον] μόνων B. δοτικὴν] δοτικὴ B. 15. Δημοσθένης] p. 94. Rsk. Χερρονήσῳ GFO. χερονήσῳ B. χερροννήσῳ C. χερρονήσῳ DP. 16. διαλύειν apud Demosthenem legebatur ante Bekkerum: nunc διαλῦσαι. πειρᾶσθαι] τειρᾶσθαι B. 17. λόγῳ] p. 95. 18. τί] Scribebatur τὶ.

εῖν. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· ὅσον φιλονεικίας ἢ τοῦ βασκαίνειν τὸν ἄνδρα ἀφέστηκα.

Βοηθεῖ μὲν ὁ συνὼν τινι, ἐπικουρεῖ δὲ ὁ ἔξωθεν εἰς βοήθειαν ἥκων· καὶ συμμαχεῖ δὲ ὁ αὐτόθεν, ὑπερμαχεῖ δὲ ὁ ἀδυνάτῳ χρησιμεύων, ἀμύνει δὲ ὁ ὑπὲρ τοῦ πεπονθότος κακῶς τῷ δεδρακότι μαχόμενος. πάντα δὲ ταῦτα καὶ ἀντὶ τοῦ βοηθεῖν ἁπλῶς λαμβάνεται.

Βουκολεῖν τὸ τρέφειν· ἀποβουκολεῖν δὲ τὸ ἀποπλανᾶν, ὥς ἔφη τις τῶν σοφῶν· φθάνει τις ταῖς ἐλπίσιν ἡμᾶς ἀποβουκολῶν. καὶ Λουκιανὸς ἐν Ἑρμοῦ καὶ Πλούτωνος διαλόγῳ· εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ [ἐπ]ελπίζει, ἤγουν ἀπατᾷ καὶ εἰς ἐλπίδας ἄγει.

Βρύχειν τοὺς ὀδόντας, οὐ τρύζειν.

Βαρβαροκτόνος ὁ κτείνων τοὺς βαρβάρους, βαρβαρόκτονος

---

1. Ἀριστείδης] vol. II, p. 4. (I, 552. Ddf.) περὶ om. P. 3. ἀφέστηκα] ἀπέκτεινα Ox.

4. Βοηθεῖ] βοηθεῖν Ra. 5. συμμαχεῖ δὲ LLGBO. δὲ om. CDPF. ὁ αὐτόθεν ausus sum ex Ammonio p. 31. transferre; scribebatur ὁ αὐτὸς, pro quo ἐπὶ τοῦ αὐτοῦ E. π. ῥ. 7. Post μαχόμενος E. sic pergunt: οὗ τὸ παθητικὸν ἀμύνομαι, σημαίνει τὸ μάχομαι. διαφέρει δὲ τό τε μάχομαι καὶ ἀμύνομαι, ὅτι τὸ μὲν μάχομαι λέγεται, ὅταν ἐγὼ προκατάρχω μάχης. ἀμύνομαι δὲ, ὅταν ἑτέρου κατάρξαντος, αὐτὸς ἀντιμάχωμαι καὶ ἀντιπράττω.

9. δὲ om. G. 10. φθάνει τις GBEdd. Phav. p. 160. c. τις om. ALaRR. φθάνει τις ἀεὶ coni. Hemsterhusius. 12. Πλούτωνος RaGBO. Πλάτωνος Rb. Πλύτωνος F. διαλόγῳ] §. 2. vol. I, p. 345. διαβουκολεῖ] διαβουκολεῖν et mox ἐλπίζειν Ra.

13. ἐπελπίζει Lucianus, Phavor. p. 160 c. et 258. a., Heinsius in margine. ἐλπίζει Thomae Mss. et Edd. tum hic tum infra voc. Ἐλπίζω. Non potuit non fluctuare Iensii et Hemsterhusii iudicium ad Luc. l. c.

15. Βρύχειν] βρύζειν E. π. ῥ. βρύκειν Sallierus affert ad Moer. p. 100. τοὺς] τοὺς D. τοῦ P. οὐ om. B. τρύζειν] τρίζειν coni. Valckenarius ad Ammon. p. 32. Salliérusque ad Moer. p. 101., nec improbant Stoeberus et Oudendorpius.

δὲ ὁ ὑπὸ βαρβάρων κτανθείς· ὥσπερ καὶ πενθερόκτονος καὶ πενθεροκτόνος, καὶ ὅσα τοιαῦτα.

Βύειν ἐπὶ ὤτων, καταμύειν ἐπὶ ὀφθαλμῶν, συμμύειν ἐπὶ στόματος, μύειν δὲ ἐπὶ πασῶν τῶν αἰσθήσεων, ὡς τὸ τοῦ θεολόγου· μύσαντα τὰς αἰσθήσεις.

Βωμολόχος ὁ φλύαρος, ἐκ μεταφορᾶς τῶν τοῖς βωμοῖς ἐλλοχώντων πενήτων ἵνα τι τῶν θυομένων ἢ ὑφέλωσιν ἢ ἁρπάσωσιν· εἰς τοῦτο δ' ἰόντες οἱ τοιοῦτοι καὶ ἄθεσμά τινα ἔλεγον.

Οὐ μόνον βαρβαρικὸς πόλεμος, ἀλλὰ καὶ βάρβαρος. Θουκυδίδης· βάρβαρον ἢ Ἕλληνα πόλεμον.

Τὸ βασανίζειν ἐπὶ δοκιμασίας λαμβάνεται, καὶ τῆς διὰ λόγων καὶ τῆς διὰ τιμωρητικῶν ὀργάνων. μὴ λέγε οὖν βεβασάνισται ὑπὸ νόσου, ἀλλ' ἐξήτασται.

Βαρύνειν χρήσιμον, βαρεῖν δὲ ἄχρηστον παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν. πλὴν ἐπὶ τοῦ παρακειμένου οὐ βε-

---

1. βαρβάρων] βαρβάρου La. κτανθεὶς] κταντεὶς B.

3. ὤτων RRGB. ὠτῶν Edd. τῶν ὤτων A. καταμύειν RRGB E π. ῥ., Wolfius. καμύειν CDPF. καμμύειν de Bosii coni., probata Salliero Oudendorpioque, O. 4. δὲ] δὲ ἁπλῶς E π. ῥ. 5. θεολόγου] Gregor. Naz. p. 4. Col. μύσαντα] μύσουσαν A.

6. Βωμολόγος Ra. βαμολόχος DP. 7. ἐλλοχώντων ALLRbGBEO. ἐλλοχώτων Ra. ἐλλοχόντων CDPF. ἵνα — ἁρπάσωσιν] ἵνα τι ὑφέλωνται E. 8. εἰς — τοιοῦτοι] ἡνίκα E. δ' ἰόντες] ἰόντες coni. Oudendorpius. Vulgo δὲ ὄντες. καὶ om. Ox.

10. Θουκυδίδης] II, cap. 36.

12. Τὸ om. Rb. „βασανίζειν] addit huic verbo aliud ἐπιδοκιμάζειν *Hadr. Iunius.*" *BERN.* λόγων ALLRRGBCDPO, Phav. p. 150. c. λόγου F. 13. τιμορητικῶν B. τιμωρικῶν Ox.

14. ἐξήστασαι B. ἐζήτασται DP. Exc. Guelf. π. ῥ. sic: Βασανίζειν· τό τε δοκιμάζειν καὶ τὸ τιμωρεῖν. ἐπὶ δὲ νόσου· ἐξητάζεσθαι χρὴ λέγειν οὐ βασανίζεσθαι. Unde erit qui coniiciat ἐξήτασται. Ceterum ἐξετάζεσθαι ὑπὸ νόσου ne apud ecclesiasticos quidem scriptores repperi: aliena enim sunt ἐξετάζεσθαι ἐν ἀρρωστίᾳ, ἐν πενίᾳ et quae sunt similia.

βάρυγκα λέγουσιν, ἀλλὰ βεβάρηκα εἰς παθητικοῦ σημασίαν. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· οἱ δ' ἧκον οἴνῳ βεβαρηκότες οἱ ναῦται.

Τὰ εἰς κος τινὰ μέν εἰσι κτητικά, οἷον βασιλικὸς λόγος, ἢ ὃν ἔγραψε βασιλεὺς ἢ ὃν ἔγραψέ τις εἰς βασιλέα· [Πλατωνικὸν βιβλίον·] τινὰ δὲ δηλοῦσιν ἐπιτηδειότητά τινος εἴς τι, οἷον δρομικὸς ὁ ἐπιτηδειότητα ἔχων εἰς δρόμον, κἂν μηδέπω ἔδραμε, καὶ πυκτικὸς ὁ ἐπιτηδειότητα ἔχων εἰς τὸ πυκτεύειν· τὰ δὲ λέγονται ἐνεργείᾳ, οἷον μουσικὸς ὁ εἰδὼς μουσικὴν, καὶ γραμματικὸς ὁ εἰδὼς γραμματικήν· τὰ δὲ φύσει, οἷον λογικὸς ὁ λόγῳ χρώμενος.

Βέλος τὸ πεμπόμενον, καὶ αὐτὴ ἡ βολὴ, καὶ τὸ ἐκ τῆς βολῆς τραῦμα. Ὅμηρος δὲ καὶ τὴν ὠδίνουσαν ὀξὺ βέλος ἔχειν φησίν.

Οὐ μόνον βουλεύομαι, ἀλλὰ καὶ βουλεύω. Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ· ἐν ᾗ τινες ἦσαν τῆς εὑρέσεως ἐλπίδες, οὕτως ἐβούλευσαν. καὶ βουλεύω ἀντὶ τοῦ βουλευτής εἰμι. ἐπιβουλεύω δὲ τὸ ἐπιβουλὴν ἀρτύω κα-

---

1. λέγουσιν] καλοῦσιν La. βεβάρηκα LaRRGBO, Iun. βεβάρυκα CDPF. παθητικοῦ RRGB: παθητικὴν Edd.
2. Ἀριστείδης] vol. I, p. 583. (I, 511. Ddf.) ἐν τετάρτῳ] ἐν τῷ B. οἱ δ'] οἴδ' GBEdd. οὐδ' A. ἧκον] ἥκων B. ἥκειν ARb.
3. βεβαρηκότες vulgatum apud Aristidem: βεβαρηότες Dindorfi rec.
4. Βασιλικὸς λόγος praemittit Phavor. p. 151. a. κος] γος P. λόγος, ἢ ὃν] λόγος, οἷον La. 5. ἢ ὃν — βασιλεὺς om. Ox. et Leopardus Emend. XII, 4. p. 241. Πλατωνικὸν βιβλίον] καὶ praemittit Phav. Prorsus om. ALaGB: quod uncis significavimus.
6. ἐπιτηδειότητα — δρομικὸς om. B. 7. εἰς om. B.
8. πυκτικὸς] πρακτικὸς Ox. 9. πυκτεύειν] πράττειν Ox. λέγοντα B. λέγεται La. 10. εἰδὼν B. εἰδῶς P.
12. τὸ — τραῦμα] τὰ — τραύματα La. βολῆς τραῦμα] βοῆς πρᾶγμα B. 13. τὴν] τὸ τὴν B. 14. φησίν] Iliad. XI, 269.
16. Ἀντιοχικῷ] vol. II, p. 341. (I, p. 288, 12. Rsk.) ᾗ ARRGBEdd. ᾧ La, Iun. ἦσαν ALLRRGBO. om. CDPF. τῆς om. B. 17. βουλεύω] ἐπιβουλεύω B. 18. ἐπιβουλὴν „MSS.“ (OUD.) GBCDPO. ἐπὶ βουλὴν F. ἀρτίω ARb.

τά τινος· καὶ αὖ ἐπιβουλεύω τὸ μετά τι βουλεύομαι. Ἀριστοφάνης ἐν Πλούτῳ·

τί δὲ ταῦτ᾽ ἐπιβουλεύει ποιεῖν
ἡμᾶς;

καὶ Θουκυδίδης ἐν τῇ τρίτῃ· ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν.

Ἰστέον δὲ ὅτι τὸ βούλομαι μετὰ παρῳχημένου καὶ ἐνεστῶτος μόνον τίθεται, οὐδέποτε δὲ μετὰ μέλλοντος. Ὅμηρος ἐν α´ Ἰλιάδος·

βούλομ᾽ ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.

Θουκυδίδης ἐν [τῇ] ἑβδόμῃ· βουλόμενοι ἐκ τῶν οἰκιῶν λαβεῖν τι ἐδώδιμον. Λουκιανὸς ἐν τοῖς ἀληθινοῖς· βούλομαι αὖθις ἐξενεγκεῖν.

Ὡσαύτως καὶ τὸ θέλω καὶ ἐθέλω, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ὁμήρους ἐπὶ τούτοις δοῦναι ἤθελε.

Καὶ

---

1. *τι* GBEdd. om. La. *τινος* A, et E. π. ῥ.: haec enim inde ab initio sic: *Βουλεύομαι τὸ βουλευτής εἰμι. καὶ βουλεύω τὸ συμβουλεύω. καὶ ἐπιβουλεύω τὸ κακουργῶ τι. καὶ ἐπιβουλεύω τὸ μετά τινος βουλεύομαι.* 2. *Πλούτῳ*] v. 1112. 3. *τί δὲ*] (*διὰ*) *τί γε* vulgo apud Aristophanem: sed *τί δὴ* duo codd. ap. Elmsleium ad Eur. Med. p. 315. not. Lips. *ταῦτ᾽ ἐπιβουλεύει ποιεῖν ἡμᾶς*] hoc ordine RR, Arist. *ταῦθ᾽ ἡμᾶς ἐπιβουλεύει ποιεῖν* GBEdd., quo de fallitur Hemsterhusius ad Plutum. *ἐπιβουλεύῃ* La. *ἐπιβουλεύειν* Rb et Dorvillianus Aristophanis. *ποιεῖν*] *πονεῖν* La. 5. *Θουκυδίδης*] III, cap. 20. *τῇ τρίτῃ* Lb. *τρίτῃ* GBEdd. 6. *τῶν Ἀθηναίων* A.

8. Prioribus continuant DP. 10. *Ἰλιάδος*] I, v. 117.

11. *βούλομ᾽ ἐγὼ* RaGBEdd. *βούλομαι ᾽γω* Rb. *σόον* A. *σῶον* RRGBEdd. 13. *τῇ* adiecimus ut p. 44, 8. 46, 7. *ἑβδόμῃ*] cap. 78. *ἐκ*] *ἔκ τε* Thucyd. 15. *ἀληθινοῖς*] I, c. 12. vol. II, p. 19.

16. *καὶ τὸ ἐθέλω ὡσαύτως* B. *θέλω καὶ* om. F. „*La. modo θέλω.*“ (*OUD.*) *καὶ ἐθέλω* om. A. *καὶ τὸ ἐθέλω.* G. *ὁ αὐτὸς*] cap. 19. p. 85. 17. *τούτοις*] *τούτῳ* LbGB.

Καὶ τὸ βιάζω δὲ καὶ τὸ ἀναγκάζω. Θουκυδίδης ἐν τῇ πρώτῃ· ὁμολογίᾳ ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν. καὶ αὖθις ἐν τῇ τετάρτῃ· οὐκ ἀνέμειναν ἀνάγκην σφίσι γενέσθαι.

Καὶ τὸ ἐπιθυμῶ δὲ καὶ τὸ ἀξιῶ καὶ τὸ δέομαι καὶ τὸ ἱκετεύω καὶ τὸ ποθῶ. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ἑτέρους ἐπιθυμεῖν ἐκεῖσε πλεύσαντας δεύτερον ἐπαγαγέσθαι. ὁ αὐτὸς αὖθις ἐν τῇ πέμπτῃ· ἠξίουν σφίσιν ἀποδοῦναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι. Λουκιανὸς ἐν τῷ ῥητόρων διδάσκαλος· ἐπιθυμῶν δηλαδὴ ὅτι τάχιστα γενέσθαι ἐπὶ τῆς ἄκρας. ὁ αὐτὸς ἐν τοῖς ἀληθινοῖς· ἠξίουν ἀποπεμφθῆναι κάτω. καὶ αὖθις ἐν τοῖς αὐτοῖς· ἱκέτευον εἰπεῖν τὰ μέλλοντα. καὶ πάλιν ἐν τῷ ῥητόρων διδάσκαλος· οἶπερ ἐξ ἀρχῆς ἐπόθεις ἐλθεῖν.

Ὡσαύτως καὶ τὸ μαντεύομαι καὶ τὸ ἐῶ καὶ τὸ παραι-

---

1. ἀναγκάζω] καὶ τὸ ἀναμένω addi vult Abreschius.
2. πρώτῃ] cap. 107. πρώτῃ ὁμολογίᾳ, coniungit P. 3. τετάρτῃ] cap. 120. ἀνέμειναν] ἀτολμίᾳ add. Thucyd. 4. ἀνάγκῃ La, Thucydidis Cassel. et Vindob. προσγενέσθαι Thuc.

6. ἕκτῃ] cap. 10. 7. δεύτερον RbGB, Iun., Edd., Thucydidis libri longe plurimi, apud quem tamen vulgatur δεῦρο. ἐπαγαγέσθαι LaRRGB, Iun., O. ἀπαγαγέσθαι CDPF. 8. ἐν τῇ πέμπτῃ ALaRROxO, Dukerus ad Thuc. V, 39. ἐν πέμπτῃ G. ἐν $\frac{\omega}{\varepsilon}$ B. ἐν τῇ ἕκτῃ CDPF. Est V, c. 35. 9. αὐτῇ] cap. 39.
10. ποίνακτον B. 11. δεσμώτας GBO. δεσμῶτας CDPF. Λουκιανὸς] cap. 6. vol. III, p. 6. 12. τάχιστος B.
13. ὁ et ἐν om. B. 14. ἀληθινοῖς] I, c. 21. vol. II, p. 87. ἀποποπεμφθῆναι P. πεμφθῆναι Ox. 15. αὐτοῖς] II, c. 27. p. 124. 16. διδάσκαλος] cap. 26. vol. III, p. 28. 17. ἐξαρχῆς G constanter, B.
18. τὸ ἐῶ AGBO. „τὸ ἔω LL.“ ἐῶ CDPF.

τοῦμαι καὶ τὸ ὀρέγομαι καὶ τὸ κελεύω καὶ τὸ δύναμαι καὶ τὸ ζητῶ καὶ τὸ ὀφείλω καὶ τὸ ἀγωνίζομαι καὶ τὸ παραινῶ καὶ τὸ τολμῶ. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς διαλόγοις· οὐδὲ πώποτε προμαντευομένους οὕτω γενέσθαι ταῦτα. ὁ αὐτὸς ἐν τοῖς ἐναλίοις· ἐάσατε ῥῖψαι ἐμαυτόν. καὶ αὖθις ἐν τοῖς αὐτοῖς· τὸ βρέφος δὲ παρῃτεῖτο μὴ ἀποθανεῖν. καὶ αὖθις ἐν τῷ θεῶν κρίσις· καὶ τούτων ὀρέγεσθαι τυχεῖν. καὶ αὖθις ἐν τοῖς νεκρικοῖς· τὸν Ἑρμῆν κέλευσον ἀπεργάσασθαι αὐτόν, οἷος ἦν ἐκ τοῦ παστοῦ. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· κελεύει καταβάντα εἰς τὸν ποταμὸν τὸν πρὸ τῆς πόλεως ῥέοντα λούσασθαι. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· τίς ἐνδείξασθαι δυνηθείη; καὶ αὖθις ἐν τῷ αὐτῷ· ἔδοξεν οὖν ἡμῖν οὐ χεῖρον εἶναι μεταπέμψασθαι καὶ τὸν νεωκόρον. Θουκυδίδης ἐν τῇ τρίτῃ· πρὸς Ἀθηναίους

---

1. καὶ τὸ κελεύω — ζητῶ om. B. καὶ κελεύω P. δύναμαι] καὶ τὸ δοκῶ inserendum ait Abreschius. 2. ἀγονίζομαι F.
3. Inter παραινῶ et καὶ inserit B Λουκιανὸς ἐν τὸ παραινῶ. Λουκιανοῖς G. 4. διαλόγοις] XI, c. 2. vol. I, p. 378. προμαντευομένους ABaGBO. προμαντευόμενος CDPF. 5. οὕτω ALLGBO. οὕτως CDPF. ἐναλίοις] VIII, 2. vol. I, p. 309.
6. ῥῖψαι] Notabatur ῥίψαι. ῥίψας ἐμαυτον B. αὐτοῖς] XII, 2. p. 319. 8. τῷ om. B. κρίσις] dial. deor. XX, 4. vol. I, p. 255. 9. νεκρικοῖς] XXIII, 3. vol. I, p. 423. 10. κέλευσον] Sequuntur Luciani quaedam ab Thoma omissa. 11. δευτέρῳ] vol. I, p. 519. (I, 470. Ddf.) 12. Inter τὸν et ποταμὸν B inserit Ἑρμῆν κέλευσον. 14. αὐτῷ] p. 521. (471. Ddf.) τίς] τίς ἂν Aristides. τίς — αὐτῷ (l. 15.) om. B.
15. αὐτῷ] p. 526. (474. Ddf.) 16. καὶ τὸν ALLGBOxO. τὸν CDPF. νεώκορον imprudenter puto ex A. affert Oudend. Huic exemplo in marg. Lb eadem manu ascripta haec: οὐδὲν πρὸς τὸν λόγον τοῦτο. τὸ γὰρ ἔδοξεν ἐνταῦθα πρὸς τὸ εἶναι τὴν ἀπόδοσιν ἔχει. πλὴν οὕτως ἔχει ἔνθα ἂν συνταχθῇ πρὸς αὐτὸ τὸ ζητούμενον. 17. ἐν τῇ τρίτῃ Lb. ἐν τρίτῃ GBFO. ἐν τρίτῳ CDP. Est cap. 55.

ἐκελεύετε τραπέσθαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων ἡμᾶς στάντες διαφθεῖραι. ὁ αὐτὸς αὖθις ἐν τῇ τετάρτῃ· ὀφείλων ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς ἀλλ' ἀνταποδοῦναι ἀρετήν. καὶ αὖθις ἐν τῇ τετάρτῃ· καὶ ἀγωνίσασθε τοῖς Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας. καὶ ἐν τῇ ὀγδόῃ· ἠγωνίζετο οὖν εἷς ἕκαστος αὐτὸς πρῶτος προστάτης τοῦ δήμου γενέσθαι. καὶ ἐν τῇ τρίτῃ· παραινούντων Ἀθηναίων σφᾶς ἐᾶσαι πρῶτον ἐκπλεῦσαι. καὶ ἐν τῇ ἑβδόμῃ· τολμῆσαι πρὸς τὸ Ἀθηναίων ναυτικὸν ἀντιστῆναι.

Καὶ τὸ τάττω δὲ καὶ πείθομαι καὶ κινδυνεύω καὶ ἔπω τὸ λέγω καὶ ἐπείγομαι καὶ ὁρμῶ καὶ ὠθῶ καὶ διανοοῦμαι καὶ ἔχω καὶ ἐπιστέλλω τὸ προστάσσω καὶ κωλύω καὶ ψηφίζομαι καὶ ὀκνῶ καὶ σπεύδω. ὁ αὐτὸς Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ταξάμενοι κατὰ χρόνους ἀπο-

---

1. *αὐτῇ*] cap. 39. 2. *πολεμνωτάτων* B. 3. *τετάρτῃ*] cap. 19. 4. *ἀνταμύνεσθαι* ALaGB, Thucydides. *ἀνταμύνασθαι* Edd., duo Thucydidis codd. 6. *τετάρτῃ*] cap. 87. extr. *ἀγωνίσασθε* GEdd. *ἀγωνίσασθαι* AB, Iun. 7. *τοῖς*] *τοῖς τε* vulgatum apud Thucyd., cuius tamen duobus Parisinis cum Thoma convenit. *ἄρξαι*] *ἄρξασθαι* Wolfius. 8. *ὀγδόῃ*] cap. 89. extr. *ἕκαστος*] *ἕκαστος ὑπερβολὴν* vulg. ap. Thuc. ante Bekkerum. 9. *πρῶτος προστάτης*] *πρωστάτης* B. *γενέσθαι τοῦ δήμου* Ra. 10. *τρίτῃ*] cap. 77. 11. *σφᾶς*] *σφᾶς τε* Thuc. *ἑβδόμῃ*] cap. 21. 12. *τολμῆσαι*] *ἀπροσδοκήτως* add. Thuc. *τολμήσαι* P.

14. *καὶ κινδυνεύω* bis in B. 15. *ὠθῶ* GBFO. *ὀθῶ* CDP. *πειρῶ ἢ πειρῶμαι* coni. Stoeberus, *καὶ πειρῶμαι καὶ ὠθῶ* Abreschius. *δινοῦμαι* B. 16. *ἔχω*] *ἔστω* B. *ἔχω καὶ ἐπικηρυκεύομαι* coni. Abreschius. *ἐπιστέλλω*] *ἐπιλλ* B. 17. *ψεφίζομαι* P. *νηφίζωμαι* B. 18. *δευτέρᾳ*] imo lib. I, c. 117. „*Θουκ. ἐν β'.*] *Sic. RR.*" *STOEB.* *ταξάμενοι κατὰ χρόνους* pars librorum Thucydidis: vulgo *κατὰ χρόνους ταξάμενοι.* *κατὰ χρόνον* A, Iun.

δοῦναι. καὶ αὖθις ἐν τῇ τρίτῃ· ἔργῳ δὲ πεπεισμένοι Κερκυραίοις Κόρινθον προσποιῆσαι. καὶ Ἀριστείδης ἐν τῷ Ῥοδίοις περὶ ὁμονοίας· ἐπεὶ δὲ λόγῳ ψιλῷ δεῖ πείσαντα καταστήσασθαι τὰ πράγματα. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ ἡ πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι. καὶ αὖθις ἐν τῇ τετάρτῃ· εἶπον δὲ τούτοις καὶ Κερκυραίων τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις· ὥρμηντο διακινδυνεῦσαι. καὶ πάλιν ἐν τῇ αὐτῇ· ὤσασθαι ἐπειρῶντο. καὶ ἐν τῇ πέμπτῃ· διενοεῖτο ἀνανεώσασθαι. καὶ ἐν τῇ ἕκτῃ· οὔτε γένος ἔχω εἰπεῖν. καὶ ἐν τῇ ὀγδόῃ· καὶ ἐπεκηρυκεύετο αὐτοῖς ἀποστῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους. καὶ ἐν τῇ αὐτῇ αὖθις· ἢ Πελοποννησίοις γε κωλύσειν ἐλθεῖν. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἐψηφίσαντο τὰ πράγματα παραδοῦναι. καὶ

---

1. ἀποδοῦναι F. τρίτῃ] cap. 70. 2. πεπεισμένοις A. πεπεισμεν (superscr. ον) B. Κερκυραίοις RRGBCDPO. Κερκυραίοις F. Apud Thucydidem est Κορινθίοις Κέρκυραν: cf. Popp. P. II. vol. I. p. 82. In margine B. scriptum γόπυνθον. 3. Ἀριστείδης] vol. II, p. 377. (I, 825. Ddf.) 4. ἐπὶ δὲ λέγω B. καταστῆναι A. καταστῆναι Rb. 5. τρίτῃ] cap. 74. 6. πᾶσα] παῖδα Rb.
7. τετάρτῃ] cap. 2. 8. Κερκυραίων] ἅμα παραπλέοντας add. Thucyd. ἐν τῇ] τῇ ἐν P. 9. αὐτῇ] cap. 4. ἠπείγοντο Rb GBEdd. ἐπείγοντο Ra. φθεῖναι Rb. 10. αὐτῇ] cap. 29.
ὥρμηντο] ὕχμυτο B. 11. αὐτῇ] cap. 35. ὤσασθαι] ἔσασθαι B. 12. πέμπτῃ] cap. 43. δ᾽ ἐνοεῖτο B. ἀνανεώσασθαι] ἐπειρῶντο add. Ox. 13. ἕκτῃ] cap. 2. ἔχων La.
14. εἰπεῖν] ποιεῖν Ox. ὀγδόῃ] cap. 80. 15. αὐτῇ] cap. 90. ἐπιστείλαντες] Consequuntur Thucydidis quaedam a Thoma omissa. 17. αὐτῇ] cap. 88. Πελοποννησίοις B. 18. αὐτῇ] cap. 97.

Ἀριστείδης ἐν τῷ Ῥοδίοις περὶ ὁμονοίας· τοῖς δὲ ἀποκνήσασι μέχρι τούτου μνησθῆναι πρὸς ὑμᾶς περὶ τούτων. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ· καὶ μὴ κατοκνήσειν περιιδεῖν αὐτὴν τμηθεῖσαν.

Ὡσαύτως καὶ τὸ ἐχρῆν, τὸ ἔδει, τὸ εἰκός ἐστι, τὸ ἀνάγκη ἐστὶ καὶ τὸ ἔξεστι. Θουκυδίδης ἐν τῇ τετάρτῃ· ἔξεστι καλῶς θέσθαι. καὶ ἐν τῇ πέμπτῃ· οὐκ εἰκὸς εἰς νῆσόν γε αὐτοὺς περαιωθῆναι.

Τὸ δὲ φημὶ ἀεὶ πρὸς μέλλοντα καὶ ἐνεστῶτα. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· καὶ αὐτὸς ἔφη ξυλλήψεσθαι. καὶ ἐν τῇ τετάρτῃ· ταῦτα δὲ ἔχων ἔφη ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ ἀποκτενεῖν. καὶ Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν· ἀντὶ πάντων ἔφη τιμᾶσθαι χρημάτων αὐτούς. εἰ δὲ περὶ παρῳχημένου πράγματος δεῖ λέγειν, τότε καὶ τὸ ἔφην πρὸς παρῳχημένον τίθεται.

Ὡσαύτως τὸ ὀμνύω καὶ τὸ ὀρκῶ καὶ ἐπὶ μέλλοντος

---

1. Ἀριστείδης] Est ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν vol. II, 339 (I, 795. D.) τοῖς δὲ ex Laurentianis Aristidi restituit Dindorfius, ante quem aberat δέ. 2. πρὸς ὑμᾶς περὶ τούτων] hoc ordine Laur. Δ.: vulgo περὶ τούτων πρὸς ὑμᾶς ap. Aristid. 3. ὑμᾶς ALaG. ἡμᾶς BEdd. δευτέρᾳ] cap. 18. 4. μὴ RRGBEdd. om. Thucyd. κατοκνῆσαι supra scr. in Lb.

7. τετάρτῃ] cap. 17. 8. πέμπτῃ] cap. 109. 9. εἰς] ἐς Thucydides. αὐτοὺς] Praetermisit Thomas Thucydidis aliquot verba.

12. δευτέρᾳ] cap. 54. ξυλλήψεσθαι — ἔφη (l. 13.) om. B. Ascripta eadem manu margini Lb. haec sunt: οὕτω μᾶλλον οἱ δόκιμοι καὶ τὸ εἶπε καὶ τὸ λέγω καὶ φάσκω συντάττουσιν. εἰ καὶ Θουκυδίδης ἅπαξ ἐχρήσατο, καὶ ἄλλως ποιητικώτερος ὤν, ὡς δὲ καὶ τὸ διανοοῦμαι. 13. τετάρτῃ] cap. 28. τοῦτα P. ἔφη] Omissa nonnulla ab Thoma. 15. Ἀριστείδης] vol. I, p. 635. (I, 515. D.) 16. πάντων τε Aristides.

19. Ὀμνύω et ὀρκῶ CDP. καὶ ἐπὶ ALLGB. καὶ om. Edd

καὶ ἐνεστῶτος. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. καὶ Θουκυδίδης ἐν τῇ ἕκτῃ· ὁρκώσαντες μηδὲν μνησικακήσειν.

Τὸ δὲ εὔχομαι, εἰ μέν ἐστιν ἀντὶ τοῦ ὑπισχνοῦμαι, ἀεὶ πρὸς μέλλοντα. Πλάτων ἐν Φαίδωνι· τῷ οὖν Ἀπόλλωνι εὔξαντο, ὡς λέγεται, τότε εἰ σωθεῖεν ἑκάστου ἔτους θεωρίαν ἀπάξειν εἰς Δῆλον. εἰ δὲ ἀντὶ τοῦ παρακαλῶ, πρὸς παρῳχημένον. Πλάτων ἐν τῷ Ἀξίοχος ἢ περὶ θανάτου· εὐξάμενοι τὸ κράτιστον αὐτοῖς γενέσθαι. καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν.

Τὸ δὲ προσδοκῶ καὶ τὸ ἐλπίζω ἁπλᾶ μὲν οὕτω τιθέμενα μέλλοντι συντάσσονται καὶ ἐνεστῶτι. εἰ δὲ διαλελυμένως, οἷον ἐλπίδα ἔχω καὶ προσδοκίαν ἔχω, καὶ πρὸς παρῳχημένον καὶ πρὸς μέλλοντα. Ἀριστείδης ἐν Λευκτρικῷ τρίτῳ· προσδοκίαν τινὰ ἔξου-

---

1. ἐνεστῶτος] ἐπὶ ἐνεστῶτος fuisse puto. Λουκιανὸς] dial. mort. VIII, 1. vol. I, p. 356. νεκροῖς B. 2. ἐπομοσάμην B.
3. ἕκτῃ] imo lib. IV, c. 74. τετάρτῃ cum Dukero voluit Oudendorpius. ὁρκώσαντες] πίστεσι μεγάλαις add. Thuc.

6. ἐν τῷ Φαίδωνι La, Iun. Est p. 58. b. οὖν ALLGB, Plat. γοῦν Edd., duo Plat. codd. 8. ἔτους ALLGB, Plat. τοῦ ἔτους Edd. 10. Ἀξίοχος] p. 367. c. 12. τοῦ om. B. στεφάνου] ab initio. 14. ἔχων ἐγὼ LbO, Demosth. ἔχω La. ἔχων BGDPF. 16. ὑπάρξαι μοι GBPFO. ὑπάρξαιμι CD.

17. καὶ τὸ ALLGB, Iun. τὸ om. Edd. 18. καὶ et εἰ om. Ox. 20. παρῳχημένον καὶ] καὶ om. DP. 21. Λευκτρικῷ LLG. λευκτικῷ B. Λευκτρικῶν Edd. τρίτῃ Ox. Est vol. II, p. 171. extr. (I, 676. D.) ἔξουσι — ἐλπὶς γὰρ (p. 71, 3.)] ἔξουσι δίδης ἐν τῇ δ ἐν τῇ ε ἐλπὶς γὰρ B.

σι δι' ἡμῶν πάλιν σωθήσεσθαι. Θουκυδίδης ἐν τῇ τετάρτῃ· ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν. καὶ ἐν τῇ πέμπτῃ· ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς. καὶ ἐν τῇ ἕκτῃ· οὐκ ἀνέλπιστον τὸ τοιοῦτον ξυμβῆναι.

Καὶ τὸ φοβοῦμαι δὲ μέλλοντι συντάσσεται. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· οὐ φοβούμεθα ἐλασσώσεσθαι.

Τὸ δὲ δοκῶ καὶ τὸ νομίζω καὶ τὸ οἴομαι καὶ τοῖς τρισὶ χρόνοις συντάσσονται. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ· ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσαι. καὶ αὖθις ἐν τῇ τετάρτῃ· αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι. καὶ Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν· ἐάσειν μοι δοκῶ.

---

1. δ' ιἡμῶν P. 2. τετάρτῃ] cap. 70. extr. 3. πέμπτῃ] cap. 9. 4. αὐτοὺς] αὐτοῦ P. οὕτω] οὕτως LL, Iun. αὐτῇ] cap. 102. 5. ἔτι] ἔστι Iun. ἐλπὰς B. 6. ἕκτῃ] cap. 33. extr. τοιοῦτον pars codicum Thucydidis, apud quem vulgatur τοιοῦτο.

9. πέμπτῃ] cap. 105. βοβούμεθα B.

10. ὄγομαι B. 11. ἑβδόμῃ] cap. 43. init. 12. ἀποπειρᾶσθαι ARb. 13. αὖθις ALLRRGBO, Iun. om. CDPF. τετάρτῃ] cap. 18. init. 14. Ἀριστείδης] vol. II, p. 303. (I. 771. D.) 15. ὁμονογας B. ταῖς πόλεσιν ἐάσειν tanquam Aristidis verba coniungunt GBCDPF: recte distinguunt O et „*MSS.*" (*OUD.*)

Γ.

Γάμους ποιεῖν Ἀττικοὶ λέγουσιν, οὐχὶ γάμον.

Αἱ γραῦς, οὐχ αἱ γρᾶες, οὐδὲ αἱ γραῖαι· ποιητικὸν γάρ· [γραΐδια δέ.]

Γῆμαι, οὐ γαμῆσαι. Λιβάνιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου· ἔδει μέν, ὦ βουλή, τεθνάναι με πρὶν ἢ γῆμαι.

Γαστρίδουλος μὴ εἴπῃς, ἀλλὰ γαστρὸς δοῦλος ἢ γαστρὶ δουλεύων ἢ γαστρὸς ἥττων.

Γνωσιμαχῶ τὸ διά τι προγεγονὸς ἐμαυτῷ μάχομαι, ὅπως τοῦτο εἰργασάμην. λέγε οὖν γνωσιμαχῶ καὶ μὴ ἐμαυτῷ κατὰ νοῦν μάχομαι.

Γαργαλισμὸς μὴ εἴπῃς, γάργαλος δέ. Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· τοιοῦτον γάργαλον παρείχετό μοι τὰ ὁρώμενα. γαργαλίζω μέντοι Ἀρι-

---

1. *λέγουσιν* RaGBOxCDP. om. FO. „*οὐχὶ γάμον*] *Adde λέγουσιν ex A. et aliis.*“ (*OUD.*)

2. *Αἱ γραῦς* RRB. *αἱ* om. GEdd. *γρᾶες*] *γραῖς* Rb. *γρᾶις* A. *οὐδ' αἱ* Stoeberus. *γραῖαι*] *γρῆαι* A. *γρῆ* Rb. 3. *γραΐδια δὲ* adiecimus ex Ra. De transpositione cogitat Buttmannus Gr. Gr. II, p. 402.

4. *ἐν μελέτῃ τῇ περὶ τῆς* scripsimus, ut p. 80, 2. 55. 16. cf. ad p. 74, 14. *ἐν τῇ μελέτῃ τῆς* GBEdd. Partem veri Oudendorpius vidit p. 353. et Addend. ad p. 191. ed. Bern. Est vol. I, p. 300. (IV, p. 134. s. R.)

5. *ἔδη με* Ox. *τεθνᾶναι* Liban. *με* om. Ox. *γῆμαι.*] *καὶ ἔγημεν ὁ ἀνήρ, ἐγήματο δὲ ἡ γυνή* add. RaEdd. Omittunt hoc quidem loco ALLRbGB, et paucis mutatis una cum CDP infra ponunt p. 75, 8.

7. *Γαστρὶ δοῦλος* LL, Wolfius.

9. *προγεγονὸς* GE τ. ῥ. Edd. *προγενὸς* B. *προσγεγονὸς* A La. *μάχωμαι* B. 10. *εἰργασάμην* ALLGBO. *εἰργάσμην* CDPF. 12. *εἴπας* B. *Λουκιανὸς*] §. 6. vol. II, p. 711. 13. *Μίκυλλος* PFO. *Μίκυλος* ALLRRBCD. $μι^{κλ}$ G. 14. *Ἀριστείδης*] vol. III, p. 695. (II, 551. D.)

στείδης ἐν τῷ κατὰ ἐξορχουμένων· *καὶ τὰ ὦτα γαργαλίζουσι.*

Γιγνόμενον οὐ μόνον τὸ ἐνεργούμενον, ἀλλὰ καὶ τὸ ἀνῆκόν τινι καὶ ἁρμόζον, οἱονεὶ τὸ πρὸς αὐτὸν ἐρχόμενον καὶ αὐτῷ συμβαῖνον. [Ἀριστείδης· *καὶ τιμᾶν τοῖς γιγνομένοις τὴν πόλιν.* καὶ] Λιβάνιος ἐν τῇ Δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου μελέτῃ· *θεῖος γὰρ οὗτος καὶ τιμῶ τὰ γιγνόμενα,* ἤγουν ὅσον ἀνήκει καὶ ἐπιβάλλει τῷ θείῳ. καὶ ἡ γιγνομένη τινὶ εὐφημία, ἤγουν ἡ πρέπουσα καὶ ἐπιβάλλουσα.

Γεγυμνασμένος ῥητορικῆς καὶ ῥητόρων δοκιμώτερον ἂν εἴποις ἢ μέτοχος. Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν· *γεγύμναστο δὲ ἱκανῶς τῆς ἀττικιζούσης λέξεως.* καὶ πάλιν· *ἄνδρα γεγυμνασμένον τῆς τοιᾶσδε ἰδέας.* εἰδέναι δὲ χρὴ, ὅτι τὸ ἕνεκα λαμβάνεται ἔξωθεν, ὡς εἶναι τὸ ἐντελὲς τῆς ἐννοίας, ὅτι ὅσον εἰς τοῦτο γεγυμνασμένος ἦν.

Γυναικὸς ἀδελφὸς, οὐ γυναικάδελφος· κοινὸν γάρ.

---

2. γαργαλίζουσι] γαργαλίσαι τινῶν Aristides.

3. „*Pro Γιγν. . . . τὸ πρὸς αὐτὸν habet Ra αὐτό.*" STOEB. ἀνεῖκον Ox. 5. συμβαίνων B. Ἀριστείδης — πόλιν. καὶ accesserunt ex solo Ra: om. Rb, ut GBEdd. 6. Λιβάνιος] vol. I, p. 557. b. (IV, p. 419, 13. R.), ubi haec potius reperias: καὶ αἰδοῦμαι τουτονὶ τὸν θεῖον. καὶ τ. τ. γιγν.. Pro τουτονὶ τὸν θεῖον Abreschius Thomam legisse putat vel τουτονὶ τὸν θεῖον· θεῖος γὰρ οὗτος —, vel τουτονί· θεῖος γὰρ, —. 7. ὑπὲρ] ὑπὸ B. 10. εὐφυμία P.

12. Φιλόστρατος] Prius exemplum om. Ox. σοφιστῶν] II, 12, 1. p. 592., ubi est: ἱκανῶς ἐγεγύμναστο τὴν γλῶτταν τῆς ἀ. λ., de quibus vide Hemsterhusium. 14. πάλιν] II, 1, 11. p. 561. τῆς] τοῖς B. 15. τοιᾶς δὲ DP. τοιαδε G. τοιαύτης ALbB. ὅτι τὸ ἕνεκα A. ὅτι ἕνεκα BEdd. ὡς ἕνεκα G. ὅτι εἰμὶ vel ἦν c. Witterus. 16. ὅτι ὅσον ALaRRGB. ὅτι om. Edd. Verte: *quia, quantum ad hoc attinet, exercitatus erat.* 17. εἰς ALaGBCDP. ἐς RRFO.

Γαστρίζειν καὶ ἐπὶ τοῦ τὴν γαστέρα τύπτειν οἱ ὕστερον· οἱ δὲ ἀρχαῖοι ἐπὶ τοῦ τὴν γαστέρα ἐμπίπλασθαι.

Οὐ μόνον ἄγεται γυναῖκα, ἀλλὰ καὶ γαμεῖ.

Γρυλίζειν Ἀττικοὶ δι' ἑνὸς λ.

Γογγύλη οἱ μὲν παλαιοὶ ἐπὶ τοῦ στρογγύλου τιθέασιν· οἱ δὲ νῦν ἐπὶ τοῦ λαχάνου, ὅπερ γογγυλὶς, οὐ γογγύλη γράφεται.

Γεννήματα ἐπὶ καρπῶν τινες τιθέασιν, ἀδοκίμως. σὺ δὲ καρποὺς λέγε.

Γράψαι καὶ λέγειν Ὅμηρος λέγει, γράμμα δὲ καὶ λόγον οὐχί.

Γραφεὺς κάλλιον ἢ ζωγράφος. Εὐριπίδης ἐν Ἑκάβῃ·

ὡς γραφεύς τ' ἀποσταθείς.

Γράφομαί σε τοῦ δεῖνος, οὐ γράφω, εἰ καὶ Συνέσιος ἐνεργητικῶς τε ἅμα καὶ οὕτως ἁπλῶς προήγαγεν ἐν [τῇ] ἐπιστολῇ τῇ Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ καὶ φιλάνθρωπος λέγων· ἐφ' ᾧ Γεννάδιον ἔγραψε. καὶ Λουκιανὸς ἅπαξ ἐν

---

1. *Γασθρίζειν* P. *καὶ* inseruimus ex ALLGB. om. Edd. *τοῦ τὴν*] *τουτὴν* DP. *οἱ μὲν ὕστερον* DP., immerito probatum Oudendorpio. 2. *ἐπὶ* Edd. *καὶ ἐπὶ* LaGB. *ἐμπίπλασθαι* RaGE π. ῥ. CDP, Lobeckius ad Phrynich. p. 95. *ἐμπλιπλασθαι* B. *ἐμπίμπλασθαι* ALLFO. E π. ῥ. sic: *Γαστρίζειν τὸ γαστέρα τύπτειν, οὐ τὸ ἐμπίπλασθαι.*

3. *Οὐ — γαμεῖ* GBCDP. *γυναῖκα οὐ μόνον ἄγεται, ἀλλὰ καὶ γαμεῖ* RR in fine Γ litterae. Sed his FO. annexuerunt inferiorem notationem, quae est p. 79, 3., *γαμεῖ τις — ἔχει.*

4. *Ἀττικῶς* Lb.

8. *Γενήματα* B.

10. *Γράφειν* Ra. *γράφειν* (ψαι) B. *δὲ καὶ*] *καὶ* om. Ox.

11. *Ἑκάβῃ*] v. 795. P. 12. *ἀποσταθεὶς* GB, dubium unane an duabus vocibus.

13. *Συνέσιος*] ep. 73. p. 221. c. 14. *τε ἅμα* ALLRRGC PO. *τε ἄμα* D. *τε* om. BF. *προήγαγε λέγων ἐν* GB.

14. *τῇ* prius damnavimus; cf. p. 15, 4. 17, 3. 42, 7. 52, 11. 72, 4 75, 15. 15. *εἰ καὶ* B. *λέγων* om. GB. 16. *Γεννάδιον* G DFO. *γεννώδιον* B. *γενάδιον* CP. *ἔγραψε* GBCDP. *ἔγραψε:* FO, Synes. *Λουκιανὸς*] §. 51. vol. II, p. 830. *ἅπαξ* om. Ox.

τῷ δὶς κατηγορούμενος· γράψαι μὲν αὐτὴν μοιχείας οὐκ ἐδοκίμαζον.

Ἔγημεν ὁ ἀνὴρ λέγε, ἐγήματο δὲ ἡ γυνή.

Γενέθλια δόκιμον, οὐ γενέσια. καὶ γενεθλιακὸς λόγος, οὐ γενεσιακός.

Γενηθεὶς ἀντὶ τοῦ γενόμενος οὐδεὶς τῶν δοκίμων· ἐγεγόνειν γὰρ καὶ ἐγενόμην ῥήτορες λέγουσιν. ἐγενήθην δὲ καὶ τοὺς καθεξῆς ἅπαντας χρόνους παρ' οὐδενὶ τούτων εὑρήσεις. εἰ μὴ Ἀριστείδης ἅπαξ ἐν τῷ πρὸς βασιλέα εἶπε λόγῳ, ὅπερ μοι δοκεῖ ἁμάρτημα εἶναι τῶν γραφέων. λέγει δὲ οὕτω· πολλοῖς δὲ ἀνηκέστων συμφορῶν αἴτιοι γενηθέντες.

Γελοῖος ὁ καταγέλαστος, γέλοιος δὲ ὁ γελωτοποιός· γελοῖον δὲ οὐδετέρως μόνον τὸ γέλωτος ἄξιον. Δημοσθένης ἐν δευτέρῳ τῶν Ὀλυνθιακῶν· μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων.

Γοργὼ, Γοργοῦς Ἀττικοὶ, ὡς Σαπφὼ, Σαπφοῦς· Γοργὼν

---

1. *γράψαι*] *γράψασθαι* Lucianus. *μοιχείας*] *μαχίας* B.

3. *Ἔγημεν — γυνή*] Sic GBCDP. Praemisso *καὶ* et deleto *λέγε* cum superiore notatione, quae est p. 72, 8., conglutinarunt CD P (bis igitur eadem praebentes) et FO.

4. *γενεθλιακὸς λόγος, οὐ γενεσιακός* ALLRRGB. *γενεθλιακοὶ λόγοι, οὐ γενεσιακοί* Edd. *γενεσιακός* etiam Ox.

6. *Γενηθεὶς* GBO. *γεννηθεὶς* CDPF. *ἐγεγόνειν*] novam notationem inchoant DP. 7. *ἐγενήθην* ALLRRGB. *ἐγενήθη* O. *ἐγεννήθη* CDPF. „*καὶ τοὺς καθ. τούτους χρόνους ἅπαντας* Rb.“ 9. *εἰ μὴ* GBEdd. *εἰ καὶ* ARb. *Ἀριστείδης*] vol. I, p. 104. (I, 100. D.) *πρὸς*] *εἰς* tum Aristides tum alibi Thomas.

11. *ἀνηκέστων* RbGBEdd. *ἀνηκέστως* Ra. 12. *γενηθέντες* GBO, Aristides ex Dindorfi rec., ante quam vulgabatur *γεγεννημένοι*. *γεννηθέντες* CDPF.

13. *Γέλοιος — γελοῖος δὲ* Stoeberus ex Ammon. p. 36.

14. Pro *οὐδετέρως — Δημοσθένης* in B est *οὐδένης*. 15. *δευτέρῳ Ὀλυνθιακῷ* Ra, *τῷ δευτέρῳ τῶν Ὀλυνθιακῶν* GBEdd.: utrique ex parte tantum vere. Est p. 23. R.

17. *Γοργῶ* P. *ὡς καὶ Σαπφῶ* B. *Γοργῶν* et *Γοργῶνος* B.

δὲ, Γοργόνος, ἁπλῶς Ἕλληνες. Εὐριπίδης ἐν Ὀρέστῃ·

τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.

Λουκιανὸς ἐν τῷ περὶ εἰκόνων· ἀλλ' ἢ τοιοῦτό τι ἔπαθον οἱ τὴν Γοργὼ ἰδόντες. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ τρισαριστέως· ὥσπερ τινὰ Γοργὼ τὴν ἐμὴν ὁρῶντες ἀσπίδα.

Γάνος ἡ χάρις. Ἀριστείδης ἐν τῇ μονῳδίᾳ τῆς Σμύρνης· τὸ ὑπὲρ πάσης τῆς πόλεως ἑστηκὸς γάνος. καὶ γανοῦμαι τὸ ἡδονῆς καὶ χάριτος πληροῦμαι, ὡς ὁ αὐτός· τίς οὐχὶ καὶ ἐν ταῖς τριόδοις ἰδὼν ἐγανώθη. καὶ γεγανωμένα πρόσωπα τὰ χάριτος γέμοντα.

Γαμβρὸς ποιητικώτερον· κηδεστὴς δὲ παρὰ τοῖς ῥήτορσι.

Γείτων εἰμὶ τοῦ δεῖνος καὶ γείτων εἰμὶ τῷ δεῖνι, τῆς μὲν γενικῆς πρὸς τὸ γείτων, τῆς δὲ δοτικῆς πρὸς τὸ ὑπαρκτικὸν ῥῆμα εἴτε ὂν εἴτε νοούμενον. μάρτυς ἀμφοτέρων Αἰσχύλος λέγων ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις·

γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας.

---

1. Ὀρέστῃ] v. 1535. Pors. 3. δ' οὐ ALLRaGBO. δὲ οὐ CDPF. 4. Λουκιανὸς] §. 1. vol. II, p. 458. εἰκόνων Ra. εἰκόνος GBEdd. Εἰκόνες inscripsit Lucianus. τοιοῦτό τὶ B. τοιοῦτόν τι Luc. 5. Γοργῶ vulg. ap. Lucian. Λιβάνιος] vol. I, p. 732. c. (IV, p. 545, 3. R.) 6. τρισαριστέως] Λόγος πλουσίου φεύγοντος inscripsit Libanius.

8. Γάννος E. Ἀριστείδης] vol. I, p. 457. (I, 425. D.) 9. γάνος] A proximis novam §. inchoant CDP. 11. αὐτὸς] ibid. p. 454. (p. 421. D.) τίς ἂν οὐχὶ Aristides. ἰδὼν] ὁρῶν Arist. 12. γεγανομένα DP.

14. ῥήτορσιν B.

15. γενικῆς] οὔσης add. Ra, nescio an vere. 18. ἐν τῷ LLRRGBCDP. ἐν τοῖς FO. Θήβαις] v. 486. 19. γείτονας GFO. γείτωνας CDP. γάρ τινας B. 20. Ὄγκας] οἴκας P.

καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι·

ἦτ᾽ ἀγχίπολις
πύλαισι γείτων.

Τὸ γοῦν καὶ ἀντὶ τοῦ οὖν καὶ ἀντὶ τοῦ τἄν καὶ ἀντὶ τοῦ γάρ· ὡς Ἀριστοφάνης ἐν Πλούτῳ·

κρατοῦσι γοῦν κἀν τοῖς πολεμίοις ἑκάστοτε.

καὶ ἀργὸν δὲ, χάριν κόσμου τοῦτο τιθέασιν οἱ ποιηταί. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

τὰ γοῦν σά.

Ὡσαύτως καὶ τὸ γέ οὐ μόνον ἀργὸν εὑρίσκεται, ἀλλὰ καὶ ἀντὶ τοῦ γάρ. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι.

Λιβάνιος ἐν ἐπιστολῇ· τοῖς μέν γε κάλλος οὐκ ἔπεστι. καὶ Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ· βαδίζουσί γε εἰς Δελφοὺς καὶ πυνθάνονται περὶ τῶν πολιτειῶν.

Γαλῆ Ἀττικόν, οὐ γαλέα.

---

1. *δράματι* om. Ra. Est v. 501. 2. *ἀγχίπολις*] *ἀγχίπτολις* Aeschylus. Ceterum inveteratam poetae labem abstergo: *ἦτ᾽ ἀγχίπτολις, Πύλαισι γείτον᾽ ἀνδρὸς ἐχθαίρουσ᾽ ὕβριν.*

4. *Τὸ* om A. *καὶ ἀντὶ τοῦ οὖν* om. BEdd., habent ALaG, Phavor. p. 181. b. „*RR pro κἂν habent οὖν. sic quoque Phav. qui auctior h. in re.*" (*STOEB.*) 5. *Πλούτῳ*] v. 184. 6. *κἀν*] Scribebatur *κἂν* vel *κᾆν*. *πολεμίοις* pro *πολέμοις* etiam Aristophanis libri aliquot. 8. „*καὶ ἀργὸν δὲ*] „*desunt ista in Ra.*" (*ST.*) *δὲ, χάριν κόσμου τοῦτο* RbB et non interpungens G. *δὲ τοῦτο χάριν κόσμου* Edd. *τιθέασιν* GBFO. *τιθέασι* CDP.

9. *καὶ Σοφοκλῆς* Ra. *Ἠλέκτρᾳ*] v. 1499. 10. *γοῦν σ᾽* Soph. 11. *γέ*] *γὲ* CD. *οὐ μόνον*] *ὁμοίως* B. 12. *Πλούτῳ*] v. 147. 13. *μικρὸν* Aristoph. ex rec. Porsoni: antea *σμικρόν*.

16. *Ἀριστείδης*] vol. III, p. 19. (II, 11. D.) *ὑπὲρ* pro *περὶ* etiam Oxon. Arist. *πρώτων* B. 17. *πυνθάνονται*] *νομίζουσίγε* La.

19. *Γαλῆ -- γαλέα* ALLRRGBO. om. CDPF. *γαλέα* ALLGB. *γαλέη* RRO. *Γαλῆ οὐ γαλέα* E.

Γηρᾶναι καὶ καταγηρᾶναι ἀρχαιότερον· οἱ δ' ὕστερον γηρᾶσαι καὶ καταγηρᾶσαι.

Τὰ παρὰ τὸ γῆρας καὶ κρέας καὶ κέρας γινόμενα ὀνόματα διὰ τοῦ ω̅ μεγάλου γραφόμενα, τὰ μὲν παρὰ τὸ γῆρας καὶ κρέας κατὰ ἀποβολὴν τοῦ σ̅ κλίνεται, οἷον εὔγηρως, εὔγηρω, καλόγηρως, καλόγηρω· τὰ δὲ παρὰ τὸ κέρας οἱ μὲν κοινοὶ διὰ τοῦ τος̅ κλίνουσι· μονόκερως, μονοκέρωτος, αἰγόκερως, αἰγοκέρωτος· οἱ δὲ Ἀττικοὶ κατὰ ἀποβολὴν τοῦ σ̅ καὶ ταῦτα, χρυσόκερως, χρυσόκερω. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· ποιητὴς μὲν οὖν ἤδη τις εἶπε σκώψας εὔξασθαι κατὰ χρυσόκερω λιβανωτοῦ.

Γεννᾷ ἀνὴρ παῖδα, καὶ γεννᾷ ὁ Πλάτων τὸν οὐρανὸν ἀντὶ τοῦ γεννητὸν λέγει.

Τὸ γελάσω καὶ ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων ὄντα πρὸ τοῦ α̅ σύμφωνον ἔχουσι πλὴν τοῦ ρ̅, βραχὺ τὸ α̅ ἔχουσιν. ὅσα δὲ πρὸ τοῦ α̅ φωνῆεν ἢ τὸ ρ̅, μακρὸν ἔχει

---

1. *Γηρᾶναι* Ra, Phav. p. 175. d., Moer. p. 115., Wesselingius Obss. p. 133., Wolfius, Abreschius. *γηράναι* RbGBFO, Hemsterhusius. *γηρᾶν* CDPF. *καταγηρᾶναι*] *καταγηράναι* RbGBEdd. *γηράσαι* et *καταγηράσαι* GBEdd.

3. „*Τὰ παρὰ τὸ*] *τοῦ Rb.*“ *καὶ κρέας καὶ κέρας*] *καὶ κέρας καὶ κρέας* B. „*γινόμενα*] *usque ad κρέας om. Ox.*“ 4. *μεγάλου* ALLRRGCDPO. om. BF. 5. *καὶ κρέας* om. Ra. Vide Prolegomena p. XLII. *κλίνονται* RRGB, quod non inusitatum Thomae. *εὔγηρως* et *καλόγηρως* GBEdd., sed *εὔγηρω* et *καλόγηρω* GB, *εὐγήρω* et *καλογήρω* Edd. Cf. Goettling. ad Theodos p. 249. sq 8. *αἰγόκερος* B. 9. *χρυσόκερερως* B. *χρυσόκερω* RaGBCDP. *χρυσοκέρω* FO. 10. *Ἀριστείδης — λιβανωτοῦ* om. Ox. *Ῥώμην*] vol. I, p. 344. (I, 321. D.)

13. *ὁ ἀνὴρ* Phavor. p. 172. b. *ἀντὶ* om. B. 14. *γεννητὸν*] *γεννᾶσθαι* Phav., unde Witterus: *γεννᾶν ὁ Πλάτων — γεννᾶσθαι λέγει.* E π. ρ. sic: *Γεννᾶν τὸ εἰς φῶς ἄγειν . καὶ γεννᾷ ὁ Πλ. οὐρ. ἤγουν γεννητὸν αὐτὸν λέγει.*

15. *Τὸ* LaRaGBEdd. om. A. *συζυγίας β* B. 16. *ἔχουσι* ALaRRGB, Phav. p. 171. c. *ἔχοντα* Edd. *τὸ α̅*] *αὐτὸ* Rb. 17. *ἔχουσι* B. *φωνῆεν* DP.

τὸ ᾱ, οἷον ἐῶ, ἐάσω, ἐᾶσαι· περῶ, περάσω, περᾶσαι.

Γαμεῖ τις ἀμεταβάτως ἀντὶ τοῦ γάμον ἔχει, τουτέστι συνημμένος ἐστὶ γυναικί· καὶ γαμεῖ τήνδε μεταβατικῶς ἀντὶ τοῦ εἰς γάμον λαμβάνει ἢ λαβὼν ἔχει.

Γέγονα ἔτη τοσαῦτα κάλλιον ἢ γέγονα ἐτῶν. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ἔτη γεγονὼς πλείω ἑβδομήκοντα. καὶ Ἡρόδοτος ἐν τῇ τρίτῃ· ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα γεγονότα.

Δ.

Διαθήκας γράφειν τις λέγεται, οὐ διαθήκην.

Καὶ διακονοῦμαι καὶ διακονῶ. Λουκιανὸς ἐν τῷ φιλοψευδεῖ ἢ ἀπιστῶν· δεξιῶς ὑπηρέτει καὶ διηκονεῖτο ἡμῖν.

Δικροῦν, οὐ δίκρουν· ἀπὸ τοῦ δικρόον γάρ.

Δεσμὰ κάλλιον ἢ δεσμοί. ἐπὶ δὲ τῶν ἑνικῶν τὰ τοῦ ἀρσενικοῦ μόνα ἐν χρήσει· ὁ δεσμὸς γὰρ καὶ τοῦ δεσμοῦ καὶ ὅσα μέχρι τῶν πληθυντικῶν.

---

1. πρῶ, πράσω, πρᾶσαι B.

3. *Γαμεῖ — λαβὼν ἔχει* om. Ox. Annexuerunt FO priori notationi, quae est p. 74, 3. συνημμένος RRGEdd. συνημενος B.

4. γυναικαὶ B. τὴν δὲ BF. E π. ῥ. sic: Γαμῶ, τὸ γάμους ποιῶ· καὶ γαμῶ, ἤγουν συνάπτομαι γυναικί· καὶ γαμῶ τήνδε· ἤγουν εἰς γάμον λαμβάνω ἢ ἔχω.

7. ἀπολογίᾳ] p. 17. d. ἔτη ALLGB, Plat. ἔτη δὲ Edd.

8. τῇ τρίτῃ ALLRRGBO. τῷ τρίτῳ CDPF. Est cap. 3.

9. δέκα ALLRRGBO. δώδεκα CDPF. δέκα κου Herodotus. Annexae sunt in B aliquot Moschopuli notationes.

11. Καὶ prius ALLRRGBO. om. CDPF. Λουκιανὸς] §. 35. vol. III, p. 61. 12. ὑπηρέτει ALa, Lucianus. ὑπηρέτειεν Lb. ὑπερέτων GB. ὑπηρέτησεν Edd.

15. ἑνικῶν CDP. 16. γὰρ καὶ LaGBOx. καὶ om. Edd.

Δεδεμένος κάλλιον ἢ δεθείς, καὶ δέων ἢ δεσμῶν. Δημοσθένης· δέων, ἀπάγων, βοῶν.

Διηλλάγη δοκιμώτερον ἢ κατηλλάγη. καὶ διαλλαγαὶ πληθυντικῶς, οὐ διαλλαγή· τὸ δὲ καταλλαγὴ εἰ καὶ εὕρηται, ἀλλ' οὐ δόκιμον. ὡσαύτως καὶ ἐπὶ τοῦ διαλλάττω καὶ καταλλάττω νόει. Θουκυδίδης δὲ καὶ ἐνηλλάγη ἀντὶ τοῦ διηλλάγη λέγει· ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν. καὶ συνηλλάγη ὡσαύτως ἐν τῇ ὀγδόῃ· ἐπιστείλαντες ξυναλλαγῆναι πρὸς τοὺς Λακεδαιμονίους. καὶ πάλιν ἐν τῇ τρίτῃ· καὶ ὅρκοι εἴπου ἄρα γένοιντο ξυναλλαγῆς. διαλλαχθήσομαι δὲ κάλλιον ἢ διαλλαγήσομαι· ὡς ἐπιτοπολὺ γὰρ οἱ μέλλοντες πρῶτοι προτιμῶνται τῶν δευτέρων μελλόντων.

Διαπαίζει, οὐ καταπαίζει.

Δι–

---

1. *Δημοσθένης*] in Androt. p. 614. Rsk.

3. *Διηλλάγη* et *κατηλλάγη* „*MSS*" (*OUD.*) „*MSS*" (*STOEB.*) GBECDPO. *διηλλαγὴ* et *κατηλλαγὴ* F. *διαλλαγὴ* et *καταλλαγὴ* Wetstenius ad Paul. ep. ad Rom. V, 11. *διαλλαγαὶ*] *διαλλάγη* B.

4. *οὐ*] *ἢ* GB. *διαλλαγή*] *καταλλαγαὶ* coni. Wetstenius et Stoeberus. *εἰ καὶ* „*MSS*" (*OUD.*) RRGBEO. *καὶ εἰ* CDPF. *εὕρηταί που* Edd. *που* om. ALLRRGBE. 5. *οὐ δόκιμον*] *ἀδόκιμον* „*Leid.*" GB. *διαλάττω* CDP. 6. *νόει*] Consequuntur in RaEdd. haec: *οὐ μόνον δὲ ἀντὶ τοῦ φιλιῶ* (*φιλῶ* Ra) *τὸ καταλλάττω* (*διαλλάττω* Ox.) *εὕρηται* (*εὕρεται* D), *ἀλλὰ καὶ ἀντὶ τοῦ παραλλάττω. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· πλειόνως ὡς εἰπεῖν διαλλάττει, ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν Αἴγυπτον* (*Αἰγυπτον* F, *Αἰγυπτόν* O.). Omittunt haec AGB. „*οὐ μόνον et quae ad fin. usque hic leguntur om. Rb.*" (*STOEB.*) „*ἀντὶ τοῦ — εὕρ.*] *hoc comma om. LL.*" (*OUD.*) Quae quo spectent, vide infra, §. ab fine *Δ* litterae quinta. *Θουκυδίδης*] l. c. 120. *ἐνηλλάγη — διηλλάγη* et *συνηλλάγη* „*MSS.*" (*OUD.*) „*MSS.*" (*STOEB.*) GBCDPO. *ἐνηλλαγὴ — διηλλαγὴ* et *συνηλλαγὴ* F. *ἀντὶ — συνηλλάγη* om. Rb.

8. *ὀγδόῃ*] cap. 90. 10. *τρίτῃ*] cap. 82. 11. *γένοιτο* RR.

12. *δὲ* om. La. „*ἐπί το pro ὡς ἐπὶ La.*" *ἐπιτοπολὺ* GB. *ἐπὶ τὸ πολὺ* A. *ἐπὶ πολὺ* Edd. 13. *δευτέρων μελλόντων*] *βλ* B.

Διαφῆκε δοκιμώτερον ἢ ἀφῆκε· καὶ διακούει ἢ ἀκούει· διαλοιδορεῖται καὶ λοιδορεῖται ἢ λοιδορεῖ· συντάσσεται δὲ ἀεὶ τὸ παθητικὸν πρὸς δοτικὴν, εἰ καί τινες πρὸς αἰτιατικὴν πλὴν ἀδοκίμως. καὶ διαλυμαίνεται καὶ λυμαίνεται.

Δισκοβόλος οὐ δεῖ λέγειν, ἀλλὰ δισκευτής.

Δουλοῦμαι τὸν δεῖνα Ἀττικοὶ, οὐ δουλῶ. Δημοσθένης· δουλοῦται τὰς πόλεις.

Διαχρῶμαι τὸν δεῖνα καὶ διαχειρίζομαι καὶ διεργάζομαι κρεῖττον ἢ φονεύω. Λιβάνιος ἐν διηγήματι δραματικῷ τῷ Ἥρᾳ τῆς ἑαυτοῦ γυναικὸς ὁ Κανδαύλης· διαχρησάμενος τὸν δεσπότην. καὶ πάλιν ἀλλαχοῦ· διεχειρίσατο ἑαυτόν. Εὐριπίδης ἐν Ἑκάβῃ·

ἄγ' οὖν Ὀδυσσεῦ καὶ διέργασαί μ' ἄγων.

ὡσαύτως καὶ διαχείρισις· διέργασις μέντοι καὶ διεργα–

---

1. *δοκιμώτερον — ἀφῆκε* om. Ox. 2. *διαλοιδορεῖται*] Coniunximus, quae separant GBEdd. 3. *τὸ παθητικὸν πρὸς δοτικὴν* RRGBO, Phav. p. 203. a. *τὸ παθητικὸν δοτικῇ* LLOx. *πρὸς δοτικὴν τὸ παθητικὸν* CDPF. *πρὸς* om. Phav. 4. *πλὴν* LLRbG, Phav. om. BEdd. *ἀδοκίμως* om. A. *καὶ*] Nova §. in LL RRGB, Phav. *λυμαίνεται*] intercidisse quaedam videntur, atque addit Phav.: *αἰτιατικῇ καὶ δοτικῇ συντάσσεται. Ἀριστοφάνης* (Plut. 436.)· *ἢ ταῖς κοτύλαις ἀεὶ με διαλυμαίνεται, ἤγουν βλάπτει καὶ ζημιοῖ.*

6. Om. Lb. *Δισκοβόλος*] *δίσκολος* Ra. *Δ. δεῖ λέγειν, ἀλλ' οὐ δ.* coni. Oudendorpius.

7. *Δημοσθένης*] Philipp. III, p. 116., ubi est *καταδουλοῦσθαι.* E. π. ρ. sic: *Δουλῶ ἐμαυτὸν ἑτέρῳ· καταδουλοῦμαι δὲ ἕτερον.*

9. *χρεῖττον* DP. *κρείττων* Ox. *κρείττω* coni. Oudendorpius.

10. *Λιβάνιος*] vol. IV, p. 1102. Rsk. *διηγήματι — Κανδαύλης* om. Ra. 11. *ἑαυτῆς* B. *ὁ Κανδαύλων* Rb. *οἴκῃ ἀνδαυλῆς* B. 13. *διεχειρίσατο* GBFO. *διεχειρήσατο* CDP. *ἐν Ἑκάβῃ* om. Ox. Est v. 369. Pors. 14. *οὖν* GBEdd., Eurip. hodie. *οὖν μ'* Ra cum parte librorum Euripidis. 16. *διαχείρισις* LaRRGO. *διαχείρησις* BCDPF. *καὶ διέργασις* B.

σμὸς οὐχ εὕρηται. ἔστι δὲ καὶ διαχείρισις ἡ διοίκησις. Θουκυδίδης· πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων. καὶ διαχειρίζω τὸ διεξάγω. Ἡρόδοτος δὲ καὶ καταχρῶμαι ἀντὶ τοῦ φονεύω λέγει ἐν τῇ πρώτῃ· αὐτοῦ μιν ἐν τῇσι Θυρέῃσι καταχρήσασθαι ἑωυτόν. καὶ αὖθις ἐν τῇ αὐτῇ· τέῳ δὴ μόρῳ τὸν παῖδα κατεχρήσαο, τόν τοι παρέδωκα. ὁ αὐτὸς δὲ καὶ διαχρῶμαι πρὸς δοτικὴν λέγει ἀντὶ τοῦ χρῶμαι, ὡς ἐν τῇ αὐτῇ· οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο. καὶ πάλιν ἐν τῇ αὐτῇ· καὶ τῷ ὀνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷπερ νῦν.

Διαπεπραγμένον καὶ τὸ γεγενημένον καὶ τὸ ἠφανισμένον. Αἰσχύλος ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις·

διαπεπραγμένου στρατοῦ.

Πλούταρχος ἐν παραλλήλοις περὶ Δημάδου· ὥσπερ

---

1. *διαχείρισις* ALaRRGO. *διαχείρησις* BCDPF. 2. *Θουκυδίδης*] I, cap. 97. *ἐν πολέμῳ* CDPF. *ἐν* om. LaRRGBOxO. Thuc. *ἐν τῇ πρώτῃ · πολέμῳ* coni. Oudendorpius. *διαχειρίσει* ALaRR GB. *διαχειρήσει* Edd. 3. „*Ἡρόδοτος*] *hinc usque ad finem om. Ox.*“ (*OUD.*) 4. *λέγει*] interpungunt BF. *πρώτῃ*] cap. 82. extr. 5. *τῇσι* ALaRRO. *τοῖσι* GB. *τισι* CDPF. *Θυρέῃσι* Edd. *Θυρίῃσι* RbGB. 6. *ἑωϋτὸν* Rb. *ἑαυτὸν* B. *αὐτῇ*] cap. 117. *τέῳ* FO. *τέω* CDP. *τεώ* B. *δὴ μόρῳ* ARRG, Herod. *δὲ μόρῳ* Edd. *διμόρω* B. *τὸν παῖδα — παρέδωκα* om. B.
7. *κατεχρήσεο* DP. *τό τοι* Ra. 8. *δὲ* om. B. *τὸ διαχρῶμαι* Edd. *τὸ* om. ARRGB. *ἀντὶ τοῦ χρῶμαι λέγει* B.
9. *αὐτῇ*] cap. 167. *Φωκαιέων* ARbO, Herod. *Φωκαέων* RaG BCDPF. 10. *τῇ* om. B. 11. *αὐτῇ*] cap. 171. *διαχρεωμένη* Rb. 12. *τῷ περὶ* Ra.

13. *γεγενημένον* LLGBCDP, ut p. 75, 6. *γεγεννημένον* FO. *ἠφανισμένον* DP. 14. *Θήβας* B. Est autem *ἐν Πέρσαις*, quod Thomae restitutum Stanleius voluit, v. 517. 16. *Πλούταρχος*] vol. II, p. 525. c. *ὥσπερ*] *ὡς περὶ* Ox. *καθάπερ* Plut.

ἱερείου διαπεπραγμένου ἡ γλῶσσα καὶ ἡ κοιλία λείπεται. ὅθεν καὶ Συνέσιος ἐν ἐπιστολῇ λαβὼν χρῆται οὕτω πως· ὥσπερ ἱερείου διαπεπραγμένου τοῦ ἔνδον τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ζώου.

Δίκη ἡ ἰδία, γραφὴ ἡ δημοσία. Πλάτων ἐν τῷ Εὐθύφρονι ἢ περὶ ὁσίου· οὔ τοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. [εἰσάγει γὰρ πρῶτον τὸν Εὐθύφρονα δίκην τὴν ἰδίαν λέγοντα, εἶτα τὸν Σωκράτην ἐπιδιορθούμενον τὸ ὄνομα διὰ τῶν τοιούτων.]

Διάπειρα κρεῖττον ἢ πεῖρα. Πίνδαρος·

διάπειρά τοι βροτῶν ἔλεγχος.

---

1. ἡ — λείπεται] μηδὲν ἔτι λοιπὸν ἢ τὴν γλῶσσαν εἶναι καὶ τὴν κοιλίαν Plutarchus. 2. ὅθεν καὶ om. B. ἐπιστολῇ] 135. p. 272. b. 3. Ante λαβὼν interpungunt Edd. πως om. A. ὥσπερ] καθάπερ Synes. 4. τοῦ ἔνδον om. Synesius, restituendum utique. 5. πάλαι ποτὲ Synesius.

6. Δίκη ἡ ἰδία, γραφὴ ἡ δημοσία FO, Pauwius ad Phryn. p. 473. Lob. Sed δίκη ἡ δημοσία, γραφὴ (γραφὴ δὲ E.) ἡ ἰδία ALLRb GE. δίκη, ἡ δημοσία γραφή· ἡ (ἡ P.) ἰδία CDP. Unde Hemsterhusius: δίκη, ἡ ἰδία· ἡ δημοσία γραφή. Oudendorpius: δίκη οὐ δημοσία γραφὴ, ἀλλ' ἰδία. Porro δίκη ἐπὶ τῶν δημοσίων (δημοσιῶν Ra)· γραφὴ δὲ ἐπὶ τῶν ἰδίων RaB. „Πλάτων ἐν τῷ Εὐθ. δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. Rb.“ (STOEB.) ἐν Εὐθύφρονι B. Est ab init. 7. οὔ τοι δὴ A, Plat. οὗτοί δὴ Ra. αὔτοι δὴ B. οὗτοι δὴ G, suprascripto οὔτι, sed non ut in Clarkiano Platonis correctoris manu. οὐ δή (δὴ D) που Edd. Εὐθύφρον GEdd. Εὐθύφρων RaB, duo Plat. codd. 9. εἰσάγει — τοιούτων hoc loco Ra, post ὁσίου Edd., prorsus om. ALLGB. Assuta demum sunt posteaquam ab initio verborum ordo disturbatus erat. τὴν ἰδίαν Ra. τοῖς ἰδίοις Edd. ἐν τοῖς ἰδίοις Wolfius. ἐπὶ τοῖς ἰδίοις Hemsterhusius.

12. Πίνδαρος] Olymp. IV. 18. Bkh. 13. βροτῶν F.

Sequuntur in B. aliquot Moschopuli notationes, ordine prorsus turbato.

Διέχει δοκιμώτερον ἢ ἀπέχει, οἷον, δέκα σταδίοις διέχει. καὶ Θουκυδίδης· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων. καὶ διέχω τὸ διϊστῶ. Ἡρόδοτος ἐν τῇ ἐνάτῃ· ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα.

Διαγράφω, οὐκ ἀπαλείφω.

Δεῖγμα, οὐ δεῖξις· ἀπόδειξις δέ. καὶ δῆγμα διὰ τοῦ η, οὐ δῆξις.

Διελέχθη κάλλιον ἢ διελέξατο.

Δύναμαι, δύνασαι· δύνῃ δὲ οὐδεὶς τῶν δοκίμων εἶπεν, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ· σὺ μὲν οὖν καὶ δύνῃ καὶ δύναιο. ἐὰν δύνῃ δέ. Πλάτων ἐν Φαίδωνι· ἀλλὰ πειρῶ ὡς ἂν δύνῃ ἀκριβέστατα διελθεῖν πάντα.

Διχῇ διελών, ἢ δίχα.

Διενειμάμην καὶ ἐνειμάμην, οὐ διειλόμην. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· πρὸς δὲ τοὺς στρατιώτας τοὺς χιτῶνας ἐνείματο.

Διέπαυσέ τίς τινα καὶ διεπαύσατο αὐτός, καὶ ἔπαυσε καὶ

---

1. σταδίοις ALaGB, Phav. p. 210. b. σταδίους Edd. 2. Θουκυδίδης] lib. II, c. 81. δὲ om. B. καὶ] Non continuant CDP. 3. Ἡρόδοτος] IX, cap. 51. ἐνάτῃ GBC. ἐννάτῃ DPFO. 4. ἐς AG, Herod. εἰς BEdd. παιδίον Ra. διέχων ARRGBO, Herod. διέχον CDPF. ῥεῦθρα Ox.

7. ἀπόδειξις καὶ δεῖγμα διὰ B. καὶ] Non continuant CDP. Exc. Guelf. sic: *Διάπειρα* κρεῖττον ἢ πεῖρα· καὶ δεῖγμα ἢ δεῖξις· ἐπὶ ἀποδείξεως· καὶ δῆγμα ἐπὶ λύπης οὐ δῆξις. cf. p. 83, 12.

9. *Διελέχθη* et διελέξατο ALLRaGBO. διηλέχθη et διηλέξατο CDPF.

1. ἐπιστολῇ] 80. p. 228. d. οὖν] ἀεὶ add. Synes.

12. Φαίδωνι] p. 58. d. 13. διαλεῖν Ox.

15. ἢ ALLGBO. οὐ CDPF. Ponenda fortasse post v. 9.

17. ἐπιστολῇ] vol. II, p. 295. (I, 766. D.) ϛρατιῶτας G.

18. ἐνείματο RRGBEdd., Phav. p. 209. a. ἐνείμαντο Aristides et Thomas voc. *Χιτών*.

ἐπαύσατο, καὶ ἀνέπαυσε καὶ ἀνεπαύσατο. Λιβάνιος ἐν μελέτῃ τῇ Διέσωσέ τις ἐμπρησμοῦ γενομένου τὸν ἑαυτοῦ πατέρα· *μόλις, ὦ ἄνδρες δικασταὶ, τῶν ἐπὶ τῷ πατρὶ θρήνων [ὀλίγον] ἀναπαυσάμενος.* τὸ δὲ μετὰ τῆς κατά ἐκφέρειν ταῦτα ἀδόκιμον.

Δικάζω φόνον, ὡς Εὐριπίδης ἐν Ὀρέστῃ·

ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
φόνον δικάζων.

καὶ δικάζω ἀνθρώποις. δικάζομαι δὲ τῷ δεῖνι φόνου ἀντὶ τοῦ παρὰ δικασταῖς ἐγκαλῶ. ὡς ἔχει τὸ παρὰ Λιβανίῳ ἐν ἐπιγραφῇ μελέτης· *καὶ δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου.*

Δάκρυσι λέγε, μὴ δακρύοις· ποιητικὸν γάρ. Λιβάνιος ἐν μελέτῃ τῇ Φιλαργύρου παῖς ἀριστεύσας· *τοῖς τῶν δανειζομένων δάκρυσι μηδὲν ἐνδιδόναι.*

Δεδίττομαι τὸν δεῖνα, ἤγουν ἐκφοβῶ, καὶ παρὰ ποιηταῖς καὶ παρὰ λογογράφοις· ἀντὶ δὲ τοῦ ἐκφοβοῦμαι παρὰ ποιηταῖς μόνοις. Ὅμηρος ἐν β' Ἰλιάδος·

οὔ σ' ἔοικε κακὸν ὣς δειδίσσεσθαι.

---

1. *Λιβάνιος*] vol. I, p. 915. a. (IV, 742. R.) 4. *πατρὶ* LaGBCDPO. *πατέρι* F. *ὀλίγον*, quod est apud Libanium, ex uno B. adiecimus, omissum in GBEdd.

6. *Ὀρέστῃ*] v. 572. 7. *μὲν* GBFO. *μὲν οὖν* RaCDP. *ἐμνήσθη* La. *ἠμνήσθην* B. 9. *δικάζομαι ἀνθρώποις* B.

10. *τὸ* solus B; post *μελέτης* ponunt GEdd. *Λιβανίῳ*] vol. I, p. 540. (IV, 402. R.) 11. *ἐπιγραφῇ μελέτης* ALaRRGBO. *ἐπιγραφομένῃ μελέτῃ* CDPF. *καὶ* ARb, Libanius. *τὸ* GEdd. om. Ra B. E π. ῥ.: *Δικάζω τὸ παραδικάζω, ἤγουν παρὰ τὸ δέον κρίνω*, quibus similia habet Moschop. Syll. p. 141. b.

13. *ποιητικὸν*] *παθητικὸν* Ra. *Λιβάνιος*] vol. I, p. 805. a. (IV, p. 626, 15. Rsk.)

16. *καὶ παρὰ — ποιηταῖς* om. Ra. 17. *παρὰ λογογράφοις* LaGB. *παρὰ* om. Edd. 18. *μόνοις* ALaRaGBCDPO. *μόνον* F. *Ἰλιάδος*] II, 190. 19. *σ'* ALaRRGBOxCDP. *σε* FO ex Homero.

Δευσοποιὸς καὶ ὁ βαφεὺς καὶ ἡ εἰς βάθος βεβαμμένη βαφή. λέγε οὖν δευσοποιὸς βαφὴ, μὴ ἀναπόνιπτος, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ "Ωσπερ ἄλλοτε πολλάκις χρῆται καὶ ἀμφοτέροις λέγων· ὅταν ἁμάρτῃ δευσοποιά τε καὶ ἀναπόνιπτα.

Δικαστήριον καὶ ὁ τόπος ἐν ᾧ αἱ δίκαι τελοῦνται, καὶ αὐτοὶ οἱ δικάζοντες καὶ ὁ τῆς πόλεως ἄρχων ἀπὸ τοῦ τὰς ἐν αὐτῇ δίκας διοικεῖν οὕτω καλούμενοι. Συνέσιος περὶ Μαρκελλίνου τοῦ ἄρχοντος τὸν λόγον ποιούμενος οὕτω λέγει· παρεῖναι μὲν οὖν ἡμῖν καὶ τὸ δικαστήριον ἐβουλόμεθα· ἐπεὶ δὲ τυγχάνει ὢν ὑπερόριος.

Δεκέτες παιδίον κάλλιον εἰπεῖν ἢ δεκάετες, καὶ δεκέτης πόλεμος ἢ δεκαέτης. Λιβάνιος ἐν τῷ ὑπὲρ τῆς Ἀντιοχέων ὀργῆς· οὔτ' αὐτὸς οὗτος ὁ δεκέτης πόλεμος. δεκαετὲς μέντοι διάστημα χρόνου, οὐ δεκετὲς, καὶ δεκαετὴς χρόνος, οὐ δεκετής. ὡσαύτως δὲ καὶ πεντάετες

---

1. *βαβεὺς* G. *βεβαμμένη βαβὴ* DP. 2. *βραφὴ, μὴ* B. *εἴ καί* P. „*εἰ καὶ Συνέσιος*] *his adde χρῆται ex Ra.*" (*STOEB.*) 3. *ἐπιστολῇ*] 44. p. 183. a.

6. *τελειοῦνται* G, sed suprascr. ead. manu *τελοῦνται*.

7. *ὃ τῆς* P. 8. *αὐτῇ* LLRRGOxCDPO. *αὐτῷ* BF. *οὕτω — ποιούμενος* om. B. *Συνέσιος*] epist. 62. p. 205. d. 9. *Μαρκελλίνου* GFO. *Μαρκελίνου* CDP. 10. *ὑμῖν* Synesius. „*e Nostro corrigendus.*" (*OUD.*) 11. *ἐβουλευόμεθα* La. Aliquam-multa hic interiecta apud Synesium, omissa ab Thoma. *ἐπεὶ δὲ* LaRRGB, Synes. *ἐπειδὴ* Edd.

13. Accentus quidem parum consentaneos nolui ad certam rationem revocare, ne quid forte obscurarem consilio institutum ab grammatico. *Δεκαέτες παιδίον* Ox. *δεκέτης παῖς* A. *ἢ δεκαέτες* GBCDPFO. *ἢ δεκαετὲς* Oudendorpius. *καὶ δεκαετὴς* Ox.

14. *ἢ δεκαέτης* RRLaGB. *δεκαετὴς* Edd. *Λιβάνιος*] vol. II. p. 151. (I, 451. R.) *ἐν τῷ περὶ τῆς τῶν Ἀντιοχέων ὀργῆς* Ra. om. Ox. 15. *οὔτε* Liban. *οὗτος* om. B. 16. *δεκαετὲς*] Non continuant CDP. *καὶ δεκαέτης* B. 17. *ὡσαύτως δὲ καὶ* solus G. *ὡσαύτως καὶ δεκάετες καὶ* BEdd. Sed *δεκάετες*, pro quo *τετράετες* coni. Abreschius, ortum est ex *δὲ καί*.

καὶ ἑξάετες. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· οὐ γὰρ πεντάετες, οὐχ ἑξάετες ἀρκεῖ.

Δεδήσομαι, οὐ δεθήσομαι. ἀπορήσειε δ' ἄν τις, πῶς ἀπὸ τοῦ δέδεμαι, δέδεσαι, τὸ δεδήσομαι γινόμενον οὐ δεδέσομαι γράφεται. φαμὲν οὖν, ὅτι τοῦ δέω, δῶ τὸ δεσμῶ οἱ μέλλοντες διὰ τοῦ $\overline{\eta}$ ἐκφέρονται· δήσω γὰρ καὶ δήσομαι, διὰ τοῦτο καὶ δεδήσομαι· οἱ δὲ ἄλλοι χρόνοι διὰ τοῦ $\overline{\varepsilon}$, δέδεκα, δέδεμαι, ἐδέθην καὶ οἱ ἐξ αὐτοῦ, πλὴν τοῦ ἐνεργητικοῦ ἀορίστου τοῦ ἔδησα καὶ τῶν ἐξ αὐτοῦ. τοῦτο δὲ γίνεται διὰ τὸ τὴν πρώτην συζυγίαν [τῶν περισπωμένων] ἐπὶ τοῦ μέλλοντος ἔχειν ἢ τὸ $\overline{\eta}$ ἢ τὸ $\overline{\varepsilon}$, ποτὲ δὲ καὶ ἀμφότερα. Ἀριστείδης ἐν Διονύσῳ· οὐδὲν ἄρα οὕτως βεβαίως δεδήσεται. καὶ Συνέσιος ἐν ἐπιστολῇ· ἂν ἐκεῖνοι σωφρονῶσι, δεδήσεται.

Τὸ δυσωποῦμαι παρὰ μὲν τοῖς ἀρχαίοις ἀντὶ τοῦ ὑφορῶμαι καὶ ὑποπτεύω τίθεται, καθὰ καὶ Πλάτων ἐν Φαίδρῳ χρῆται. [Δημοσθένης ἐν τῷ κατὰ Φιλίππου τρίτῳ·

---

1. Ἀριστείδης] vol. I, p. 536. (I, 480. D.) 2. οὐχ Laur. Δ Aristidis, οὐδ' impressum. ἀρκεῖ om. Ox. οὐκ ἀρκεῖ Aristides.
3. ἀπορρήσεις Ra. ἀπορήσεις B. 4. δὲθέσομαι γρ. B.
7. δεδήσομαι] Priora γρ. φαμὲν οὖν — τὸ δεσμῶ γὰρ καὶ — δεδήσομαι repetit B. 8. διὰ ALLRRGBCDPO. om. F. δέδεγμαι B. 9. τοῦ ἔδησα] τοῦ om. Ra. ἔθησα B. 10. τὸ om. Rb. τῶν περισπωμένων accessit ex La, om. GBEdd.
11. ἢ τὸ $\overline{\eta}$ ALaRRGBOxO. ἢ om. CDPF. 12. Ἀριστείδης] vol. I, p. 53. (I, 49. D.) 13. οὕτως βεβαίως La, Aristides. οὕτω βεβαίως GB. οὕτω βέβαιον Edd. δεδήσεται apud Aristidem Dindorfius: vulgo δεδέσεται. „καὶ Συνέσιος] Rb hoc exempl. non habet.“ (STOEB.) 14. ἐπιστολῇ] 32. p. 178. d. 15. δεθήσεται Synesius, corrigendus e Thoma.
16. Τὸ LLGBCDPO. om. F. 17. Φαίδρῳ] p. 242. c. d. Φαίδωνι LbRb, Moeris p. 125. ante Piersonum. 18. Δημοσθένης — ἐξεπίτηδες accesserunt ex Ra, ubi posita sunt „post τίθεται“, omissisne καθὰ — χρῆται necne dubium ex Stoeberi annot. Apud Demosthenem (p. 127. R.) scriptum: ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξ-

ἢ γὰρ ἐπίτηδες, ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. ἀλλὰ δυσωποῦμαι ἢ γὰρ ἐξεπίτηδες.] παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ ἐντρέπομαι καὶ οὐκ ἀντέχω δι' αἰδῶ, ὃ βούλεται καὶ Πλουτάρχῳ τὸ περὶ δυσωπίας βιβλίον.

Διέφθορεν ἀντὶ τοῦ ἐφθάρη. Λουκιανὸς ἐν τῷ Ἡρακλέους καὶ Ἀσκληπιοῦ διαλόγῳ· ὑπ' ἀμφοῖν διεφθορὼς τὸ σῶμα. καὶ ἀντὶ τοῦ ἔφθειρε. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

τάς οὔσας τέ μοι
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορεν.

ἔστι δὲ καὶ ὁ παρακείμενος ἐν χρήσει. Ἀριστείδης ἐν Περικλεῖ· ἢ πῶς Ἀθηναίους εἴη διεφθαρκώς.

Διαιτητὴς λέγε καὶ μὴ αἱρετὸς κριτής.

πίτηδες ἢ δι' ἄγνοιαν — πόλιν: sed expunxit Bekkerus (p. 116.) quippe in duorum tantum codd. margine reperta. 4. δι' αἰδῶ D. δ' ιαἰδῶ P. 5. Πλουτάρχου B. 6. βιβλίον] vol. II, p. 528.

7. Διέφθορεν GBEdd., MS. Nunnesii, qui ipse coni. διέφθαρκε ad Phryn. p. 160. Lob. ἐφθάρη GBEdd. διεφθάρη A, et sic Graevius profert ad Lucian. Soloec. 3. vol. III, p. 558. Reitz. ἔφθειρεν coni. Pauwius ad Phryn. l. c., item Oudendorpius transponens simul Luciani et Sophoclis exempla. τῷ om. GB, ut p. 39, 5. 42, 11. 61, 11., alibi. 8. διαλόγῳ] dial. deor. XIII, 2. vol. I, p. 237. διεφθορὼς τὸ σῶμα verissime Luciano nunc restitutum pro valgato διεφθαρμένος τῷ σώματι. 9. καὶ ALaRRGB. ἅπαξ δὲ Edd., defensum ab Lobeckio. ἐφοθειρε P. ἐφθάρη coni. Pauwius, Oudendorpius. Non interpungunt RR. Ἠλέκτρᾳ] v. 305.

11. μοι ALLRRGBCDPO, Sophocli vindicatum a Porsono Advers. p. 182. μου F ex Sophocle. 12. ἀκούσας B. 13. παρακείμενος] ἐνεργητικὸς add. Pauwius l. c., ab Lobeckio refutatus.

Ἀριστείδης] vol. III, p. 213. (II, 172. D.), ubi legitur ἢ omisso: πῶς ἂν εἴη διεφθαρκὼς Ἀθηναίους.

15. Διετητὴς CDP, Phav. p. 210. a. αἱρετὸς] διαιρετὸς Ra.

Δένδρεσιν, ὡς Θουκυδίδης καὶ ἕτεροι, οὐ δένδροις, ὡς Ξενοφῶν.

Διακεκναισμένος τὸ χρῶμα, ποιηταί. Ἀριστοφάνης ἐν νεφέλαις·

οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.

διεφθαρμένος λογογράφοι.

Καὶ διεβίβων καὶ διεβίβαζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ διεβίβαζεν εἰς τὴν Ἀσίαν τὰς πολλὰς καὶ μεγάλας ἀποικίας.

Ἰστέον ὅτι ἡ τετάρτη συζυγία τῶν εἰς $\overline{\mu\iota}$ προτιμοτέρα τοῖς Ἀττικοῖς τῆς βαρυτόνου. δείκνυμι γὰρ καὶ ζεύγνυμι λέγουσιν, οὐ δεικνύω οὐδὲ ζευγνύω.

Δρεπάνη, οὐ δρέπανον.

Δελφὶς, οὐ δελφὶν, καὶ ὅσα τῆς αὐτῆς εἰσι κλίσεως· πλὴν τοῦ θὶς καὶ θίν· καὶ ἀμφότερα γὰρ ἐν χρήσει· τὸ μὲν γὰρ τὸν σωρὸν, τὸ δὲ θὶν τὸν αἰγιαλὸν σημαίνει. ἔστι

---

1. *Θουκυδίδης*] II, cap. 75. *ἕτερος* B. *Ξενοφῶν*] Anab. IV, 7, 9. et in libris longe plurimis IV, 8, 2.

3. *διακεγναισμένος* P. „*Ἀριστοφάνης ἐν νεφ. desunt Ox.*“ (*OUD.*) *νεφέλαις*] v. 119. 6. *τὸ χῶμαι* B. *διακεκναισμένος τὸ σῶμα* G. Proxima continuant ALLRaGBO, discernunt CDP et F, quae peculiarem his constituit §.: „*cui Rb favere videtur.*“ (*STOEB.*)

8. *Καὶ διεβίβων* LaGBCDP. *καὶ* om. FO. *διέβιβον* Ra. *διεβίβασαι* coni. Stoeberus. *Παναθηναϊκῷ*] vol. I, p. 195. (I, 182. D.) *διεβίβαζον* B. 10. *ἀποκίας* B.

11—13. „*om. Lb, sicuti multa alia.*“ Prioribus continuant DPFO. *ἱστέον* Edd.

14. *Δρέπανον, οὐ δρεπάνη* Dukerus invertit ad Thucyd. VI, 4. extr. Vulgata tuetur Moeris p. 128.

15. *εἰσι*] *ἐστι* Ra. Cf. p. 63, 4—9. ad 78, 5. 16. *καὶ ἀμφότερα — χρήσει* om. Rb. *καὶ ἀμφότερα γὰρ* GBCDPF. *καὶ* om. AO. Idem particulae usus e. c. p. 90, 6., ut fallatur Oudendorpius. *καὶ θήν* Rb(sed l. 17. item *θίν.*) *τὸ μὲν η γὰρ* B. 17. *τὸ σωρὸν* Ra. *αἰγαλὸν* DP. *σημαίνει* P.

μέντοι δελφὶς οὐ μόνον τὸ ζῶον, ἀλλὰ καὶ μολίβδινόν τι ὄργανον ναυμαχουσῶν νεῶν, ὅθεν καὶ Θουκυδίδης νῆας δελφινοφόρους.

Διῆρες, οὐχ ὑπερῷον. Εὐριπίδης ἐν Φοινίσσαις·

ἐς διῆρες ἔσχατον.

Δίαιτα, οὐ διαγωγὴ οὐδὲ διατροφή· καὶ ἀμφότερα γὰρ σημαίνει ἡ δίαιτα. καὶ διαιτώμενος δὲ καὶ διάγων, οὐ μὴν καὶ διατρεφόμενος.

Διεῖναι ἐλαίῳ ἢ ὄξει ἢ ἄλλῳ τῳ, οὐκ ἀνεῖναι, ὡς ἰατροὶ λέγουσιν. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· καὶ ἀψίνθιον προσευρὼν προστάξειε πιεῖν ὄξει διειμένον. καὶ διεῖναι ἀντὶ τοῦ ἀφεῖναι. ὁ αὐτὸς ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας δευτέρῳ· ἢ συνεμβαλεῖν εἰς τὴν Ἀττικὴν, ἢ διεῖναι.

Δυοῖν, οὐ δυσίν. ὅσα γὰρ μὴ συνεμφαίνει γένος, οὐδὲ πτῶσιν δέχεται. ὥσπερ τὸ οἱ τρεῖς, τῶν τριῶν, τοῖς τρισὶν, ἔχει τὴν κλίσιν· παράκειται γὰρ αὐτοῖς οὐδέτερον τὰ τρία· ὁμοίως καὶ τῷ τέσσαρες τὰ τέσσαρα. καὶ

---

1. *μέντοι*] *δὲ* G. *Δελφοῖς* B. *μολίβειδινον* B. *τι* ALLRa GBO. om. ECDPF. 2. *νεῶν ναυμαχουσῶν* E, quae pergunt: *αἳ καὶ δελφινοφόροι λέγονται.* *Θουκυδίδης*] VII, cap. 41. *νῆας*] v. Lobeck. ad Phryn. p. 170.

4. Continuat B. *ὑπερῶν* DP. *ὑπερõν* B. *Φοινίσσαις*] v. 88. Pors.

6. *διαστροφή* (*διαστροδή*) B. 7. *δὲ* om. GB.

9. *ἄλλῳ τῳ* P. *ἄλλῴ τῳ* GCD. *ἄλλῶτω* B. *ἀλλώτῳ* F. *ἄλλῳ τῷ* ALLRRO. *οὐχ* P. *ἰατροὶ* AGB „*MSS.*“ (*RR.?*), Phav. p. 208. c. *οἱ ἰατροὶ* Edd. 10. *δευτέρῳ*] *τῷ* Ox. *ἱερῶν*] vol. I, 524. (I, 473. Df.) *ἀψίνθιον* GBFO. *ἀψίνθινον* CDP.

12. *καὶ διεῖναι* ALaRRGB. *καὶ* om. Edd. 13. *δευτέρῳ*] vol. II, p. 264. (I, 743. Df.) *συνεμβαλεῖν* ALaRRGB, Aristides post extrusum a Cantero *συμβαλεῖν*. *συνεσβαλεῖν* Edd.

15. *οὐδὲ* GB. *οὐ δὲ* Edd. 16. *ἐπιδέχεται* B. *τὸ* ALLRaGBO. om. CDPF. 17. *κλῆσιν* G. 18. *τὸ τέσσαρες* Ra GB.

ταῦτα μὲν Φρύνιχος, ἀπαγορεύων καθάπαξ τὸ δυσίν. εὕρηται μέντοι καὶ τοῦτο παρὰ τοῖς ῥήτορσι. Θουκυδίδης· ἐπισιτισάμεναι δυσὶν ἡμέραις. καὶ Ἀριστείδης ἐν τῷ περὶ ῥητορικῆς πρώτῳ· ἀλλ' ἀπέδωκε δυσὶ καὶ τρισὶν ἀντειπεῖν. κρεῖττον μέντοι τὸ δυοῖν. γίνωσκε δὲ καὶ τοῦτο, ὅτι τὸ δύο οὐ μόνον ἐπὶ εὐθείας καὶ αἰτιατικῆς, ἀλλὰ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς τίθεται. Θουκυδίδης· διελθόντων δύο ἐτῶν. καὶ Λιβάνιος· δύο λιμέσι τοὺς εἰς αὐτὸν καταφεύγοντας ἐδέξατο.

Διδῴη καὶ δῴη εὐκτικῶς, φησὶ Φρύνιχος, οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλὰ διδοίη καὶ δοίη· τὸ μέντοι διδῴη καὶ δῴη ἐπὶ ὑποτακτικοῦ τιθέασι. τεκμηριοῖ δὲ Ὅμηρος, ἐὰν μὲν ὑποτακτικῷ χρῆται, διὰ τοῦ ω ἐκφέρων, οἷον

εἶ δέ κεν αὐτὸς
δῴη κῦδος ἀρέσθαι.

---

1. Φρύνιχος] p. 210. Interpungendi notam tum hic adiecimus, tum cum GBO post δυσίν. In CDPF sic: καθάπαξ. τὸ δυσὶν εὕρηται c. q. s. 2. „καὶ τοῦτο] *Pro* καὶ *Ra.*"? Θουκυδίδης] VIII, cap. 101. 3. ἐπισιτισάμεναι ALaGBO. ἐπισιτησάμεναι CP. ἐπισιτυσάμεναι D. ἐπισιτησάμενοι F. 4. Ἀριστείδης] vol. III, p. 8. (II, 4. Ddf.) περὶ] ὑπὲρ RaGB, ut in Oxoniensi Aristidis. cf. p. 77, 16. ἀπέδωκε ARRGBO, Aristid. ἐπέδωκε CDPF. 5. δυσὶ ALLRRGBO. δυσὶν F. τρυσὶν B. ἀντειπεῖ P. 6. τὸ δυοῖν RRGB. τὸ om. Edd. γίνωσκε] Nova §. in B. 7. ἐπ' εὐθείας B. 8. δοτικοῖς P. Θουκυδίδης] I, cap. 82., ubi est διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν. 10. αὐτὸν ARRGB. αὐτὸ Edd. καταφυγόντας B.

11. Φρύνιχος] pag. 345. 12. καὶ δοίη ARaGBO, Phav. p. 208. a. „καὶ δοίη *LLOx.*" om. CDPF. 13. ὑποτακτικοῦ GBEdd. εὐκτικοῦ ARb. 14. ὑποτακτικῷ RRGBEdd., Phav. ὑποτακτικῶς Phrynichus, atque aut sic scribi Oudendorpius hic voluit. aut εὐκτικῷ p. 92, 2. ω μεγάλου Phav. οἷον] Iliad. XVI, 87. 15. αὐτὸς RRGBEdd., Phav. αὖ τοι Ox, Phrynichi ed. Rom. et Paris., Homerus. 16. δώη F.

ἔστι γάρ, εἰ δ᾽ ἄν σοι δῷ αὐτός, ἤγουν ὁ Ζεύς. εἰ δὲ εὐκτικῶς, οὕτως·

σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς.

οὐ καλῶς δὲ ταῦτά φησιν ὁ τοιοῦτος Φρύνιχος. ὥσπερ γὰρ ἀπὸ τοῦ βιούς, βιόντος οὐ βιοίη φαμὲν, ἀλλὰ βιῴη Δωρικῷ ἔθει (ἐκεῖνοι γὰρ τὴν οι δίφθογγον εἰς ω μέγα τρέπουσιν), οὕτω καὶ ἀπὸ τοῦ δούς, δόντος δοίη καὶ δῴη, ὡς καὶ ἁλούς, ἁλόντος, ἁλοίη καὶ ἁλῴη. Ἡρόδοτος ἐν τῇ ἐνάτῃ· *οὔτε γὰρ ἄν τοι δῴην θυγατέρα τὴν ἐμήν.* ὥστε οὐκ ἔδει λέγειν, ὅτι ὑποτακτικὰ ταῦτά ἐστιν, ἀλλ᾽ ὅτι τὸ διδοίη καὶ δοίη ἐν χρήσει μᾶλλον τοῦ διδῴη καὶ δῴη. καὶ Ἀλέξανδρος γὰρ ὁ σοφιστὴς καὶ Λιβάνιος καὶ ἕτεροι ἐπὶ εὐκτικοῦ τούτοις εὑρίσκονται χρώμενοι.

Διώκω τοὺς πολεμίους, ἤγουν ἀπελαύνω· διώκω τὸν δεῖνα

---

1. ἔστιν γάρ εἶδος, εἴδ᾽ ἄν σοι δῷ B. 2. εὐκτικῶς RbGBEdd., Phryn. εὐκτικῷ Ra, Phav.; idem coni. Torrenius. οὕτως LaRRB, Phryn. οὕτω GEdd, Phav. Est Odyss. VI, 180. 3. σοί δε G. σῇσιν Rb. 4. μενοινᾷς om. Rb. 5. καλλῶς B. τοιοῦτος GB Edd. om. Lb, quod placet Oudendorpio. 6. οὐ] fort. οὐ μόνον. βιούς ARaGB, Phav., Mosch. βιοῦς Edd. βιόντος Phav. βιοῦντος RRGBEdd., Mosch. 7. Δωρικῷ ἔθει ut reciperetur Piersonus suasit ad Moer. p. 117. et Moschopuli Syll. fol. 141. b. Ald., ex qua partem suorum hausit Thomas. Vulgo Ἰωνικῷ (ἰωνικῶς B) ἔθει, sed „*καὶ Δωρικῷ. et pro var. lect.* Ἰωνικῷ *Ox.*“ (*Ol D.*)
ἐκεῖνοι GBCDPO, Phav. ἐκεῖνον F. εἰς ALLRRGBO, Phav., Mosch. om. CDPF. 9. ὡς καὶ] καὶ om. Phav. ἁλόντος LL RRGBO, Phav. ἁλοῦντος CDPF. 10. ἐνάτῃ C. ἐννάτῃ DP FO. Est cap. 111. ἄν τοι δῴην ALaO, ut hodie legitur apud Herodotum. ἄν τοι δοίην Rb, ἀντιδῴην GCDPF: utrumque in codd. Herodoteis. ἄντε δώην Ra. ἄντι δώην B. 12. ἀλλότι το B. 13. διδῴη] διδῶν B. γὰρ om. B. 14. καὶ Λιβάνιος] καὶ om. Ra.
16. Singula separant CDP. Διέκω B. ἤγουν RRGB. ἢ Edd. ἀπελαύνω] ἀπολοῶ B.

κλοπῆς, ἤτοι κατηγορῶ· διώκω λόγους, ἤτοι ζητῶ. καὶ διώκω τὸ κινῶ ποιητικῶς. *Αἰσχύλος* ἐν τῷ ἑπτὰ ἐπὶ Θήβαις·

σπονδῇ διώκων πομπίμους χνόας ποδῶν.

Διάστροφοι φρένες τοῦ μαινομένου, καὶ διάστροφος μορφὴ ἡ ἕτερον εἶδος μετειληφυῖα. *Αἰσχύλος* ἐν *Προμηθεῖ*·

εὐθὺς οὖν μορφὴ καὶ φρένες διάστροφοι.

καὶ διάστροφοι ὀφθαλμοὶ οὐ μόνον οἱ παρὰ τὸ πεφυκὸς ἔχοντες, ἀλλὰ καὶ οἱ τοιοῦτοι μὲν μὴ ὄντες, λοξοβλεποῦντες δέ. ἀπόστροφοι δὲ οἱ ἀπεστραμμένοι, οὐ μόνον ἐπὶ ὀφθαλμῶν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. *Συνέσιος* ἐν ἐπιστολῇ τῇ *Αἱ κακοποιοὶ δυνάμεις*· αἱ δὲ τιμωροὶ φύσεις εἰσὶν αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ.

Δημόκοινος καὶ βασανιστὴς ὁ στρεβλῶν καὶ βασανίζων. *Πλούταρχος* ἐν τῷ περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων· ἐνίοις γὰρ καὶ κολασταῖς ἑτέρων πονηρῶν οἷον δημοκοίνοις ἀπεχρήσατο

---

1. ἤτοι ARRGB. ἤγουν Edd. ἤτοι διώκω κατηγορῶ B. ζητῶ] „*male vir doctus coni.* ζηλῶ.“ (*OUD.*) 2. κινῶ] νικῶ B. *Αἰσχύλος*] v. 371. E π. ῥ. sic: *Διώκω τὸ ἀπωθῶ καὶ τὸ ζητῶ καὶ τὸ κατηγορῶ.*

6. Continuat B. *φρένες αἱ τοῦ* E. 7. *Προμηθεῖ*] v. 674. 8. οὖν] δὲ ex Aeschylo Thomae reddendum existimabat Oudendorpius. *καὶ φρένες* LaRRGBO. om. CDPF. *διάστροφοι* om. A. 10. *διάστροφοι* om. La. 12. *λοξοβλεπτοῦντες* RRG, Bastius Comment. palaeogr. p. 748. *λοξοβλεπτοντες* B. *λοξοβλεποῦντες* Edd. *καὶ διάστροφος ὀφθαλμὸς ὁ λοξοβλεπτῶν* E. 14. *ἐπιστολῇ*] 57. p. 192. c. *δυνάμις* C. 15. *εἰσὶν* intercidit apud Synesium. *εἰσὶ εἰι παντάπασιν* B. *εἰσὶ παντάπασιν* G.

17. *στρεφλῶν* B. 18. *Πλούταρχος*] vol. II, p. 552. f. *βαδέως* Rb. 19. *γὰρ*] *ἀμέλει* add. Plutarchus. 20. *δημοκοῖνος* B.

τὸ δαιμόνιον. ὡσαύτως καὶ δημόσιος, ὡς παρ' Αἰσχίνῃ· παρέσται δὲ ὁ δημόσιος καὶ βασανιεῖ ἐναντίον ὑμῶν. ἔνιοι δὲ βασανιστὴν λέγουσιν τὸν ἐπὶ τῆς βασάνου, ἢ τὸν τὰ πρὸς τὴν βάσανον ἐνεργοῦντα.

Διῶρυξ, διώρυχος, καὶ ἅπασα ἡ κλίσις διὰ τοῦ χ, οὐ διὰ τοῦ γ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· καὶ διώρυχες εἰς αὐτὰς φέρουσιν. ὡσαύτως καὶ διωρυχὴ οὐ διωρυγή. ὁ αὐτὸς Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τῆς περὶ τὸν Ἄθω διωρυχῆς. καὶ ἐν τῷ Σμυρναϊκὸς πολιτικός· διωρυχὴ νυμφῶν ἐκ πηγῶν εἰς θάλατταν.

Δραχμὴ, οὐ δραγμή.

Διφρηλάτης, οὐ διφρελάτης.

---

1. ὡσαύτως] Non continuant CDP. δημόσιος] δήμιος coni. Wolfius, prob. Oudendorpius. Αἰσχίνῃ] de fals. leg. p. 44. extr. Steph. (p. 213. Rsk.) 2. δημόσιος] δήμιος vulgatum apud Aeschinem; sed δημόσιος in quattuor libris Bekkeri. 3. ὑμῶν Edd., Aesch. ἡμῶν RRGBOx. βασανιστὴν — ἐπὶ τῆς om. B. λέγουσι G. 4. πρὸς om. B. Exc. Guelf. ab initio: Δημόκοινος καὶ δημόσιος καὶ βασανιστὴς ὁ εἰς τὸ βασανίζειν καὶ στρεβλοῦν τεταγμένος.

6. πᾶσα B. 7. Αἰγυπτίῳ] vol. III, p. 590. (II, 467. Df.) διώρυχες apud Aristidem Canterus pro vulgato διώρυχας.

8. αὐτὰς GEdd., Arist. αὐτῆς B. αὐτὰ ALLRR. διωρυχὴ Edd. διορυχὴ AGB „*Rb. hic et in seqq. διορ.*“, ut propemodum credas hac forma usum Thomam esse. οὐ] ἢ La. 9. διωρυγή Edd. διορυγή GB. Παναθηναϊκῷ] vol. I, p. 227. (I, 212. Df.) 10. Ἄθω] Vulgatum erat apud Aristidem Ἄθων. διωρυχῆς Edd. διορυχῆς G. δωρυχῆς B. Eadem librorum discrepantia Aristideorum. 11. πολιτικός] vol. I, p. 407. (I, 377. Df.) διωρυχὴ Edd. διωρυχὴν Aristides. διορυχὴ G. δωρυχὴ B.

12. θάλασσαν B.

Δρόμος καὶ ἐπὶ τοῦ τρέχοντος καὶ ἐπὶ τοῦ προκειμένου τόπου τῷ βουλομένῳ τρέχειν.

Ὥσπερ λέγομεν δοκῶ μοι, οὕτω καὶ μοὶ δοκοῦμεν ἐπὶ πληθυντικοῦ. Πλάτων ἐν Θεαιτήτῳ· καί μοι δοκοῦμεν τῇδε ἄν πη τάχιστα εὑρεῖν. καὶ Δημοσθένης [Ὀλυνθιακῷ πρώτῳ·] ἡμεῖς δὲ οὐκ οἶδ᾽ ὅντινά μοι δοκοῦμεν τρόπον ἔχειν πρὸς αὐτά.

Διαφορὰ πάντες λέγουσι, διαφορότης δὲ Πλάτων μόνος ἐν Θεαιτήτῳ.

Δημούμενος κάλλιον ἢ γελοιάζων· γελοιαστὴς δέ.

Μὴ εἴπῃς σπιθαμή, ἀλλὰ δόχμη, ὡς οἱ ἀρχαῖοι.

Δρῦν κοινότερον πᾶν ἐκάλουν δένδρον οἱ παλαιοί. οὕτω καὶ ἀκρόδρυα πᾶσαν ὀπώραν. καὶ δρυφάκτους οὐ μόνον

---

1. *ἐπὶ τοῦ τρέχοντος*] *ἐπὶ τῶν ἀρχόντων* Phavor. p. 220. c. Cf. Bast. Addend. ad Gregor. Cor. p. 870., quo rectius illorum vim verborum perspexit Exc. Guelf. auctor: *Δρόμος καὶ αὐτὸ τὸ πρᾶγμα, καὶ ὁ τόπος ἐν ᾧ ἔτρεχον.* *τρέχοντος — προκειμένου* om. B. *προκειμένου — τρέχειν*] *ὑποκειμένου τοῖς τρέχουσι τόπου* Phav. 2. *τῷ* om. B.

3. *Δοκῶ μοι ὥσπερ λέγομεν* B. 4. *ἐν Θεαιτήτῳ* om. Ox. Est autem in Sophist. p. 229. b. 5. *τῇδε* CDP. *τῇ δε* F. *τῇ δε* RRG. *τῇ δὲ* BO. *ἄν πη* GCDP. *ἄνπη* RRBO. *ἂν πῇ* F. *παντά* Ox. *Δημοσθένης*] Olynth. I, p. 9. Rsk. *Ὀλυνθιακῷ πρώτῳ* accessit ex Ra. cf. p. 53, 13. 7. *ἔχειν τρόπον* Demosthenes.

8. *μόνος* ALbRRGB. *μόνον* Edd. 9. *Θεαιτήτῳ*] p. 209. a. d. e. 210. a.

10. Continuat B. *γελοιάζων*] *γελιάζειν* B. *γελοιαστὴς δὲ*] *μὴ* add. ARb, ortum ex initio proximae notationis.

11. Continuant DP. 11—13. *Δόχμη εἴπῃς ὡς οἱ ἀρχαῖοι, μὴ σπιθαμὴ λατοι οὕτω καὶ ἀκρόδρυα* B. *εἴπῃς* La. *εἴποις* Rb. *ἄλλα* P. *δόχμη* GBCDPF. *δοχμὴ* O, Oudendorpii arbitratu.

12. *κοινότερον, πᾶν* G. 13. *ὀπώρων* B. *οὐ μόνον* Ra B. Herodianus Piersoni p. 464., Moschop. Syll. fol. 142. a. om. GEdd.

τοὺς ἐκ δρυΐνων, ἀλλὰ καὶ τοὺς ἐξ ὁτουδηποτοῦν ξύλου. καὶ δρυπετεῖς ἐλάας ὁμοίως.

Δημότης Ἀττικοὶ ἄνευ τῆς σύν. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἄνδρες φίλοι καὶ δημόται.

ὡσαύτως καὶ πολίτης καὶ ἡλικιώτης καὶ στασιώτης· συμπότης δέ.

Διφρεία Ἀττικοὶ, δίφρευσις κοινοί.

Διήγησις ὅλον τὸ σύγγραμμα, ἤγουν ἡ Ἰλιὰς ἢ ἡ Ὀδύσσεια, διήγημα δὲ μέρος τι, οἷον ἡ τοῦ Ἕκτορος καὶ Αἴαντος μονομαχία· ὥσπερ καὶ ποίησις καὶ ποίημα. παραχρῶνται δέ τινες.

Διπλοῦν κατὰ μέγεθος, διπλάσιον δὲ ἐπὶ ἀριθμοῦ.

Διαβόητος ὁ ἐπὶ κακίᾳ ἁπλῶς φημιζόμενος. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὥσπερ ἄλλοτε πολλάκις· ὁ διαβεβοημένος Σπάταλος. ἐπιβόητος ὁ ἐφ' ἑνί τινι κακῷ. Θουκυδίδης ἐν [τῇ] ἕκτῃ· ὧν γὰρ πέρι ἐπιβόητός εἰμι. περιβόητος δὲ ὁ ἐπὶ ἀρετῇ ἐγνωσμένος. ἰστέον δὲ ὅτι ἁπλᾶ μὲν ταῦτα τιθέμενα οὕτως ὡς ἔφημεν ἔχουσι· με-

---

1. ἐξ ὁτουδηποτοῦν] ἐξ ὁδηποτοῦν GB, Moschopulus. ἐξοτηποτοῦν Rb. ἐξότου δηποτοῦν Ra. ἐξ ὅτου δηποτοῦν Herodianus. ἐξ ὁτουδήποτε οὖν CDP. ἐξ ὅτου (ἔξο La. ἐξ οἵου A.) δήποτε οὖν FO. 2. δρυπετεῖ P. ἐλλάας B.

3. Πλούτῳ] v. 254.

8. Ὀδέσσεια B. 9. δεήγημα P. μέρος τι] τοῦ ὅλου add. E. οἷον] Iliad. VII. αἴαντος καὶ ἕκτορος GB. 10. καὶ ποίησις om. B.

12. κατὰ μέγεθος GBEdd., Ammon. p. 43. ἐπὶ μεγέθους E, Phav. p. 215. a. ἐπὶ ἀριθμοῦ BEEdd., Phav., qui addit καὶ μεγέθους. κατὰ ἀριθμὸν LbG, Ammonius: quod nescio an praestet.

13. ἐπιστολῇ] 44. p. 185. b. 14. ἀλλότε C. διαβεβοιμένος P. 15. τινι] τι E. 16. Θουκυδίδης — εἰμι accesserunt ex ALaRRGB. om. LbEdd. ἐν τῇ ἕκτῃ posuimus pro ἐν ς'. Est cap. 16. πέρι La, Thuc. περὶ RR. om. GB. 17. περιβόητος — ἐγνωσμένος hic ponunt ALLRRGB, in fine notationis post Luciani exemplum Edd. ἰστέον FO. 18. ὅτι ἁπλῶς B.

μετὰ δὲ προσθήκης ἐνίοτε καὶ ἐναλλάττουσι. Λουκιανὸς ἐν τῷ Μένιππος ἢ νεκυομαντεία· μετὰ πολλῶν καὶ σοφῶν καὶ σφόδρα ἐπὶ συνέσει διαβεβοημένων.

Διορθοῦν κυρίως ἐπὶ δοράτων βολῆς· ἐπανορθοῦν ἐπὶ λόγων.

Διδάσκαλος λόγων καὶ ἀρετῆς, ἐπιστάτης δὲ ἔργων.

Δοῦλοι οἱ ταῖς ἡδοναῖς κάτοχοι καὶ οἱ ὑποτασσόμενοι βασιλεῦσιν· οἰκέται δὲ δεσποτῶν.

Δαμάλη ὁ ἄρρην μόσχος, δάμαλις δὲ ἡ θήλεια· μόσχος δὲ κοινῶς ἐπ' ἀμφοτέρων.

Δασὺ Ἀττικοί· τὸ δὲ δάσος κοινοί.

Διέδρα τις φυλακήν· ἀπέδρα, ὅταν ἀφύλακτος ᾖ.

Διαβόλιμον Θουκυδίδης λέγει τὸ διαβεβλημένον· καὶ οὐ πάνυ διαβόλιμον ὂν ἀπὸ τῶν Μεγάρων

---

1. ἐναλάττουσι C. ἐναλλάσσουσι GB. Λουκιανὸς] §. 6. vol. I, p. 463.

7. ἐπὶ λόγων E. ἐπὶ ἔργων E.

8. οἱ ὑποτασσόμενοι ALLRRBO. οἱ om. GCDPF. 9. οἰκέταις G. Exc. sic: Δοῦλος ὁ κάτοχος ἡδοναῖς· καὶ ὁ ὑπήκων τινί· οἰκέτης δὲ ἐπὶ δεσποτῶν.

10. Δαμάλη — μόσχος ALLRRGEO. om. B(Ox. ut videtur)C DPF. δαμάλη] δαμάγη Phavor. p. 187. c. δαμάλης Ammonius p. 39., sed ingeniose tentatus a Valckenario: idemque hic Wolfius voluit. Δάμαλις μὲν Ox, unde Oudendorpius coni. δαμάλη καὶ δάμαλις μέν. δάμαλις δὲ ἡ om. B. δὲ ALLRbGO. om. RaECDPF, Phav. θέλεια B, coniunctum cum §. antecedente. 11. κοινῶς ALLGB, Ammon.: cf. p. 56, 3. κοινὸν Edd. om. E, Phav. ἀμφοτέρων] ἀμφοῖν E, Phav.

12. Ἀττικόν G. κοινοί LLRaGBO. κοινόν CDPF.

13. Om. G. Διέρδρα B. ἀπέδρα δὲ Ra. ἀπέδρα διὸς B.

14. τὸ ALLRRG (qui interpungit post λέγει). τῷ B. τὸν Edd. καὶ οὐ — ὂν sumpta sunt ex Thucyd. VIII, 91., ἀπὸ τῶν — παραπλεῖν ex cap. 94. 15. διαβόλιμον GBDP, Thucydidis libri plerique. διαβούλιμον CFO. διαβολὴ μόνον nunc exstat ap. Thuc.

τὴν Σαλαμῖνα παραπλεῖν. σὺ δὲ διαβεβλημένον λέγε.

Δυσπρόσοδος ἀγρὸς, ὅθεν δυσκόλως προσόδους ἤτοι κέρδη οἱ δεσπόται ἀποφέρονται. καὶ δυσπρόσοδος ἄνθρωπος ὁ δύσκολος καὶ δυσέντευκτος. Θουκυδίδης· δυσπρόσοδόν τε αὑτὸν παρεῖχε καὶ τῇ ὀργῇ οὕτω χαλεπῶς ἐχρῆτο ἐς πάντας. καὶ δυσπρόσοδον χωρίον τὸ δύσκολον περὶ τὴν εἴσοδον, ὡς ὁ αὐτός· ἐρυμνόν τε καὶ δυσπρόσοδον. λέγει δὲ πάλιν καὶ δύσοδος χώρα ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον· δύσοδος γὰρ ἡ Γεράνεια. κάλλιον δὲ τοῦτον τὸ δυσπρόσοδος. καὶ πάλιν ἑτέρως· ταύτῃ γὰρ δυσεκβολώτατος ἡ Λοκρίς. καὶ πάλιν· προσιὼν τῷ λόφῳ ὄντι δυσπροσβάτῳ.

Διάγω τὸ διατρίβω, καὶ διάγω τὸ διεξάγω. Φιλόστρατος· διῆγε τὰς βασιλείους φροντίδας. καὶ διάγω σε τούτου ἀντὶ τοῦ ἀφιστῶ, ὡς ὁ αὐτὸς ἐν [τοῖς] ἡρω-

1. τὴν] τῆν F. τὸν B. διαβεβλημένων DP. διαβεβλυμένον B. διαβεβοημένον Ra.

3. ὅθεν — ἀποφέρονται] ἀφ' οὗ οὐδὲν ὁ κεκτημένος κερδαίνει. E. 4. ἀποφέρονται] ἐπιφέρονται La. 5. Θουκυδίδης] I, cap. 130. 6. αὑτὸν GO. αὐτὸν BCDPF. 7. χαλεπῶς RR GBEdd. χαλεπῇ Thucydides. ἐς LaRaO, suprascriptum in G. εἰς GBCDPF. πρὸς ARb. Reliqua in E sic: χωρίον δὲ δυσπρόσοδον τὸ ἐρυμνόν, ὃ καὶ δυσέκβολον καὶ δυσπρόβατον λέγεται.

8. αὐτὸς] V, cap. 65. 9. τε om. Thucydides. 10. οἷον] I, cap. 107. 11. γὰρ] τε γὰρ Thuc., sed τε om. unus Paris.

12. πάλιν] III, cap. 101. δυσεκβολώτατες RRGBEdd., Thucydidis libri aliquot. δυσεκβολώτατον A. δυσεσβολώτατος Thucydides, idemque Thomae restituendum Oudendorpius putabat cum Dukero.

13. πάλιν] IV, cap. 129. προσιὼν] ἐπιὼν Thucydides. λόφῳ] λίφω B. 14. δυσπροσβάτῳ B, Thucydides. δυσπροβάτῳ GEdd., Thuc. codd. Cass. et Aug.

15. καὶ διάγω — φροντίδας om. Rb. Φιλόστρατος] vit. sophist. I, 8, 2. p. 490., quod testimonium prolatum iam p. 58, 12.

17. τοῖς accessit ex B, ut p. 43, 7. ἡρωικοῖς] Prooem. p. 666.

ικοῖς· μὴ καὶ θρύπτεσθαί με φῇς διάγοντά σε ἀπ᾽ αὐτοῦ. διάγω καὶ τὸ βραδύνω. Θουκυδίδης· διῆγε καὶ προὐφασίζετο. καὶ διάγω τὸ διαβιβάζω. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν. καὶ διάγω τὸ διαζῶ, ὡς Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ· ἀφ᾽ ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει.

Δίδωμί σοι δίκας οὐ μόνον ἀντὶ τοῦ κολάζομαι ὑπὸ σοῦ, ἀλλὰ καὶ ἀντὶ τοῦ συνάπτω μετὰ σοῦ κρίσιν περὶ οἵου δή τινος ἀμφιβαλλομένου. Εὐριπίδης ἐν Ὀρέστῃ· *** Θουκυδίδης· δίκας μὲν τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἤγουν κριτικὰς ἐξετάσεις, ὅθεν κἀκεῖνο παρῆκται· κολάζεται γὰρ ὁ ἐν τῇ τοιαύτῃ κρίσει ἀναφανεὶς ὑπεύθυνος.

---

1. *καὶ* om. B. *φῇς* PFO. *φὴς* CD. 2. *βραδύνω*] *καὶ τὸ προφασίζομαι* add. E π. ῥ. *Θουκυδίδης*] I, cap. 90. extr.
3. *διῆγε καὶ*] *καὶ* om. DP. *προὐφασίζετο*] „*προφασιζ.* Ra. *προεφ.* Rb." *διαβάζω* B. 4. *ὁ αὐτὸς* ALaGB. *ὡς ὁ αὐτὸς* Edd. *τετάρτῃ*] cap. 78. 5. *τὴν*] *τῶν* P. *στρατεῖαν* La.
6. *Δημοσθένης*] p. 96. Rsk. *Χερρονήσῳ* GFO. *χερρονήσῳ* CDP. *χονήσω* B.

10. *οἵου δή τινος* de coniectura posuimus pro *ὁτουδήτινος* (GB CDP) vel *ὅτου δή τινος* (FO.) Possis etiam *οὗ τινος δὴ* coniicere vel ipsum *ὁτουδηποτοῦν* ut p. 96, 1. 11. *Εὐριπίδης ἐν Ὀρέστῃ*] Haec, collocata in Mss. et Edd. post *ἐξετάσεις*, ut huc transponerentur tum *ὅθεν* postulabat, quod quo referretur non habebat, tum institutus a grammatico explicandi ordo locutionis *δίκην διδόναι*. Post *ὑπὸ σοῦ* collocanda Oudendorpius indicarat. Euripidis exemplum ut intercidisse significarem, posui lacunae notas: potuit e versu vel 570. vel 1132. vel 1630. Pors. esse sumptum, cf. Oudend.
Θουκυδίδης] I, cap. 140. 12. *διαφορῶν* RRGB „*MSS*" (*OUD*) Edd., boni quidam libri Thucydidis, apud quem vulgatum *διαφόρων*. 13. *κριτὰς* Ra. *ἐξετασης* B. 14. *ὅθεν — ὑπεύθυνος* om. Ra. *κἀκεῖνο* GBCFO. *κἀκεῖνα* DP. *παρῆκται*] *παράκειται* coni. Stoeberus, 15. *ἀναφανεὶς*] *φανεὶς* ARb. *φα-ὰς-νεις* B.

Διαγνώμη Ἀττικοὶ, οὐ διάγνωσις λέγουσι. Θουκυδίδης· ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας.

Δουλεία οὐ μόνον αὐτὸ τὸ δουλεύειν, ἀλλὰ καὶ τὸ ἄθροισμα τῶν δούλων, ὡς ὁ αὐτός· ἢν δὲ ἡ δουλεία ἐπανιστῆται, ἤγουν ἐὰν οἱ δοῦλοι ἐπανιστῶνται.

Δρῶ σε τόδε Ἀττικοὶ, οὐ δρῶ σοι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ὁ Ζεύς με ταῦτ᾽ ἔδρασεν ἀνθρώποις φθονῶν.

οὕτω καὶ ἐργάζομαί σε τόδε καὶ ποιῶ σε τόδε.

Δῖνος ἡ κύκλῳ στροφὴ, ἀφ᾽ οὗ καὶ τὸ κύκλῳ στρεφόμενον σῶμα δῖνος, οἷον ὁ οὐρανός. καὶ τὸ κυκλικὸν μέντοι σῶμα, οὐ μὴν [δὲ] καὶ στρεφόμενον κύκλῳ, δῖνος λέγεται διὰ τὸ κυκλοτερῆ ὡσαύτως εἶναι πάντα τὰ στρεφόμενα κύκλῳ.

Δεσποτεία καὶ Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ὑπατικῷ· οὐκ

---

1. Θουκυδίδης] I, cap. 87.

3. Δουλεία τό τε ἄθροισμα τῶν δούλων καὶ αὐτὴ ἡ ἐνέργεια E. Δουλία B. 4. ὁ αὐτὸς] Θουκυδίδης FO. Est V, cap. 23. ἐπανιστῆται — δοῦλοι ARRGBOx et ut videtur La., om. Edd. 5. ἐπανιστῶνται] ἐπανίστηται La, idemque in Thucydidis verbis fuit ante Bekkerum.

6. τὸ δὲ B. 7. Πλούτῳ] v. 87.

11. σῶμα] Pergunt E: καὶ τὸ μὴ κινούμενον κύκλῳ, σφαιρικὸν δὲ ὅμως ὂν σῶμα. 12. δῖνος — σῶμα om. Rb. μέντοι] μὲν Moschopulus Syll. fol. 141. a., cui sua debet Thomas.

13. μὴν δὲ καὶ στρεφόμενα] μὴν καὶ τὰ στρεφόμενα B. μὴν διάστρεφόμενα Phavor. p. 213. a. δὲ quidem alienum indicavi, licet tueatur Mosch. διὰ τὸ — κύκλῳ] διὰ τὸ κυκλικῶς τὰ ἄλλα στρέφεσθαι ἐν αὐτῷ Mosch., Phav. 14. ὡσαύτως Ra, Hemsterhusius. ὡς αὐτὸς GBEdd. ὡς εἰκὸς coni. Wolfius, Oudendorpius. πάντα LLRaGB, Hemst. πάντως Edd. διὰ τὸ κυκλοτερές· ὡσαύτως δεῖναι (pro δῖναι) πάντα coni. Bernardus. Prave interpungendi genera varia tacite sustulimus.

16. καὶ GCDP „*MSS.* 3." (*OUD.*) om. BFO. Λιβάνιος] vol. II, p. 250. (I, p. 403, 10. Rsk.) ἐν — ὑπατικῷ om. Ox.

ἐμὸν ἐνδυναστεῦσαι παρ' αὐτῷ τὴν δεσποτείαν τῶν ἡδονῶν. αὐθεντία δὲ παρ' οὐδενὶ τῶν δοκίμων ῥητόρων εὕρηται ἐπὶ τοῦ τῆς δεσποτείας ὀνόματος, εἰ καὶ Συνέσιος λέγει· τὸ γὰρ αὐθέντης οἱ παλαιοὶ ἐπὶ τοῦ φονέως τάττουσιν. Ἡρόδοτος ἐν τῇ πρώτῃ· μήτε θυγατρὶ τῇ σῇ μήτε αὐτῷ σοὶ εἴην αὐθέντης.

Δυνάστης καὶ ὁ τύραννος καὶ ὁ βασιλεύς. ὡσαύτως καὶ δυναστεία οὐ μόνον ἡ τυραννὶς, ἀλλὰ καὶ ἡ βασιλεία. Αἰσχίνης· ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε. τὰ αὐτὰ δὲ καὶ περὶ τοῦ δυναστεύω γίνωσκε. παραδυναστεύω δὲ τὸ τοῖς δυνάσταις παρεδρεύω, ὅπερ καὶ δυναστεύω παρὰ τῷ δεῖνι γράφεται. Συνέσιος ἐν ἐπιστολῇ τῇ Τῆτες ἐξήνεγκα δύο βιβλία· πρὸς ἄνδρα παρὰ βασιλεῖ δυναστεύοντα. εὕρηται δὲ τὸ δυνάστης καὶ δυναστεία καὶ ἐπὶ τοῦ ἁπλῶς βιαίου.

Δυοκαίδεκα λέγε · τὸ δὲ δυώδεκα ποιητικώτερον.

Ἰστέον ὅτι οἱ ἀκριβολογούμενοι περὶ τὰ τῶν λέξεων σημαινό–

---

1. ἐμὸν] ἐάσας Liban. παρ' αὐτῷ] Scribebatur παρ' αὐτῷ. Sed pro his τῇ τύχῃ (ψυχῇ Rsk.) Libanius. ἐάσας Oudendorpius Thomae, παρ' αὐτῷ restitui vult Libanio. 2. ἡδονῶν — οὐδενὶ om. B. 4. εἰ om. Ox. Συνέσιος] ep. 66. p. 207. d. ep. 67. p. 215. a. λέγει om. Ox. 5. φονέος OxDP. πρώτῃ] cap. 117. 6. σοὶ αὐτῷ B.

8. καὶ ἡ δυναστεία Rb. 9. τυρανὶς Ra. τυραννῆς D. Αἰσχίνης] de fals. leg. p. 32. St. (213. Rsk.) 12. ὑμῖν Rb, Aeschines. Scribebatur ἡμῖν. τὰ αὐτὰ ALaBRGBO. τὰ τοιαῦτα CDPF. 12. καὶ om. B. περὶ] ἐπὶ Ra. 13. δυνάσταις „Codd.“ (RR puto,) GBCDPO. δυνασταῖς F. παραδρεύω D. παρὰ τῷ δεῖνι] παρά τινι Ra. 14. ἐπιστολῇ] 153. p. 293. b. τῇ — βιβλία om. Ra. 15. δυναστεύοντα] παραδυναστεύοντα Synesius. 16. τὸ om. B. 17. τοῦ] τὸ B.

18. ποιητικόν Phavorinus p. 222. a.

19. „*Totus hic locus ad verbum est desumptus ex Basilii T. I p. 563. ed. Par.*“ (OUD.) Adventicia censebat Hemsterhu

μενα τὴν δόξαν ἀπὸ τοῦ κλέους διώρισαν καί φασι τὴν μὲν δόξαν εἶναι τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον, τὸ δὲ κλέος τὸν ἀπὸ τῶν ἀγαθῶν. ὁμοίως καὶ τὴν τιμὴν διαιροῦσι [τοῦ γέρως,] φάσκοντες τὴν μὲν ἀστείαν τινὰ εἶναι καὶ ἐπὶ τῶν σπουδαίων πίπτειν, γήρως οὖσαν ἀξίωσιν· τὸ δὲ γέρας ἆθλον ἀρετῆς τίθενται· τὴν δέ τινα παρὰ τῶν τυχόντων τοῖς οὐ πάνυ ἀποδεκτέοις γινομένην ἀντίδοσιν.

Δείλης ἑῴας καὶ δείλης μεσημβρίας καὶ δείλης ὀψίας, Ἀττικοί· τὸ δὲ ἀντὶ τοῦ δείλης ὀψίας δείλης μόνον λέγειν ἁπλῶς Ἑλληνικόν.

Οὐ μόνον διδάσκομαι παρ᾽ ἄλλου, ἀλλὰ καὶ διδάσκομαι ἕτερον ἀντὶ τοῦ διδάσκω. Λουκιανὸς ἐν τῷ ἐνυπνίῳ· καὶ διδάσκου παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι.

Τὸ δοκός καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ εἴρηται. Λιβά-

---

sius. Ἰστέον] Continuat D. „ARb sic: Δόξα διώρισται παρὰ τοῖς ἀκριβ. κ. τ. λ.“ 1. κλέους RaGB. κλέος Edd.

2. πολλῶν — ἀπὸ τῶν om. B. 4. τοῦ γέρως addidi de Oudendorpii coni. 5. τὸν σπουδαῖον Thomae reddendum Oudendorpius ait ex Basilio, huic verius ex Thoma τῶν σπουδαίων Hemsterhusius. γήρως Phav. p. 218. b., Basilio restituendum, quamvis repugnet Hemsterhusius. Scribebatur γέρως. 6. τὴν — τυχόντων] τὸ δὲ ἁπλῶς οὕτω διδόμενον Phav., et deinde ἀντίδοσις.

7. τινα om. Ra. τινα τιμὴν Basil. παρὰ] περὶ A. τοῖς] ἐπὶ τοῖς O ex Phavorino. ἀποδεκτῶς γεγενημένοις Basilius.

9. ἑῴας] erat ἑώας. 11. Ἑλληνικόν] Ἕλληνες B non male: nisi Ἀττικόν praeferas vel Ἀττικά l. 10. cf. p. 97, 12.

12. Οὐ μόνον LLGCDPO. om. F. Διδάσκομαι παρ᾽ ἄλλω (ου) οὐ μόνον B. ἄλλα DP. 13. Λουκιανὸς] §. 2. vol. I, p. 4. ἐνυπνίῳ] Αἰγυπτίῳ Ox. 14. διδάσκου] δίδασκε editur apud Lucianum, sed illud non improbatum Hemsterhusio ad Plut. p. 4: cf. interpp. Luc.

16. καὶ ἐπὶ θηλυκοῦ καὶ ἐπὶ ἀρσενικοῦ ALbGO. καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ La. καὶ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ B ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ CDPF.

νιος ἐν τῇ εἰς τὸν νεὼν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· δοκοὶ δὲ ἐφέροντο κάτω φέρουσαι πῦρ. Λουκιανὸς ἐν τοῖς ἀληθινοῖς· μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες.

Καὶ διασῴζομαι ὑπὸ σοῦ καὶ διασῴζομαί σε. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασώζονται.

Δεδρασμένον ὡς ἀπὸ τοῦ δέδρακα, δέδρασμαι, ὁ αὐτός φησιν ἐν τῇ αὐτῇ· τῶν εὖ δεδρασμένων ὑπόμνησιν ποιησόμεθα.

Διακωχὴ ἤτοι διάλειμμά τινος πράγματος ἐνεστῶτος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἐγένετο δέ τις ὅμως διακωχή. ἀνακωχὴ δὲ πρόσκαιρος εἰρήνη πολέμου. ὁ αὐτὸς ἐν τῇ πρώτῃ· Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτε ἐγένεσθε.

Δάπανος ἡ δαπάνη καὶ ὁ δαπανηρός. ὁ αὐτὸς αὖθις ἐν τῇ πέμπτῃ· δάπανος γὰρ φύσει.

Διαβέβλημαι ὑπὸ σοῦ καὶ διαβέβλημαί σοι καὶ πρὸς σὲ, ἤγουν

---

1. *μονῳδίᾳ*] vol. II, p 187. (III, p. 385, 17. Rsk.) 3. *ἀληθινοῖς*] II, 1. vol. II, p. 105. *μεγάλοις δοκοῖς τὸ στόμα*, defensum a Schaefero ad Schol. Apollon. Rhod. p. 206., Luciani duo Parisini, apud quem editur *τὸ στόμα μεγάλαις δοκοῖς*.

5. *Καὶ* ab initio om. FO, habent „*MSS. Ox.*" (*OUD. Add.*) GBCDP. 6. *τῇ* om. GB. *τρίτῃ*] cap. 39. Idem testimonium affertur infra voc. *Εὖ λέγει*. 7. *ἀποθοῦνται* DP. *διωθοῦνται* La.

8. *Δεδρασμένων* GB. *ὁ αὐτὸς* „*MSS.*" (*OUD.*) GBCDP. *Θουκυδίδης* FO. *φησιν* om. FO. 9. *τῇ αὐτῇ* „*MSS.*" (*OUD.*) GB. *τῷ αὐτῷ* CDP. *τῇ τρίτῃ* FO. Est cap. 54.

11. *ἤτοι* om. B. *ὁ αὐτὸς ἐν τῇ αὐτῇ* GBCDP. *Θουκυδίδης ἐν τῇ τρίτῃ* FO. Est cap. 87. 14. *πρώτῃ*] cap. 40. *δι' ἀνακωχῆς* GFO. *δι' ἀνεκωχῆς* B. *διανακωχῆς* CDP.

16. *ἡ δαπάνη, καὶ δάπανος, ὁ δαπανηρός* coni. Oudendorpius. *ὁ αὐτὸς αὖθις* GBCDP. *Θουκυδίδης* FO. 17. *πέμπτῃ*] cap. 103.

18. *ἤγουν*] *καὶ* GB.

ἀντὶ τοῦ διεβλήθην ὑπὸ σοῦ καὶ ἀντὶ τοῦ διαβεβλημένως ἔχω πρὸς σέ. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· καὶ πρότερον τῷ Τισσαφέρνει ἀπιστοῦντες πολλῷ δὴ μᾶλλον ἔτι διεβέβληντο. Δημοσθένης· χαριεῖται μὲν οὐδετέροις· διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους. καὶ Φιλόστρατος ἐν τῷ τοῦ Ἡρώδου βίῳ· διαβέβληται πρὸς τὸν υἱόν, ἀντὶ τοῦ κακὸν αὐτὸν ἡγεῖτο. καὶ διαβόλως ἀντὶ τοῦ κακῶς καὶ ἐπὶ διαβολῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ ὅτι αὐτοῦ διαβόλως ἐμνήσθη.

Διδόασι [λέγε,] οὐ διδοῦσιν.

Διαλλάττω οὐ μόνον τὸ φιλιῶ, ἀλλὰ καὶ τὸ παραλλάττω. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· πλειόνως ὡς εἰπεῖν διαλλάττει ἢ ἄλλο ἔθνος πρὸς αὐτὴν Αἴγυπτον.

Οὐ μόνον διάκορος ἡ διακορισθεῖσα, ἀλλὰ καὶ ἡ κεκορεσμένη,

---

1. διεβεβλημένως B. 2. ὁ αὐτὸς] Θουκυδίδης FO. ὀγδόῃ] ἕκτῃ Ox. Est VIII, cap. 83. 3. δὴ om. G. 4. διαβέβληντο G. Δημοσθένης] pro Megalopol. p. 202. 6. βίῳ] II, 1, 10. p. 558. 7. τὸν υἱόν] αὐτὸν Philostratus, ubi praecesserat τὸν υἱόν. 8. καὶ] Nova §. in B. διαβολοῦ B. 9. ἕκτῃ] cap. 15. καὶ om. B.

11. λέγε damnavimus: vid. ad p. 2. init. 18, 8. οὐ AGB. καὶ οὐ Edd. Ex λέγε καὶ fingere possis λέγεται. διδοῦσι GB.

12. Διαλλάττω — Αἴγυπτον hoc loco ponunt GB, haud dubie etiam ALL (Rb quoque ut videtur), ex quibus eadem Oudendorpius p. 218. et Add. ad p. 217. profert post Διακωχή, ante Διαλοιδορεῖται, propter ordinem videlicet litterarum. Voci Διαλλάγη intexta habent RaEdd., quarum discrepantias scripturae notavimus ad p. 80, 6. Αἰγυπτίῳ] vol. III, p. 561. (II, 444. Df.) πλειόνως ὡς ALLGB et RaEdd. πλεῖον ὡς Lb, Aristides vulgo, πλέον ὡς Dindorfius.

14. διαλλάττει LbGB et RaEdd., Arist. διαλλάττειν ALa. αὐτὸν Lb.

16. Οὐ μόνον om. AE. Invertit B: Διάκορος ἡ δ. οὐ μόνον. διακορισθεῖσα GBE. διακορεσθεῖσα Edd. διακορευθεῖσα vel διακορηθεῖσα coni. Wolfius. ἀλλὰ om. A.

ἥτις καὶ κατάκορος λέγεται. Ἡρόδοτος ἐν τῇ τρίτῃ· ἐπεὰν δὲ διάκορος ἡ γῆ σφέων γένηται.

Διατίθεμαι παθητικῶς τὸ διάκειμαι καὶ τὸ πωλῶ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· ὅπως ἂν διαθώμεθά τι τῶν ὄντων. διατίθημι δὲ ἐνεργητικῶς τὸ καθιστῶ καὶ οἰκονομῶ. Λουκιανὸς ἐν τῷ βίων πράσεις· σὺ μὲν διατίθει τὰ βάθρα. καὶ διαθέτης ὡσαύτως ὁ καθιστῶν καὶ οἰκονομῶν. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· χρησμολόγον καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου.

Διαπρέπω τούτοις ἀντὶ τοῦ κάλλιστα καὶ πρεπόντως διάγω, ὡς τὸ διέπρεψε τῇ ἀρχῇ. καὶ διαπρέπω τὸν δεῖνα, ἤτοι καλλωπίζω. Πλάτων ἐν Γοργίᾳ· φύσιν ψυχῆς ὧδε γενναίαν μειρακιώδει τινὶ διαπρέπεις μορφώματι.

Διασκοπῶ καὶ διασκοποῦμαι.

---

1. τρίτῃ] cap. 117.

3. τὸ διάκειμαι] τό τε διάκειμαι Επ.ῥ. 4. θεολόγῳ Γρηγορίῳ ALLGB, ut p. 39, 12. θεολόγῳ Edd. ὅπως] ὥσπερ Ox. 6. Λουκιανὸς] ὡς παρὰ Λουκιανῷ Lb. βίων πράσεις] init. vol. I, p. 540. 7. βάτρα D. 8. ὁ — Ἡρόδοτος om. B. ἑβδόμῃ] ἕκτῃ Ox. Est VII, cap. 6. 9. καὶ] τε καὶ Herodotus. 10. Μωσαίου Ox.

11. πρεπόντως] διαπρεπόντως A. 13. ἤτοι] ἤγουν B. Γοργίᾳ] p. 485. e. 14. ᾧ δὲ BD. 15. μορφώματι om. G.

E.

Ἐπὶ κόρρης πατάξαι λέγουσιν Ἀττικοὶ τὸ γνάθον πλατείᾳ πλῆξαι χειρὶ, οὐ ῥάπισμα δοῦναι. Πλάτων· τί δὲ χείρων ἐγὼ, ἂν ὁ δεῖνα ἐπὶ κόρρης [ἀδίκως] πατάξῃ με. καὶ Λιβάνιος ἐν τῇ πρὸς Ὀδυσσέα ἀπολογίᾳ Ἀχιλλέως· κἂν ἐπὶ κόρρης πατάξῃ τις, μὴ χαλέπαινε· κἂν ὁ αὐτὸς ἀλλαχοῦ ῥάπισμα λέγῃ ἀδοκίμως.

Ἐδίδαξα αὐτὸς, ἐδιδαξάμην δι' ἑτέρου. Ἀριστοφάνης ἐν νεφέλαις·

ἐδιδαξάμην ἄν σ' ὦ μέλεε τοῖσι δικαίοις ἀντιλέγειν.

Ἀριστείδης ἐν τῷ Ἀσκληπιάδαι· οὐκ ἐδιδάξατο τὴν τέχνην τὴν ἰατρικὴν, ἀλλ' ἐδίδαξεν αὐτός. εὕρηται μέντοι παρά τισι καὶ ἀντὶ τοῦ ἁπλῶς ἐδίδαξα.

Ἐνίστατο, οὐκ ἠνίστατο.

Ἐκποδὼν τῷ δεῖνι ἐγένετο κρεῖττον ἢ ἐκποδὼν τοῦ δεῖνος. Εὐριπίδης ἐν Ἑκάβῃ·

---

1. Ἐπικόρρης C. τὸ ALaRbGB. τὸ τὴν Edd. τὸν τὴν Ra. πατεια B. πλατείαν Ra. 2. Πλάτων] Sumpsit ex Aristid. vol. III, p. 368. (II, 296. Df.) 3. ὁδεῖνα C. ἀδίκως πατάξῃ CDPO, Aristid. ἀδικῶς πατάξῃ F. πατάξῃ (omisso ἀδίκως) ALaRb GB. πατάξει Lb. 4. Λιβάνιος] vol. I, p. 238. d. (IV, p. 59, 26. R.) ἀπολογίᾳ] imo ἀντιλογίᾳ. 5. πατάξῃ] σέ add. Liban. κατάξῃ B. 6. λέγῃ LaGB, Iun. λέγει Edd.

8. ἐν νεφέλαις] om. Ox. Est v. 1338., ubi sic scriptum: Ἐδιδαξάμην μέντοι σε νὴ Δί' ὦ μέλε Τοῖσιν δικαίοις ἀντιλέγειν.

10. μέλεε et τοῖσι etiam Aristophanis libri. 12. Ἀριστείδης] vol. I, p. 76. (I, 73. Df.) Ἀσκληπιῶδαι B. Ἀσκληπίδι Ox.

14. Post τισι interpungunt GB.

15. Ἐνίστατο GBEdd. ἐνήστατο Ra. ἀνίστατο ALL. cf. Nunnes. ad Phrynich. p. 153. Lob.

16. ἢ ἐκπεδῶν„ MS." ? 17. Ἑκάβῃ] v. 52.

γεραιᾷ δ᾽ ἐκποδὼν χωρίσομαι
Ἑκάβη.

Ἀριστείδης ἐν τῷ πρὸς Ἀχιλλέα πρεσβευτικῷ· ἐξίσου δὲ ἀμφοτέροις ἐκποδὼν ἕστηκας. γίνεται δὲ τοῦτο ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ῥῆμα, οὐ πρὸς τὸ ἐκποδών· τοῦτο γὰρ γενικῇ συντάσσεται.

Ἐξίσης κάλλιον ἢ ἐπίσης.

Ἐνέχυρα Ἀττικοὶ, ἐνέχυρον Ἕλληνες. τὸ δὲ ἐνεχυριμαῖον λέγειν ὡς Ἱπποκλείδης, ἀδόκιμον.

Οὐ μόνον ἀπέσχον τοῦ δεῖνός φαμεν ἀντὶ τοῦ ἀπέσχοντο, ἀλλὰ καὶ ἔσχον. Θουκυδίδης· Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἑαυτοὺς δηλονότι. καὶ ἔσχον ἀντὶ τοῦ ἐνελιμένισαν. ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· σχόντες δ᾽ ἐν τῷ παράπλῳ ἐς Κεφαλληνίαν. καὶ αὖθις ἐν τῇ ἑβδόμῃ· ἔπλεον ἴσχοντες πρὸς ταῖς πόλεσιν.

Εὔκολος ὁ ἀφελὴς καὶ ἕτοιμος εἰς ὅπερ ἄν τις αὐτῷ χρήσασθαι βούλοιτο. Ἀριστοφάνης ἐν βατράχοις·
εὔκολος μὲν ἐνθάδε, εὔκολος δ᾽ ἐκεῖ.

---

1. γεραιᾷ FO. γεραιᾶ GB. γεραία DP. γηραία C. 2. Ἑκάβη F. om. Ox. 3. Ἀριστείδης] vol. III, p. 8. (II, 588. Df.) πρεσβυτικῷ Ra. 4. ἀμφοτέροις — γίνεται om. B. 5. Post τοῦτο interpungunt GB. ἀποδιδομένης B. (ω supra) συντάξεος DP.

7. κάλλιον om. Ox.

9. Ἱπποκλείδης] cf. Nunnesium ad Phryn. p. 364. Lob.

10. Ἔσχον φαμὲν οὐ μόνον — δεινὸς ἀντὶ τοῦ ἀπέσχοντο. B. ἀπέσχον ALaRRGBOx. ἐπέσχον Edd. ἀντὶ τοῦ ἀπέσχοντο om. A. 11. Θουκυδίδης] I, cap. 112. 13. ἀνελιμένισαν La. δευτέρᾳ] cap. 33. 14. δ᾽ ἐν LLRRGBCDPO. δὲ ἐν F. Κεφαλληνίαν ALLGBO. Κεφαληνίαν CDPF. 15. ἑβδόμῃ] cap. 35. ἔπλεον] παρέπλεον Thucydides.

17. ἀφολὴς καὶ ἕτιμος B. εἰς ὅτι ἄν τις E. 18. βατράχοις] v. 82. 19. εὔκολος (ἄκολος La) μὲν LLGBCDP. ὁ δ᾽ εὔκολος μὲν FO ex Aristophane, ut mox ἐνθάδ᾽.

καὶ εὔκολον πρᾶγμα τὸ εὐμεταχείριστον. καὶ εὐκολίαν ἔχει τόδε, ἤγουν ἑτοιμότητα εἰς μεταχείρισιν. ἔστι δὲ καὶ εὐκολία τὸ εὐκόλως φέρειν τὰ συμπίπτοντα δυσχερῆ καὶ μὴ δυσφορεῖν μηδὲ καταπίπτειν ὑπ᾿ ἐκπλήξεως. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ σωφροσύνην. δείκνυσι γὰρ διὰ τοῦ ἐπαγαγεῖν σωφροσύνην, ὡς εὐκολίαν λέγει τὴν γενναιότητα.

Ἐλευθερία οὐ μόνον ἡ ἄνεσις, ἀλλὰ καὶ ἡ ἐν ταῖς μεταδόσεσιν ἑτοιμότης καὶ δαψίλεια. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας παρεσκευάσθαι τῇ πόλει. λέγεται δὲ τὸ αὐτὸ καὶ ἐλευθεριότης.

Εὐθύνη ἡ ἐξέτασις, ὡς Δημοσθένης· ἐν ταῖς εὐθύναις τῶν στρατηγῶν· ὅθεν καὶ εὐθύνη ἡ τιμωρία διὰ τὸ τοὺς ἐξεταζομένους κολάζεσθαι ἀναφανέντας κακούς. καὶ εὐθύνω ῥῆμα τὸ εἰς ἐξέτασιν ἄγω καὶ τὸ κολάζω καὶ τὸ κατ᾿ εὐθεῖαν ἄγω. ὅθεν καὶ εὔθυνος παρὰ Λιβανίῳ ἐν τῷ Ἀντιοχικῷ· δικαιοσύνης ἀκριβὴς εὔθυνος ἵδρυται, ἡ τοῦ δικαίου οἱονεὶ ὀρθό-

---

2. τὸ δὲ B. ἑτοιμότατον Ra. μεταχείρισιν ARbGB. μεταχείρησιν Edd. 3. συμπίπτοντα] ἐμπίπτοντα Lb. 4. μηδὲ B. Scribebatur μὴ δέ. 5. Ἀριστείδης] vol. I, p. 279. (I, 262. Df.) ἐν τῷ „MSS.“ (OUD.) GBO. ἐν CDPF. τῶν om. B.

6. καὶ σωφοσύνην D. καὶ τὴν σωφροσύνην B. δείκνυσι — σωφροσύνην om. Rb. 8. τὴν] καὶ G.

10. ὁ αὐτὸς — λόγῳ] Ἀριστείδης ἐν Παναθηναϊκῷ FO. Est vol. I, p. 175. (I, 162. Df.) Redit autem p. 110, 15. 12. παρεσκευάσθαι LaRaGBO, Arist. παρεσκευάσασθαι CDPF. παρασκευάσασθαι Lb. παρεσκευάσθησαν ARb.

14. Δημοσθένης] Imo Libanius vol. I, p. 810. d. (IV, p. 632, 12. R.) 17. ῥῆμα BF. 19. Ἀντιοχικῷ] vol. II, p. 370. a. (I, p. 335, 10. R.) δικαιοσύνης om. Liban. 20. εὔθυνος om. Rb. ἡ τοῦ δικαίου tanquam Libanii verba prioribus continuantur in Edd. Post ἵδρυται interpungunt GB, Phav. p. 326. a., contra atque Edd. ἡ τοῦ δικαίου (δικαῖον B.) οἱονεὶ RbGB. ἡ

τις καὶ στάθμη. ἔτι δὲ εὐθύνω καὶ τὸ εὐθὲς ποιῶ, ὃ καὶ ἀπευθύνω λέγεται. καὶ εὐθύνομαι τὸ εἰς ἐξέτασιν ἄγομαι ἢ κολάζομαι. ἀπευθύνομαι δὲ ἀντὶ τούτων οὐκέτι.

Ἐδεδοίκειν, ἐδεδίειν, ἐπεφρίκειν, ἐπεπείθειν, παρατατικῶν ταῦτα σημασίαν ἔχουσιν, ἐπειδὴ καὶ οἱ τούτων παρακείμενοι ἀντὶ ἐνεστώτων λαμβάνονται. ὡσαύτως δὲ καὶ ὅσα ἕτερα τοιούτους ἔχει τοὺς παρακειμένους. ὁ δὲ μὴ ἀντὶ παρατατικῶν λαμβάνων ταῦτα, ἀλλὰ ἀντὶ ὑπερσυντελίκων ἁμαρτάνει.

Ἐπεξελευσόμενος φασί τινες [καὶ ὁ Φαβωρῖνος]· σὺ δὲ ἐπεξιὼν καὶ ἐπέξειμι, ὡς Ἀττικά.

Ἐμποδὼν ὁ δεῖνα τῷ δεῖνι γίνεται ἀντὶ τοῦ εἰς ἐμπόδιον. εἴρηται δὲ ἀπὸ τῶν ἐν ποσὶ κειμένων καθ' ὁδὸν καὶ οὐκ ἐώντων βαδίζειν. εἴρηται δὲ καὶ ἕτερον ἐπίρρημα ἐμποδὼν ἀντὶ τοῦ ἐν ποσίν. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

τοῦ δικαίου, οἱονεὶ Edd. ἤγουν τοῦ δικαίου οἷον Ra. ἤγουν, quod tuetur etiam Phavorinus, recepissemus, nisi verba ἢ τοῦ — στάθμη coniiceremus a Thoma posita fuisse ante παρὰ Λιβανίῳ. 1. ἔτι] ἔστι G, congruenter sane Thomae consuetudini. καὶ τὸ GBEdd. καὶ om. LL. 2. εὐθύνομαι ALLGBO. ἀπευθύνομαι CDPF. τὸ] καὶ τὸ coni. Abreschius. 3. ἢ ALLGBO. ἤγουν Ra. καὶ CDPF. ἀπευθύνομαι] ἐπευθύνομαι coni. Wolfius, Sallierus. τούτων] τοῦ τῶν B. 4. οὐκέτι] f. οὐχί.

5. ἐπεφρίκειν ALaGBCDPO. ἐπεφρίθειν F. ἐπεποίθειν ALaGBO. ἐπεπείθειν CDPF. 9. ἀλλ' GB. 10. ὑπερσυντελίκων BC. ὑπερτελικῶν DP.

11. Ἐπεξελευζόμενος FO. καὶ ὁ Φαβωρῖνος Edd. om. ALL RRGB, Phav. p. 287. c. Interpolasse Thomam Callierges videtur ex Phryn. p. 37. 12. ἐπεξιὸν B. ὡς om. B. Ἀττικόν G. Ἀττικός Phav.

13. ἐμπόδιον] ἐμπόδιν O. 14. „ἀπὸ] ἐπὶ τῶν Rb." τῶν] τοῦ τῶν B. 15. ἐώντων RaGBO. ἐόντων CDPF. ἕτερον] ἑτέρως coni. Hemsterhusius. 16. „εἰς ἐν ποσὶ Ra." Αἰσχύλος] imo Euripides Phoeniss. 718. P. Monuit Abreschius ad

ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων,

ἤγουν ἅτινά εἰσι προκείμενα. καὶ Ἡρόδοτος ἐν τῇ πρώτῃ· κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον.

Ἐξαμβλῶσαι καὶ ἄμβλωμα καὶ ἀμβλίσκειν καὶ ἀμβλωθρίδιον, οὐκ ἐκτρῶσαι οὐδ' ἔκτρωμα οὐδ' ἐκτιτρώσκειν.

Ἐμβριθὴς ἐπὶ ἀνθρώπου, οὐ σταθερὸς οὐδ' εὐσταθής· καὶ ἐμβρίθεια καὶ ἐμβριθὲς, οὐκ εὐστάθεια οὐδ' εὐσταθές. σταθερὸς δὲ ἥλιος καὶ σταθερὰ μεσημβρία. Φιλόστρατος· ἐμβριθὴς δὲ καὶ τὸ ἦθος γενόμενος.

Ἐφόδια τὰ ἐπὶ τῆς ὁδοῦ ἀναλώματα· καὶ ἐπιτήδεια τὰ ἁπλῶς ἀναλώματα. καὶ ἐφόδιον δὲ ἑνικῶς, οὐ μὴν καὶ ἐπιτήδειον. ἔστι δὲ ἐφόδιον καὶ ἡ ὡσανεὶ πάροδος καὶ ἀφορμή. Ἀριστείδης· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας. Λιβάνιος ἐν μελέτῃ τῇ Δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου· τὸ Ποσειδῶνος εἶναι παῖς ἐφόδιον εἰς τὸ ἀδικεῖν ἔχων.

Aesch. Sept. v. 37., sed huic ipsi fabulae post v. 41. posse inseri Butlerus hariolatur. 3. εἰσὶ προκείμενα ALLRRGB. προκείμενά εἰσι Edd. καὶ LLRRGCDPO. om. BF. 4. πρώτῃ] cap. 80. κτείνει Rb. ἅπαντα La. γενόμενον Herodoti libri plerique.

6. ἀμβλήσκειν Ra. 7. ἐκτρώσαι B.

8. οὐδ' hic et l. 9. ALLRRGBO, οὐδὲ CDPF. 9. ἐμβριθής B. 10. δὲ ὁ ἥλιος La. σταθερὰ] σταθερὸς G. μεσημβρίᾳ D. μεσυμβρία B. Φιλόστρατος] vit. soph. II, 14. p. 595.

11. ἤθος D.

13. καὶ ἀφόδιον — ἐπιτήδειον ALLRRGBCDPO. om. F. δὲ om. G. ἐνικῶς CD. οὐ μὴν ἐπιτήδειον affertur ex RR.

15. Ἀριστείδης] vol. I, p. 175. (I, 162. Df.) Eodem testimonio usus supra est p. 108, 11. et infra voc. Μεγαλοψυχία. 16. Λιβάνιος] vol. I, p. 549. d. (IV, p. 411, 17. R.) Ποσειδῶνι Ἄρης coni. Oudendorpius, ut alibi. 17. Ἁλιρροθόου Rb. ἀλιρροθίου CDP. ἀλλιρροθίου B. 18. εἰς] πρὸς Libanius.

Ἐπῳδή, οὐκ ἐπαοιδή· καὶ ἐπῳδός, οὐκ ἐπαοιδός.

Τὸ ἔξω καὶ ἐπὶ στάσεως καὶ ἐπὶ κινήσεως, οἷον ἔξω διατρίβει, καὶ ἐξῆλθεν ἔξω. τὸ δὲ ἐκτὸς ἐπὶ κινήσεως ἀεί. Ἀριστοφάνης ἐν βατράχοις·

ἐκτὸς οἴσει τῶν ἐλαῶν.

Σοφοκλῆς·

σὺ δ' ἐκτὸς ἦξας πρὸς τί;

εὕρηται δὲ καὶ ἅπαξ ἐπὶ στάσεως παρὰ Πλάτωνι, οἷον καὶ ὅσα ἐκτός ἐστιν. ἔστι δὲ τὸ ἐκτὸς καὶ ἀντὶ τοῦ χωρίς. Λουκιανὸς ἐν τῷ βίων πράσεις· ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἐκεῖνον. ὡσαύτως καὶ τὸ ἔξω. Θουκυδίδης· ἔξω τῶν βασιλέων καὶ τῶν μάλιστα ἐν τέλει.

Εἴσω καὶ ἐπὶ κινήσεως καὶ ἐπὶ στάσεως. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· εἴσω παρελθόντες, ὅπερ ἐστὶν ἐπὶ κινήσεως. ὁ αὐτὸς ἔν τινι τῶν ἱερῶν· ἔτυχον μὲν [εἰς τὸ] εἴσω τετραμμένος, ὅπερ ἐστὶ καὶ αὐτὸ ἐπὶ κινήσεως. καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ Παναθηναϊκῷ ἐπὶ στάσεως· πᾶσα δὲ εἴσω Γα-

---

2. Τὸ LLRaGBCDPO. om. F. 4. βατράχοις] v. 995. 5. ἐλαών P. ἐλάων B. ἐλαιῶν ALb. 6. Σοφοκλῆς] v. 1402. 7. ἦξας O. ἧξας GB. ἥξας CDPF. πρὸς τὶ G. προστί B. 9. ἔστι δὲ — ἐν τέλει (l. 13.) hic om. GB, ponunt autem in fine proximae notationis post ἀπολαβόντες. 10. ἐν τῷ βίων πράσεις] vid. ad p. 37, 7. ἐν βίων πράσει RRGB. Est autem ἐν τῷ ἁλιεὺς ἢ ἀναβιοῦντες §. 6, vol. I, p. 576. 11. θάμαριν B. ἐκεῖνον om. Lucianus, sed addit ἢ τὸν Εὔρυτον (ut ipse Thomas voc. Χωρίς), quae reddenda Thomae Oudendorpius censet. 12. Θουκυδίδης] I, cap. 10.

15. ἐπιστολῇ] vol. II, p. 290. (I, 763. Df.) 16. ὅπερ ἐστὶ κινήσεως om. Ra. ἐπὶ A. om. GBEdd. τινι] h. e. δευτέρῳ. Est enim vol. I, p. 528. (I, 475. Df.) 17. εἰς τὸ Ra, Aristides. om. GBEdd. 18. κινίσεως C. 19. Παναθηναϊκῷ] imo μονῳδίᾳ ἐπὶ Σμύρνῃ, vol. I, p. 458. (I, 426. 427. Df.) εἴσω] ἐς εἴσω Ra.

δείρων τε καὶ ἔξω Γαδείρων θάλασσα. καὶ Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· οὐδεὶς ἂν οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Οἷα τετόλμηται· καὶ ἦν εἴσω θυρῶν. ὥστε οὐ καλῶς λέγει Φρύνιχος ἀπαγορεύων τοῦτο μὴ εἶναι ἐπὶ στάσεως παρὰ τοῖς παλαιοῖς. τὸ δὲ ἐντὸς καὶ ἔνδον ἀεὶ ἐπὶ στάσεως. Θουκυδίδης ἐν [τῇ] πρώτῃ· ἐντὸς αὐτὸν ἀπολαβόντες.

Εὐαγγελίζομαι οἱ πάντες δοτικῇ· ἅπαξ δέ που καὶ αἰτιατικῇ συντασσόμενον εὕρηται, ὡς παρὰ Χαρικλείᾳ καὶ ἐν τῇ θείᾳ γραφῇ. σὺ δὲ δοτικῇ ἀεὶ σύντασσε.

Ἕλξαι κάλλιον ἢ ἑλκύσαι, καὶ ἕλξω ἢ ἑλκύσω. Δημοσθένης ἐν τῷ περὶ τῶν ἐν Χερρονήσῳ· οὐ καθέλξετε τὰς ναῦς.

Εὕρημα, οὐχ εὕρεμα. Εὐριπίδης ἐν Ἑκάβῃ·

πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ
θανεῖν.

Φιλόστρατος· οἷον οὔπω ἔγνωκα τῶν ἐμαυτοῦ καιρῶν εὕρημα.

Ἐξεί-

---

1. τε καὶ — Γαδείρων om. G. 2. Δημοσθένης] de cor. p. 327. ὑπὲρ τοῦ B. ὑπὲρ LaRRG. περὶ Edd. cf. p. 43, 11. ἂν om. Demosth. 3. Πυλῶν] πυλλῶν B. 4. ἐν ἐπιστολῇ τῇ om. RaOx (habet Rb.) Est ep. 551. p. 268. 5. Φρύνιχος] p. 127. 6. τοῦτο „om. uterque MS." (RR puto.) 8. τῇ omittebatur. Thuc. I, cap. 134. haec habet: ἔνδον ὄντα τηρήσαντες αὐτὸν καὶ ἀπολαβόντες εἴσω. ἀπολαβόντες] ἀπολαύοντες Ra.

10. Χαρικλείᾳ „MSS" (OUD.), MS. Nunnesii ad Phryn. p. 268., GB, Phavor. p. 322. c., FO, hae quidem ex Leopardi Emend. IV, 1. p. 65. 66. Χαρικλείδῃ CDP.

13. ἐν — Χερρονήσῳ ALLRRGBO. om. CDPF. Χερονήσῳ B. Est p. 108. τὰς om. Ox.

15. Ἑκάβῃ] v. 248. Pors. 18. Φιλόστρατος] vit. soph. II, 32. p. 626., ubi legitur: (ἄνδρα.) οἷον οὔπω ἔγνωκα τὸν ἐμαυτοῦ καιρὸν. εὕρηκα: sed τῶν — καιρῶν ex Thoma et cod. Schenkiano reponendum est necessario. οὔπω ἔγνωκα] οὔ πω εὕρηκα La.

Ἐξείλοχεν, οὐκ ἐκλέλοχε.

Καὶ ἔνιπτε καὶ ἔνιζεν.

Οὐδεὶς τῶν δοκίμων ἐξεπιπολῆς εἶπεν, ἀλλὰ πάντες χωρὶς τῆς ἐξ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· ἐπειδή σοι διὰ βραχέων καὶ ἐπιπολῆς ἀπεκρινάμην. Θουκυδίδης ἐν τῇ ἕκτῃ· διὰ τὸ ἐπιπολῆς τοῦ ἄλλου εἶναι.

Καὶ ἐπιστολὴ καὶ ἐπιστολαὶ πληθυντικῶς ῥητορικόν· ἐπιστόλιον δὲ μόνοι οἱ σύρφακες.

Ἐπίτηδες καὶ ἐξεπίτηδες.

Ἐξαναχωρῶ καὶ τὸ ἐκφέρομαι καὶ τὸ παραβαίνω. Θουκυδίδης· ἐξανεχώρει τὰ εἰρημένα, ἤτοι παρέβαινεν.

Ἐπίμαχον στράτευμα τὸ ἐπιτήδειον μάχεσθαι· ἐπίμαχον δὲ χωρίον ἐφ' ᾧ δύναταί τις μάχην ἐπενεγκεῖν. Θουκυδίδης· ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον.

---

1. *Ἐξείλοχεν*] *ἐξέλοχεν* Ox. *ἐξείληχεν* Graevius profert ad Lucian. Soloec. §. 7. vol. III, p. 573. Rtz. *οὐκ*] *καὶ* Ox. *ἐκλέλοχε*] *ἐκλέλογχεν* Graevius.

2. Om. Lb. *Καὶ ἔνιπτε* ALaRRG. *καὶ ἔνιττε* B. *καὶ ἔνιπτεν* CDP. *ἔνιπτε* Ox. *ἔνιπτεν* FO. *καὶ ἔνιζεν* ALaRRGBOx. *οὐκ ἔνιζεν* Edd. Ab codicum parte etiam Buttmannus stat Gr. Gr. vol. II, p. 193.

3. *Ἐξεπιπολῆς οὐδεὶς τῶν δοκίμων* B. *ἐξεπιπολῆς* GBCDP. *ἐξ ἐπιπολῆς* FO. *πάντες* om. B. 4. *Αἰγυπτίῳ*] init. vol. III, p. 552. (II, 437. Df.) 5. *διαβρέχεων* B. *ἐπιπολῆς*] *ἐπὶ πολλῆς* Rb. *ἐπιστολῆς* Ra. 6. *τῇ* om. GB. *ἕκτῃ*] cap. 96. *ἐπιπολῆς*] *ἐπὶ πολλῆς* Rb. *ἐπιστολῆς* Ra. *ἄλλου* B.

8. *Καὶ* ab initio om. B.

10. Om. B. *καὶ*] *οὐκ* Ox. „*sed alibi repetitur, ubi deest οὐκ.*“ *NORM.*

11. *ἐκτρέπομαι* coni. Kusterus ad Suid. vol. I, p. 761., probat Sallierus. *Θουκυδίδης*] IV, cap. 28. 12. *ἤτοι παρέβαινε* B.

15. *ἐφ' ᾧ*] *ἐφ' ὃ* A. *δύναμαί τις* P. 16. *Θουκυδίδης· ἐκ τῆς γῆς*] *Θουκυδίδης ἐν τῇ γ'* G. Est autem IV, cap. 31.

Ἐπέχω τὸ κωλύω, καὶ τὸ ἐπί τινι ἔχω καὶ ἐφίστημι. Λουκιανὸς ἐν τῷ τοῦ Ἀλεξάνδρου βίῳ· ἀλλ' ἀεὶ τοῖς μεγίστοις ἐπέχειν τὸν νοῦν. καὶ ἐπίστασις ὄνομα ἐπὶ τοῦ αὐτοῦ.

Καὶ ἐπὰν καὶ ἐπειδάν· εὕρηται δὲ ἐπὶ πλέον τὸ ἐπειδάν. Πλάτων ἐν [τῇ] δευτέρᾳ τῶν πολιτειῶν· ἐπὰν ἀνανεώσωμαι τὸν Θρασυμάχου λόγον.

Εἰ καὶ παρά τισι τῶν ποιητῶν καὶ τῶν ῥητόρων εὕρηται τὸ συντυγχάνω ἀντὶ τοῦ ἐντυγχάνω, ἀλλὰ σὺ ἐντυγχάνω λέγε ὡς κρεῖττον. τὸ γὰρ συντυγχάνω ἀντὶ τοῦ κατὰ τύχην συμβαίνω κυρίως εὑρίσκεται. Θουκυδίδης· οὕτω που ξυντυχόν.

Καὶ ἐφόρμισις καὶ ἔφορμος, ὡς ὁ αὐτός· τόν τε ἔφορμον οὐκ εἶχον χωρίων ἀλιμένων ὄντων. καὶ ἐφορμῶ ῥῆμα. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· καὶ τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμεῖν.

---

1. Ἐπέχο P. ἐφίστημι] ἐφίσταμαι Rb. 2. βίῳ] §. 4. vol. II, p. 212. ἀλλ' ἀεὶ] ἀλλὰ εἰ B. 3. ἐπέχειν ALLGBO. ἐπέχει CDPF.

5. Ἐπὰν καὶ ἐπειδὰν εὕρηται · ἐπὶ πλέον δὲ τὸ ἐπειδάν. B Edd. Καὶ ἐπὰν καὶ ἐπειδὰν . εὕρηται δὲ πλέον τὸ ἐπειδάν. G. Utrumque conciliavimus. 6. Scribebatur ἐν τῷ δευτέρῳ. Est p. 358. b. ἐπὰν] καὶ ἐπὰν La, quod fortasse pertinet ad l. 5. ἐπὰν ἀνανεώσωμαι] ἐπανανεώσομαι Plato. ἐπὰν ἀνανεώσομαι Rb, Platonis unus Vaticanus. ἐπὰν ἀνανεῶσομαι B. 7. τὸν] τὸ P. Θρασύμαχον Rb.

8. Εἰ καὶ τὸ τυγχάνω (ειν) ἀντὶ τοῦ ἐντυγχάνω εὕρηται παρά — ῥητόρων, ἀλλὰ B. 9. ἀλλὰ σὺ — κρεῖττον] ἐντυγχάνω λέγε σύ. A. 11. Θουκυδίδης] reperiri non potuit. 12. ξυντυχόν ALaGBO. ξύντυχον Ra. ξυντυχών CDP. ξυντυχῶν F.

13. Καὶ om. BF, habent „MSS." (Ol. D.) GCDPO. ἐφόρμισις ALaGBC. ἐφόρμοσις Ra. ἐφόρμησις DPFO. ὁ αὐτὸς „MSS" (Ol. D.) GBCDPO. Θουκυδίδης F. Lib. IV, c. 27. sic scriptum: τόν τε ἔφορμον χωρίων ἀλιμένων ὄντων οὐκ ἐσόμενον.

15. ὁ αὐτὸς AGB. ὡς ὁ αὐτὸς Edd. ἕκτῃ RaDPO. ἕκτῃ C. ἐκτῇ F. Est cap. 90. 16. ἐφορμεῖν] ἐφορμαῖς Thucydides.

Ἐς νέωτα Ἀττικὸν, καὶ ἐσέπειτα· ἐς τοὐπιὸν δὲ κοινόν.

Ἑρμηνέας, βασιλέας, ἱερέας καὶ ὅσα τοιαῦτα, Ἀττικοί· τὸ δὲ συνῃρημένως ταῦτα λέγειν οὐκ ἔστιν ἐκείνων.

Ἐπίκλητος ὁ προσκληθεὶς παρά τινος. Θουκυδίδης· οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες.

Ἐπιστρέφω ἐγὼ, ὡς Πλάτων [ἐν τῷ Ἀξίοχος ἢ περὶ θανάτου·] ἐπιστραφεὶς δὲ Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου. καὶ ἐπιστρέφω ἕτερον, οἷον τὸ τὰς ἁπάντων ὄψεις εἰς ἑαυτὸν ἐπιστρέψας.

Ἔρρει, ἔπλει, ἔθει καὶ ἔχει, οὐκ ἔχεεν οὐδ' ἔθεεν οὐδ' ἔπλεεν οὐδ' ἔρρεεν οὐδ' ὅσα τοιαῦτα.

Ἐωσάμην καὶ ἀπεωσάμην καὶ διεωσάμην· τὸ δὲ χωρὶς τοῦ ε λέγειν ταῦτα ἀναττικόν.

Ἕως, οὐκ ἠώς. Θουκυδίδης· ἅμα ἕῳ.

Ἐπίθημα, οὐκ ἐπίθεμα.

Ἔφθακα πάντες. Συνέσιος ἐν ἐπιστολῇ· ἐφθάκεις γὰρ ἄρα πυθόμενος. τὸ δὲ πέφθακα βάρβαρον. ὥσπερ

---

1. Εὐνέωτα B. ἐς τοὐπιὸν] ἐσ που 'ποιὸν B.

2. Ἑρμηνέας P. ἱερέας DP. om. B. 3. ἔστιν om. B.

4. προκληθεὶς Ra. Θουκυδίδης] IV, cap. 61. οἵ τ'] οἷον P.

6. Ἐπιστρέφω ALaRRGB. ἐπιστρέφομαι Edd., Phav. p. 301. a. ὡς — θανάτου om. GB. ἐν τῷ — θανάτου om. LL, Phav. ἢ FO. καὶ CDP. Verba Platonis p. 364. a. haec sunt: ὡς δὲ ἐπιστραφεὶς περιεσκόπουν ὁπόθεν εἴη, Κλεινίαν ὁρῶ τὸν Ἀξιόχου, ubi olim edebatur περιστραφείς. 7. ἐπιστραφεῖς P. Κλεινίαν ALaRRGBO. Κλινείαν Lb. Κλινίαν CDPF.

8. οἷον ALLRbGBO, Phav. om. RaCDPF.

10. ἔθει, ἔπλει B. οὐδ' ἔθεεν οὐδ' ἔπλεεν LaG. οὐδὲ ἔθεεν οὐδὲ ἔπλεεν Edd. et B in marg. 11. οὐδ' ἔρρεεν LLRRG. οὐδερρεεν B. οὐδὲ ἔρεεν C. οὐδὲ ἔρρεεν DPFO.

13. ἀνάττικον GBEdd. usquequaque.

14. Continuat B. Θουκυδίδης] IV, cap. 32., ubi est: ἅμα δὲ ἕῳ γιγνομένῃ. ἕῳ] ἕω P. Scribebatur ἕω.

15. Continuat B. prioribus.

16. Συνέσιος] ep. 93. p. 232. c. ἐν ἐπιστολῇ om. Ox.

γὰρ οὐ πέφθαρκα λέγομεν, ἀλλ' ἔφθαρκα, οὕτω καὶ ἔφθακα, [μὴ δυναμένων ποτὲ δύο δασέων ἀναδιπλασιασμῷ συνελθεῖν.]

Οὐ μόνον ἐνδέχεται ἀντὶ τοῦ ἐνδεχόμενόν ἐστιν, ἀλλὰ καὶ ἀντὶ τοῦ εὐμενῶς δέχεται. Θουκυδίδης· γνόντες νῦν μᾶλλον ἂν ἐνδεξαμένους. καὶ ἀντὶ τοῦ ἁπλῶς δέχεται. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται.

Καὶ ἐπιλείπει μοι τόδε καὶ ἐπιλείπει με τόδε. Συνέσιος ἐν ἐπιστολῇ· οὐκ ἐπιλείψουσι τῷ θεῷ στρατιῶται. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· ἡ δὲ τόλμα ἤδη αὐτοὺς ἄρχεται ἐπιλείπειν. καὶ Λιβάνιος ἐν μελέτῃ τῇ περὶ τῆς λάλου· δέος μὴ τὰ φρύγανα τοὺς ἀρτοποιοὺς ἐπιλίπῃ.

Ἐνθύμιον ἡ ἐνθύμησις, ἐνθυμία δὲ ἡ ὑπόμνησις. Θουκυδίδης· εἰς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι

---

1. πέφθαρκα] πεπθαρκα B. 2. μὴ — συνελθεῖν BEdd. om. ALLG.

4. Ἐνδέχεται οὐ μόνον B. ἐστιν om. G. 5. Θουκυδίδης] V, cap. 15. γνῶντες Ra. 6. ἐνδεξαμένοις B. ἐνδεξομένους Thucydides. 7. ἐν τῇ τρίτῃ ALaRRGB. om. Edd. Est autem lib. IV, cap. 10. 8. „ἐνδεχόμενοι κινδ. ταχ. A." 9. προδεῖται B.

10. Καὶ ἐπιλείπει LaGBCDP. καὶ om. FO. Invertunt GB: Κ. ἐ. με τόδε κ. ἐ. μοι τόδε. 11. ἐπιστολῇ] 5. p. 170. b. 12. Αἰσχίνης] p. 4. St. (51. Rsk.) 13. ἄρχετε B. Λιβάνιος] vol. I, p. 305. a. (IV, p. 139, 23. R.) 14. ἐν — λάλου] ἐν τῇ τῆς λάλου μελέτῃ B. 15. ἀρτοκόπους Libanius, cuius tamen cod. Guelferbytano convenit cum Thoma. ἀρτοπόπους coni. Oudendorpius. Cf. ad p. 4, 7. ἐπιλίπῃ] ἐπιλείπῃ LaGB.

16. Ἐνθέμιων (o) ἡ ἐνθυμισις B. Θουκυδίδης] V, cap. 16. 17. εἰς] ἐς Thuc. 18. ἀεὶ — Λακεδαιμονίοις (p. 117, 2.) om. Ra. ὁπότε τι] ὁπότέ τι F. ὁπότέ τι LLRbGBO.

π τ α ί σ ε ι α ν· τουτέστι προέτεινον Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις τοῦτον καὶ ὑπεμίμνησκον, ὅτι δι' αὐτὸν ἔπταισαν.

Ἔρημος χώρα, ἐρήμη δὲ δίκη· ἐρήμη δὲ χώρα παρὰ ποιηταῖς.

Εἰς γειτόνων βαδίζω, ἐν γειτόνων εἰμί. ἀεὶ γὰρ ἡ ἐν πρόθεσις στάσιν δηλοῖ, ἡ δὲ εἰς κίνησιν, οἷον ἔρχομαι, βαδίζω, πορεύομαι, καταφεύγω καὶ ὅσα τοιαῦτα.

Ἔμπνους ἄνθρωπος ὁ ζῶν καὶ πνοὴν ἔχων, καὶ ἔμπνους αὐλὸς ὁ ἐμπνεόμενος καὶ φυσώμενος. ἔστι δὲ τριγενές.

Μὴ εἴπῃς ἑκοντὴς, ἀλλ' ἐθελοντὴς, ὡς πάντες οἱ δοκιμώτατοι. ἐπὶ δὲ τοῦ ἐπιρρήματος καὶ ἀμφότερα λέγε· καὶ ἐθελοντὶ γὰρ καὶ ἑκοντὶ ῥητορικά. Ἀριστείδης· ἐ π ό ν τ α ἐ π ι γ ρ ά μ μ α τ α ἑ κ ο ν τ ὶ ἐ ξ ε κ ό λ α π τ ο ν. καὶ ἐθελοντὴς πρὸς τὸν ἀγῶνα χωρεῖ λέγε, μὴ ἐθελουσίως.

Ἔσται καὶ ἔσεται· ἐσεῖται δὲ ποιητικόν.

Ἐκβάλλει καὶ ἐκδίδωσιν ὁ ποταμὸς εἰς τὴν θάλατταν καὶ

---

1. οἱ Ἀθηναῖοι Lb. 2. τοῦτον] τοῦτο Ra. δ' ἑαυτόν P. 3. ἔπτασαν B.

4. Ἔρημος et ἐρήμη P. ἐρήμη δὲ δίκη] ἐρήμη δίκη Lb. καὶ ἐρήμη δίκη Ox. ἐρήμη δὲ χώρα π. ποιηταῖς om. Rb.

6. Εἰς CDP. ἐς GBFO. εἶμι (εἰμι) G.

10. ἐμπνεόμενος LLRRGBCDPO. ἐμπνούμενος F. φυσώμενος LLRbO. φυσσώμενος RaGBCDPF.

12. Ἑοντὴς μὴ εἴπῃς B. 13. εἴπῃ D. καὶ ἀμφότερα] καὶ om. Ox. 14. Ἀριστείδης] vol. III, p. 503. (II, 392. Df.)

15. ἐπόντα om. La. ἑκοντὶ et ἐξεκόλαπ τ ο ν] Utrumque in Barocciano, ἑκόντα in Oxoniensi Aristidis, ubi illud nunc deletum, pro hoc (quod habent Thomae „A cum ceteris MSS“ GBCDPF) ἐξεκόλαπ τ ε ν (receptum in O) editum est. ἐξεκόλλαπτον B.

16. χωρεῖν B.

19. Ἐμβάλλει B. ἐκδίδωσι DP. τὴν om. B. θάλασσαν LLGB.

ἐξίησιν, οὐκ εἰσβάλλει οὐδὲ εἰσδίδωσιν οὐδὲ εἰσίησιν. ὡσαύτως καὶ ἐκβολή, οὐκ εἰσβολή. Ἀριστείδης ἐν τῷ Σμυρναϊκῷ πολιτικῷ· πρὸς δὲ ταῖς ἐκβολαῖς ἥκιστα βέβρυχε. καὶ Θουκυδίδης· ἡ Βόλβη λίμνη ἐξίησιν εἰς θάλασσαν.

Ἐσβαίνω εἰς τὴν ναῦν καὶ ἐμβαίνω εἰς τὴν ναῦν· ἀμφότερα γὰρ Θουκυδίδης λέγει. ἐμβαίνω δὲ νὴ ἀναττικόν.

Εὐπατρίδης καὶ εὖ γεγονώς· τὸ δὲ εὖ γεγὼς ποιητικόν. ἐκάλουν δὲ εὐπατρίδας τοὺς εὐγενεῖς, ὡς αὐτόχθονας· τοῦτο γὰρ πολλοῦ τινος ἄξιον ἔκριναν.

Ἐλάω, ἐλῶ ἀντὶ τοῦ ἐλαύνω Ἕλληνες λέγουσιν, οἱ δὲ Ἀττικοὶ ἀντὶ τοῦ ἐλάσω. Ἀριστοφάνης ἐν νεφέλαις·

ἀλλ' ἐξελῶ σ' [ἐς κόρακας] ἐκ τῆς οἰκίας.

Ἡρόδοτος ἐν τῇ πρώτῃ· οὐ τὸ ὀπίσω φεύξονται, ἀλλ' ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσιν. ἑπόμενος οὖν

---

1. οὐκ] οὐδὲ B. οὐδὲ εἰσδίδωσιν „MSS" (OUD.) GBCDPO. οὐδ' εἰσδίδωσιν F. 2. οὐκ εἰσβολήν B. Ἀριστείδης] vol. I, p. 407. (I, 377. Df.) 4. βέβρυχε μὲν ἥκιστα Aristides. βέβρεχε B. Θουκυδίδης] IV, cap. 103. init. ἡ] ἢ P. (ἡ) ἡ Thuc. 5. εἰς] ἐς Thuc.

7. Θουκυδίδης] vid. c. c. III, 30. IV, 25. ἀναττικόν] vid. ad p. 115, 13.

9. γεγώς D. γεγῶς P. 10. αὐτόχτονας F. 11. τοῦτο — ἔκριναν om. Phav. p. 328. c. πολλοῦ τινος ἄξιον] πολλὰ ἄξιον B, sed in marg. οὐ τινος. ἔκριναν „MSS" (OUD.) RbGCD PO. ἔκρινον RaB. om. F.

12. ἐλῶ ALLRRGB, Phav. p. 253. c. καὶ ἐλῶ Edd. Ἕλληνες — ἐλάσω om. Ra. λέγουσι FO. οἱ δὲ Ἀττικοὶ ἐλῶ ἀντὶ τοῦ ἐλάσω coni. Dawesius Misc. Crit. p. 124. Kidd. 13. νεφέλαις] v. 123. 14. ἐξελῶ οὐκ τῆς οἰκίας B. ἐς κόρακας accessit ex solo Ox. ἐκ τῆς οἰκίας om. Ox. 16. πρώτῃ] cap. 207. 17. ἐπ'] ἀπ' B. ἀρχάς D. ἀνχάς P. ἐλῶσι Herodotus.

Ἀττικοῖς μηδὲ ἐλάσω εἴπῃς ἢ ἐξελάσω, ἀλλ᾽ ἀντὶ τούτων ἐλῶ καὶ ἐξελῶ, ὡς εἴρηται· ὥσπερ καὶ ὀλῶ ἀντὶ τοῦ ὀλέσω, ὡς ὁ αὐτὸς Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀπό σ᾽ ὀλῶ κακὸν κακῶς.

καὶ καλῶ ἀντὶ τοῦ καλέσω.

Ἐξεῖλε τοῦτον αἰτίας κάλλιον λέγειν ἢ ἐξέβαλεν. εἷλε τὴν πόλιν καὶ ἐξεῖλε καὶ ἐξαιρεῖ καὶ ἐπόρθησε καὶ παρεστήσατο. μαρτυρία τοῦ ἐξαιρεῖ παρὰ Δημοσθένει· ἀλλὰ καὶ νῦν ἐξαιρεῖ πολλὰ τῶν φρουρίων. καὶ τοῦ ἐξεῖλε παρὰ Θουκυδίδῃ· Σκιωναίους ἐξελεῖν καὶ ἀποκτεῖναι. οὐ μόνον γὰρ ἐπὶ πόλεων λαμβάνεται τὸ ἐξεῖλεν, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων. ὡσαύτως καὶ τὸ παρεστήσατο καὶ ἐπὶ γνώμης λαμβάνεται, οἷον παρεστήσατο τοῦδε τὴν γνώμην. τὸ δὲ εἷλεν ἐπὶ πόλεως ἀεὶ καὶ χωρίων· οὕτω γὰρ Θουκυδίδης χρῆται. ἐξεῖλε τῷ δεῖνι γέρας καὶ ἐξῄρει. Θουκυδίδης· Δημοσθένει ἐξῃρέθησαν τριακόσιαι πανοπλίαι. καὶ Ἀριστείδης ἐν τῷ εἰς Δία· τὰς ἀκροπόλεις ἐξεῖλον Διί. καὶ ἐξαίρω τὸ ὑπερβάλλω. ὁ αὐτὸς ἐν τῷ Ῥοδίοις περὶ ὁμονοίας· ἐξαίρει πᾶσαν ἀνθρώπων ἄνοιαν.

Ἐπίτιμος καὶ ὁ ἐκτιμώμενος ὑπό τινος, οἷον ἐπίτιμος ἀγρὸς

---

1. μηδὲ] μὴ B. Scribebatur μὴ δέ. εἴπῃς ALaGB, Phav. εἴποις Edd. 3. ὁ αὐτὸς om. B. Ἀριστοφάνης ALaRRGB. ποιητὴς Edd. Πλούτῳ] v. 65.

6. τοῦτον B. 8. Δημοσθένει] Philippicis puto. 9. καὶ νῦν] καὶ om. Ra. 10. Θουκυδίδῃ] IV, cap. 122. 11. καὶ] τε καὶ Thuc., in cuius uno Paris. item omissum τε. 14. τοῦ δέ B. τὸ δέ D. τὸ τι P. 16. ἐξῆλε B, novam §. inchoans. ἐξῄρει] Legebatur ἐξῆρε. Θουκυδίδης] III, cap. 114. 17. Δημοσθένης LaB. 18. Ἀριστείδης] vol. I, p. 11. (I, 7. Df.) 20. ὁ αὐτὸς B. Edebatur Ἀριστείδης. Ῥοδίοις περὶ ὁμονοίας ALaRR. περὶ ὁμονοίας Ῥοδίοις GO. περὶ ὁμονοίας · Ῥοδίοις CDPF. Ῥοδίοις om. B. Est vol. II. p. 382. (I, 829. Df.)

ἡ οὐσία, ὡς Θουκυδίδης· ἐπιτίμους τὰς οὐσίας ἐποίουν· καὶ ἐπίτιμος ὁ ἐπὶ τιμῆς καὶ ἀξιώματος. ὁ αὐτός· μὴ ὄντες ἐπίτιμοι νεωτερίσωσιν. εὕρηται δὲ καὶ ἔντιμος. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· καὶ μάλ' ἔντιμα καὶ λαμπρά. καὶ ἐπιτιμῶ καὶ τὸ μέμφομαι καὶ τὸ δοξάζω καὶ τὸ τιμωρίαν ἐπιτίθημι. Ἡρόδοτος ἐν τῇ τετάρτῃ· ἀνεσκολόπισε τὴν ἀρχαίην δίκην ἐπιτιμῶν. ὡσαύτως καὶ ἐπιτιμῶμαι καὶ ἐπὶ τῶν τριῶν.

Ἔγωγε καὶ ἐγώ τοι κάλλιον ἢ ἐγώ.

Ἐλάα καὶ ἐπὶ τοῦ καρποῦ καὶ ἐπὶ τοῦ δένδρου κρεῖττον ἢ ἐλαία. Ἀριστοφάνης ἐν βατράχοις·

ἐκτὸς οἴσει τῶν ἐλαῶν.

Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· κύκλῳ μὲν τειχίον περιῆν, ἐλάας δὲ οὐκ ὀλίγας εἶχε. καὶ Ἀριστείδης· τῶν ἐλαῶν εἵνεκα τῆς συλλογῆς.

Ἔχθιστος, οὐκ ἐχθρότατος.

---

1. Θουκυδίδης] ἐν πρώτῃ add. Ra. Ex lib. V, c. 34. (puto e verbis ἤδη καὶ ἀρχάς τινας ἔχοντας ἀτίμους ἐποίησαν) sumpta esse vidit Dukerus Praef. ad Thuc. (ap. Popp. P. II, vol. I, p. 92.)
2. τιμῆς] ὢν add. Ra. καὶ om. B. ἀξιώνατος D. 3. ὁ αὐτὸς] loco allato, ubi post μὴ interiecta quaedam. 4. Ἀριστείδης] vol. I, p. 602. (I, 524. Df.) 5. μάλ'] μελλ' B.
6. καὶ τὸ δοξάζω AE π. ῥ. καὶ δοξάζω LaRbGBP. τὸ δοξάζω CD FO. 7. τετάρτῃ] Edebatur δ. 8. ἀρχαίην Rb, Herodotus. ἀρχαίαν GBEdd.

10. Ἔγωγε] ἔγωγέ τοι B.

11. Ἐλάα καὶ] καὶ om. B. τοῦ δένδρου] τοῦ om. P. Ἐλάα, ἐπὶ τοῦ καρποῦ· ἐπὶ δὲ τοῦ δένδρου κρεῖττον ἡ ἐλαία coni. Stoeberus. 12. βατράχοις] v. 995., iam p. 111, 5. allato.
13. ἐλαιῶν ALb, ut supra. 14. ἑβδόμῃ] cap. 81. τοιχίον B. 15. περιῆν] addit quaedam Thucydides. ἐλάας] ἐλαίας Thucyd. ante Bekkerum. εἶχε] δὲ εἶχε B. Ἀριστείδης] vol. III. p. 512. (II, 400. Df.) 16. ἕνεκα Aristides.

Ἐνετειλάμην μὴ εἴπῃς, ἐπετειλάμην δέ· καὶ ἐπέστειλα παρὰ Θουκυδίδῃ· κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους. καὶ, πάντα ἐπιστείλαντες ἀπέπεμψαν. καὶ Δημοσθένης δὲ καὶ οἱ ἄλλοι καὶ ἐπέσκηψα λέγουσι καὶ ἐπέστειλα. καὶ ἐπιτολὴ ἀντὶ τοῦ προσταγή· ὃ δὴ καὶ ἐπιστολὴ παρ᾽ Αἰσχύλῳ διὰ τὸ μέτρον ἐν Προμηθεῖ·

ἐπιστολάς,
ἅς σοι πατὴρ ἐφεῖτο.

ἐπισκῆψαι μὲν γὰρ τὸ αὐτοπροσώπως προστάξαι· ἐπιστεῖλαι δὲ οὐ μόνον τὸ διὰ γραμμάτων, ἀλλὰ καὶ τὸ αὐτοπροσώπως κελεῦσαι. καὶ ἐπιστολὴ ὡσαύτως.

Ἐρρύπηνα καὶ ἐκάθηρα Ἀττικοὶ, οὐκ ἐρρύπανα οὐδ᾽ ἐκάθαρα.

Ἐπαγωγὸς οὐ μόνον ὁ ἕλκων εἰς εὔνοιαν, ὅπερ καὶ ἀγωγός

---

1. μὴ εἴπῃς (εἴποις Rb) ALLRRGB, Phav. p. 268. a. παρ᾽ οὐδενί Edd. ἐπέστειλα] Interpunctionem, quae erat post hanc vocem, transposui post δὲ. παρὰ Θουκυδίδῃ GBEdd. Θουκυδίδης Ra, Phav. 2. κατὰ τάχος ALLGB. om. Phav. καὶ κατὰ τάχος Edd. καὶ αἱ μὲν νῆες κατὰ τάχος Thucydides. 3. Δημοσθένους] Δημοσθένης Ra. καὶ, πάντα] vulgo coniuncta et prioribus continuata disparat O. Verba sunt eiusdem Thucydidis V, cap. 46. πάντα] πάντως Rb. 4. Δημοσθένης] vid. indic. Reisk. 5. οἱ ἄλλοι GB, Phav. ἄλλοι Edd. καὶ ἐπέσκηψα λέγουσι καὶ ἐπέστειλα LLGB, Phav. καὶ ἐπέστειλα λέγουσι καὶ ἐπέσκηψα Edd. 6. ἐπιτολὴ Phavorinus, Heinsius, Abreschius ad Prometh. v. 3. ἐπιστολὴ GBEdd. ὃ δὴ καὶ ἐπιστολὴ Ra et (supra scripto τ) B, Phav. Heins. Abr. ὃ δὴ καὶ ἐπιτολὴ GBCDPF. Eadem parenthesis notis a proximis seiunxit O, de Oudendorpii coniectura, occupata tamen ab eodem illo Abreschio. 8. ἐπιστολὰς RaO, Phav. ἐπιτολὰς AGBCDPF. 10. μὲν γὰρ om. Rb. (habent RaGBEdd.) γὰρ om. La, in cuius marg. positum κελεῦσαι. 11. αὐτὸ προσώπως BD.

13. Ἐρρύπηνα et ἐκάθηρα scribebatur. καὶ vulgo omissum add. La. ἐρρύπανα GB. ἐρύπανα Edd. οὐδ᾽ GBFO. οὐκ CDP.

λέγεται, ἀλλὰ καὶ ὁ κομιστής. ἐν δὲ τοῖς Θηλυκοῖς ἐπὶ μὲν τοῦ ἕλκειν εἰς εὔνοιαν ἀγωγὸς καὶ ἐπαγωγός, ἐπὶ δὲ τῆς κομιδῆς καὶ φορᾶς ἀγωγὴ [καὶ ἀπαγωγὴ] καὶ ἐπαγωγή. Θουκυδίδης ἐν τῇ τετάρτῃ· οὐδ᾽ οἱ ἔσπλοι ἀσφαλεῖς ἦσαν τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων, ἤγουν τοῦ κομίζειν τὰ ἐπιτήδεια.

Ἑκασταχῇ καὶ ἑκασταχοῦ, ἔτι δὲ καὶ ἑκασταχόσε καὶ ἑκασταχόθεν κάλλιον λέγειν ἢ πανταχῇ, πανταχοῦ, πανταχόσε καὶ πανταχόθεν. τίθεται δὲ τὸ μὲν ἑκασταχόσε ἐπὶ κινήσεως. Ἀριστείδης ἐν τῷ πανηγυρικὸς ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· οὓς ἀπέστειλεν ἑκασταχόσε. τὸ δὲ ἑκασταχῇ καὶ ἑκασταχοῦ ἐπὶ στάσεως.

Οὐ μόνον ἄναντες τὸ ἀνωφερὲς, ἀλλὰ καὶ ἔπαντες. Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἀπὸ τοῦ λόφου ἐπάντους ὄντος.

Εὐθὺ Ἀθηνῶν Ἀττικοὶ, οὐκ ἐπ᾽ εὐθείας.

---

1. *κομιστής*] *διακομιστής* B. *Θυληκοῖς* B. 2. *φορᾶςἀ*, *γωγή* D. *καὶ ἀπαγωγὴ* om. Ra, recte opinor. 4. *τετάρτῃ*] *ἑβδόμῃ* Witterus: est enim VII, cap. 24. *ἔσπλοι* ALaRbGBFO, Thucyd. *ἔπλοι* Ra. *διέπλοι* CDP. *διέκπλοι* Heinsius, Torrenius, Witterus, Kuhnius ad Aelian. VII, 8. p. 485. Gron. 5. *τῆς ἐπαγωγῆς* ALaRRGB, Thuc. *τοῖς ἐπαγωγοῖς* (*ἐπαγώγοις* D.) Edd. 6, *τοῦ κομίζειν* AB. *τοῦ κομίζουσι* La. *τοῖς κομίζουσι* GEdd.

7. *ἔτι δὲ* om. Ra, Phav. p. 244. c. *καὶ ἑκασταχόσε*] *ἑκασταχόσε* B. 8. *ἑκασταχόθεν* GBFO. *ἑκασταχόθε* CDP. 9. *πανταχόθεν* GBFO. *πανταχόθε* CDP. 10. *Ἀριστείδης*] vol. I, p. 414. (I, 384. D.) *πανηγυρικὸς* CDP. *πανηγυρικῷ* BOx.

13. Exc. Guelf.: *Ἔπαντες τὸ ἀνωφερὲς καὶ ἄναντες.* 14. *τῇ* om. LaG. *ἕκτῃ*] *ἑβδόμῃ* Witterus: est enim VII, cap 79. *ἀπὸ* A „*MS. Leid.*" GBO, Thuc. om. CDPF. *ἐπάντους*] *ἐπάντες* Ox. *ἐπαντε* B.

16. *οἱ Ἀττικοὶ* Phavorinus p. 325. c.

Ἔκδημος, οὐκ ἀπόδημος· καὶ ἐκδημῶ δὲ καὶ ἀποδημῶ. Ἀριστοφάνης ἐν βατράχοις·

ποῖ γῆς ἀπεδήμεις;

Ἔποικος καὶ ὁ ἁπλῶς κατοικῶν ἔν τινι πόλει καὶ ὁ ἐξελαθέντος τοῦ πρώην οἰκοῦντος αὐτὸς ἐπελθὼν καὶ οἰκήσας· ἢ καὶ ὥσπερ Θουκυδίδης λέγει· ἐποίκους ἔπεμψαν Ἀθηναῖοι.

Εἰσῆχε κάλλιον ἢ εἰσαγήοχεν, ἀπὸ τοῦ εἰσάγω, εἰσάξω, εἰσῆχα.

Ἐπίκειμαί τινι ἀντὶ τοῦ βαρέως πρός τινα διάκειμαι· καὶ ἐπίκειμαι ἀντὶ τοῦ πλησίον τινὸς κεῖμαι. Ἀριστείδης ἐν τῷ Σμυρναϊκῷ πολιτικῷ· ἐπικείμενα τοῖς λιμέσι τὰ νεώρια.

Ἐπιμέλομαι κάλλιον ἢ ἐπιμελοῦμαι, καὶ μεταμέλομαι ἢ μεταμελοῦμαι.

Ἕρκος, οὐ περίφραγμα· κοινὸν γάρ.

Εὐπρεπὴς καὶ ἀστεῖος τὴν ὄψιν κάλλιον λέγειν ἢ ὡραῖος· τὸ δὲ εὔμορφος κοινόν. Πλάτων μέντοι ἐν νόμοις καὶ Ξενοφῶν εὐμορφίαν λέγουσι· σπανίως δὲ καὶ Ἀριστείδης, ἐν τῷ Αἰγαίῳ· καὶ τῶν ἐν τῇ γῇ πάντων οὗτος

---

1. καὶ ἐκδημῶ (ἐπιδημῶ P) δὲ ALLRaGBO, Phav. p. 246. a. καὶ om. CDPF. δὲ om. Rb, Phav. 2. βατράχοις] v. 48. 3. ποῖ] πῆ A.

4. ὁ ἐξελαθέντος] ὁ om. Lb. ἐξελασθέντος P, Lb man. sec. 5. ἢ καὶ ALLRRGBO. ἢ CDPF: delendum Wolfio visum. 6. Θουκυδίδης] II, cap. 27., ubi legitur: αὐτῶν πέμψαντας ἐποίκους.

8. Εἰσῆχε P. 9. εἰσῆχα] εἰσήχα DP. ἠσῆχα B.

10. διάκειμαι καὶ ἐπίκειμαι, ἀντὶ DP. 12. Σμυρναϊκῷ πολιτικῷ] Ῥοδιακῷ Witterus: est enim vol. II, p. 341. (I, 798. Df.) τοῖς] δὲ τοῖς Arist. τὰ ἐώρια B.

16. οὐ] τὸ E. περιφράγμα DP.

17. Εὐπρεπὴς καὶ λέγειν οὐχὶ εὔμορφος E. 18. εὔμορφος] εὔμορφον Ox. Πλάτων — Ξενοφῶν] vid. Pierson. ad. Moer. p. 150. 19. σπανίως P. σπανίον B. 20. Αἰγαίῳ] vol. I, p. 438. (I. 405. Df.)

ὡραιότατος, ὥστε καὶ σύμβολόν ἐστι τοῦ Αἰγαίου τὸ τῆς εὐμορφίας ἴδιον.

Οὐ λέγουσιν Ἀττικοὶ εἰς τρίτην ἡμέραν, ἀλλ᾽ εἰς τρίτην μόνον. Συνέσιος ἐν ἐπιστολῇ· εἰς τρίτην ἥκειν ἐπήγγελε. καὶ πάλιν ἐν ἑτέρᾳ [τῇ] Τρίτῃ μὲν ἦν Αἰσχίνῃ κειμένῳ· *** καὶ Ἀριστείδης· καὶ ἧκεν εἰς τρίτην.

Ἑτερόφθαλμος ὁ τὸν ἕνα πηρωθεὶς τῶν ὀφθαλμῶν, οὐ μονόφθαλμος. μονόφθαλμος γὰρ ὁ ἕνα ὀφθαλμὸν ἔχων φυσικῶς, οἷον μυθεύονται τὸν Κύκλωπα.

Ἐπίτεξ, οὐκ ἐπίτοκος.

Τὸ ἑκὼν εἶναι οἱ παλαιοὶ μετὰ ἀπαγορεύσεως τιθέασιν, οἷον οὐδεὶς ἑκὼν εἶναι, καὶ, τί τις ἂν ἑκὼν εἶναι ποιήσειε; τὸ γάρ τί ἐνταῦθα ἀπαγόρευσιν δηλοῖ. καὶ Θουκυδίδης· οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι τὴν ναυμαχίαν ποιήσομαι. ἅπαξ δὲ καὶ χωρὶς ἀπαγορεύσεως Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν εἶπεν· οἵτι-

---

3. *Ἀττικοὶ εἰς*] *τὴν* add. Ox. 4. *Συνέσιος*] ep. 67. p. 209. a. *ἐν ἐπιστολῇ* om. Ox. *τρίτην*] *τετάρτην* Synesius. *ἥκειν* om. B. *ἐπήγγελε*] *ἐπήγγελλε* B. *ἐπήγγειλα* Synes. *πάλιν* om. B. 5. Vulgo sic: *ἐν ἑτέρᾳ· τρίτῃ* (*τρίτη* O) *μὲν ἦν Αἰσχίνῃ κειμένῳ. καὶ* —. Sed initium epistolae 3. significatur, in qua p. 160. d. legitur *εἰς τὴν ἐπιοῦσαν ἑβδόμην*: quorum defectum notavi. 6. *καὶ Ἀριστείδης* ALaG. *καὶ* om. BEdd. Vol. I, p. 522. (I, 472. Df.) reperias: *ἔφη χρῆναι τελευτᾶν εἰς τρίτην ἡμέραν.* *καὶ ἧκε* B.

8. *πηρωθεὶς* GFO. *πηρωθεῖς* B. *πειρωθεὶς* CDP. *πεπηρωμένος* E. 9. *ὀφθαλμὸν ἔχων* BEdd., Phav. p. 321. b., Mosch. Syll. f. 145. a. *ἔχων ὀφθαλμὸν* G. 11. Om. B.

12. *τιθέασι* B. 13. *ποιήσειεν* LaO. 14. *τὸ γὰρ — δῆλοι* om. Ra. *γάρ τί*] *γὰρ τὶ* G. *γάρ τι* B. *τί ἐνταῦθα*] *ἐνταῦθα τί* Rb. *Θουκυδίδης*] II, cap. 89., ubi est: *τὸν δὲ ἀγῶνα οὐκ — εἶναι ποιήσομαι.* Cf. Popp. P. II, vol. 1. p. 82. 15. *ἐν τῷ κόλπῳ* B ponit post *ναυμαχίαν*. 16. *ἅπαξ δὲ καὶ χωρὶς* Ra. *ἅπαξ καὶ χώρις* B. *καὶ χωρὶς δὲ* GEdd. *Ἀριστείδης*] *Ἀριστείδης ἅπαξ εἶπεν* Edd. om. LaGB. *ἅπαξ* om. A. 17. *ἐν τῷ*] vol. II, p. 335. (I, 793. Df.) *εἶπεν* LaGB. om. Edd.

τες ἂν τῆς ὁμονοίας ἄρξωσιν ἑκόντες εἶναι. καὶ Ἡρόδοτος ἐν Πολυμνίᾳ· ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενὸς, ἀλλὰ ἀπὸ δικαιοσύνης ἐς μέσον Κώοισι καταθεὶς τὴν ἀρχὴν οἴχετο ἐς Σικελίην. γράφεται δὲ καὶ ἑκόντες ὄντες. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἑκόντας ὄντας ταῦτα τιμῆσαι. καὶ Λουκιανὸς ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ συνόντων· καὶ ἑκόντες ὄντες ἐπιλανθάνεσθαι ἑαυτῶν.

Ἔγγιον ἐπὶ συγκριτικοῦ μὴ λέγε, ἀλλ' ἐγγύτερον. ἔγγιον δὲ ἀντὶ τοῦ ἐγγὺς ἄριστον. Δημοσθένης· ἔγγιον τόκον. καὶ ἡ παροιμία· γόνυ κνήμης ἔγγιον, ἐπὶ τῶν τοὺς οἰκείους εὐεργετούντων.

---

1. ἄρξωσιν] ἄρχωσιν Aristides. 2. Ἡρόδοτος] VII, cap. 164. ἑκών τε] ἕκοντες A. 3. ἀλλὰ — Σικελίαν om. RaB. ἀλλὰ CDPF. ἀλλ' LaGO. ἀπὸ] ὑπὸ coni. Witterus, ut olim scribebatur ap. Herod. 5. οἴχετο LaRbGO. εἴχετο CDPF. ἐς Σικελίην La, ut videtur. εἰς (sic etiam A) Σικελίαν GCDP. ἐς Σικελίαν FO. ἑκόντες C. 6. ὄντες] εἶναι coni. Valckenarius ad Herodot. l. c.: de quo quidem fallitur. Παναθηναϊκῷ] frustra ibi quaeras. 7. Λουκιανὸς] vol. I, p. 653. extr. 8. ὄντες] εἶναι Lucianus. 9. ἐπιλανθάνεσθαι RaB, Luc. ἐπιλανθάνεσθε GEdd. ἑαυτῶν] αὐτῶν Lucian.

10. Ἔγγιον] ἔγγυον Tittmannus ad Zonar. vol. I, p. 602., refutatus a Lobeckio ad Phryn. p. 296. ἔγγιον δὲ] ἔγγυον δὲ B, Tittmannus. ἔγγυον δὲ ἁπλῶς Phav. p. 226. c. ἔγγυον tuetur Hesychius vol. I, p. 1066. 11. τοῦ om. B. ἐγγὺς] ἐν τῇ γῇ Phryn. ἔγγειον Tittmannus. Demosthenis exemplum om. Phav., Phrynicho abiudicat Salmasius de mod. usur. p. 83. cf. 88., Thomae Stoeberus. ἔγγιον τόκον] ἔγγυον τόκον B. ἔγγειον τόκον Phryn. ἐγγείων τόκων et ἔγγειοι τόκοι et ὁ δὲ τόκος ὁ ἔγγειος Demosth. adv. Phorm. p. 914., apud quem „ἐγγίου vel ἔγγυον vel *certe* ἔγγειον" coni. Oudendorpius, ἐγγίον τόκον vel ἐγγίων τόκων Salmasius. Cf. Boeckh. Oec. civ. Ath. I, p. 143. 12. ἔγγιον] ἔγγυον Phav. Ceterum impositum fuisse Thomae credulitati arbitror.

Ἐξεκόπη τοὺς ὀφθαλμοὺς λέγων καὶ ἀνεκόπη κάλλιον ἐρεῖς ἢ ἀφῃρέθη. Ἀριστοφάνης ἐν νεφέλαις·

εἴθ' ἐξεκόπην πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

Φιλόστρατος ἐν ἡρωϊκοῖς· τὰς ὄψεις ἀνακοπείς. τὸ δὲ ἐτυφλώθη κοινόν.

Ἔπιπλα τάττεται μὲν καὶ ἐπὶ ἱματίων, ὡς ἐπιτοπλεῖστον δὲ ἐπὶ παντοίων σκευῶν. Θουκυδίδης ἐν τῇ τρίτῃ· ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος. καὶ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· καὶ κατάλογος ἐνταῦθα τῶν ἐπίπλων μέχρι τῆς ληκύθου καὶ τῆς ἐτνηρύσεως.

Ἔδομαι καὶ κατέδομαι, οὐ βρώσομαι, ἀλλ' οὐδὲ φάγομαι.

Ἐνιαύσιον, οὐκ ἐνιαυσιαῖον. Θουκυδίδης· αἱ δ' ἐνιαύσιοι σπονδαί.

Ἐπῳάζει, οὐκ ἐπικάθηται ᾠοῖς.

Μὴ εἴπῃς ἐριστικῶς ἐρωτᾷ ὁ δεῖνα, ἀλλ' ἐρεσχελεῖ καὶ ἐρεσχελεῖται ὑπό τινος. ἔστι δὲ τὸ ἐρεσχελεῖ καὶ ἀντὶ

---

1. λέγων AGBEdd. om. Phav. p 277. b. λέγειν ascr. Iunius. ἀνεκόπη ALLRRBO, Phav. ἀνεκόπην GCDPF. ἐρεῖς ALLRRGBO, Phav. om. CDPF. 2. νεφέλαις] v. 24.
4. λίθῳ BEdd. om. ALLRRG. 5. ἡρωϊκοῖς B. Est Prooem. §. 2. p. 664.

7. ἐπιτοπλεῖστον GB. ἐπὶ τὸ πλεῖστον Edd. 8. ἐν τῇ τρίτῃ ARRGB. om. Edd. ἐν τρίτῃ La. Est cap. 68. 9. τείχῃ B. 10. περὶ LaGBO. om. CDPF. cf. ad p. 72, 4. μελέτῃ] λελέτῃ B. Est vol. I, p. 505. d. (IV, p. 140, 18. Rk.) 12. ἐτνηρήσεως A. ἐτικρεύσεως B.

13. βρώσομαι „MSS" (OUD.) GDPO. βρῶσομαι B. βρύσομαι CF. φάγωμαι B.

14. Θουκυδίδης] V, cap. 1. δ'] μὲν Thucyd. 15. ἐνιαύσιοι ALaRRO et supra scripto αι B. ἐνιαύσιαι GCDPF.

16. Ἐπωάζει B.

17. Ἐριστικῶς ἐρῶ τᾶ ὁ δεῖνα μὴ εἴπῃς, ἀλλ' B. ἐριστικῶς GBFO. ἐρειστικῶς ARbCDP. ὁδεῖνα CDP.

τοῦ φλυαρεῖ, καὶ ἐρεσχελία ἡ φλυαρία· καὶ ἐρεσχελεῖν τὸ ἀτιμάζειν. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ·
τὴν πενίαν ἐρεσχελῶν τὴν ἐμήν.

Εἴθ' ὤφελεν, οὐκ εἴθ' ἔμελλεν. Ἀριστοφάνης ἐν νεφέλαις·
εἴθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς.

Εὐριπίδης ἐν Μηδείᾳ·
εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτᾶσθαι σκάφος.

Ἔοικεν ἀντὶ τοῦ φαίνεται ἀπαρεμφάτῳ συντάσσεται, οἷον ἔοικεν ἀπιστεῖν τοῖς λεγομένοις. ἔοικε δὲ ἀντὶ τοῦ ὅμοιός ἐστι δοτικῇ, οἷον ἔοικεν ὁ δεῖνα τῷ δεῖνι. ἔοικε δὲ ἀντὶ τοῦ πρέπει ποιητικῶς ἀσύντακτόν ἐστιν. Ὅμηρος·
ἐπεὶ οὐδὲ ἔοικεν.

Ἐπίστω κάλλιον, ἢ ἐπίστασο. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ·
εὖ μέντοι τοῦτ' ἐπίστω.

Ἔπιον οἴνου καὶ ἔφαγον σίτου Ἀττικοὶ, οὐκ οἶνον οὐδὲ σῖτον.

---

2. *τῇ*] *τι* B. *Λιβάνιος*] vol. I, p. 338. c. (IV, p. 176, 17. Rk.)

4. *ἔμελλεν* ALLRRGBO. *ἔμελεν* CDP. *ἔμηλεν* F. *νεφέλαις*] v. 41. 5. *εἰδ' ὤφελεν προμνιστρί'* B. 6. *Μηδίᾳ* RaG. 7. *Ἀργοῖς* B.

10—15. om. GEdd., hic inserunt RR (v. Stoeb. p. 269.) B et ut persuasum habeo A, et La ex quo eadem Oudendorpius affert p. 329. inter voc. *Ἔξω* et *Ἐπαγγέλλω*, ordinem videlicet litterarum secutus. Cf. Moschop. Syll. fol. 144. a. *Ἔοικεν μὲν ἀντὶ* B. *ἀπαρεμφάτῳ* RRB, Phav. p. 282. c. *καὶ ἀπαρεμφάτῳ* La.

12. *ὅμοιός ἐστι* RR, Phav. *ὁμοῖος ἐστὶν* La. *δεῖνι* RRB. *δεινί* La. 15. *οὐ δὲ* B.

16. *μαστιγοφόρῳ* om. AB. Versu 1370. est: *εὖ μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγώ —.*

19. *οἴνου*] *οἶνον* B. 20. *σῖτον*] *σίτον* DP.

Ἐντρίβεται τὸ πρόσωπον, οὐ ψιμυθοῦται. καὶ ἐντρίμματα ἅπας ὁ τοιοῦτος φλήναφος λέγεται.

Ἐπιτρίβεται πολλὰς λέγε, μὴ πολλὰς πληγὰς δέχεται. Ἀριστοφάνης ἐν νεφέλαις·

ἐπετρίβετο πολλὰς ὡς τὰς Μούσας ἀφανίζων.

ἐπὶ δὲ τῶν τὰς πληγὰς ἐπιφερόντων ξαίνει τὸν δεῖνα πολλὰς κατὰ τοῦ νώτου τυχὸν ἢ κατ' ἄλλου τινὸς μέρους τοῦ σώματος· οὕτω γὰρ Δημοσθένης λέγει· καὶ προστρίβεται τῷ δεῖνι πληγάς. Ἀριστοφάνης ἐν ἱππεῦσι·

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

Ἐπεξενώθη, οὐκ ἐπεξενίσθη.

Εὖ λέγει καὶ κακῶς λέγει κρείττω ἢ εὐλογεῖ καὶ κακολογεῖ· ὡσαύτως καὶ εὖ πράττει καὶ κακῶς πράττει ἢ εὐπραγεῖ καὶ κακοπραγεῖ. δυσπραγεῖ δὲ καὶ δυσπραγία καὶ κακοπραγία καὶ εὐπραγία καὶ εὐπραξία. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον

---

1. *ψιμυθοῦται* Edd. *ψιμιθοῦται* ALL. *ψιμμιθοῦται* RbG. *ψημμιθοῦται* B. „*ψιμιθιοῦται vel ψιμμιθ.*“ coni. Stoeberus, „*ψιμυθιοῦται vel ψιμμ.*“ Oudendorpius. *ψιμμυθιοῦται* et *ἢ* pro *οὐ* placet Hemsterhusio. Cf. Piers. ad Moer. p. 167. Barker. Epist. crit. p. 236. *καὶ — λέγεται*, ommissa in GEdd., accesserunt ex ALbRRB. *ἐνθρίμματα* B. 2. *λέγεται* ARRB. *καλεῖται* Lb.

4. *νεφέλαις*] v. 972. 5. *ἐπετρίβετο τυπτόμενος* Aristoph. 8. *νῶτον* B. *τυχὸν* ALaGBO. *τυχὼν* CDPF. *τινὸς* om. B. 9. *Δημοσθένης*] de fals. leg. p. 403. init. Cf. infra voc. *ξαίνω*. 11. *ἱππεῦσι*] v. 5. 12. *πληγὰς γὰρ ἀεὶ* Rb.

14. *Ἐπεξενῶθη* B.

15. *λέγει κ. κ. λέγει* GBEdd. *λέγειν κ. κ. λέγειν* A. *λέγε κ. κ. λέγε* Rb. *κρείττω* ALaRRO. *κρεῖττον* GBCDPF. 17. *κακωπραγεῖ* B. 18. *καὶ εὐπραγία* om. Rb. 19. *τρίτῃ*] cap. 39. Eadem supra attulit p. 103, 5.

ὁρῷον ἀπωθοῦνται. καὶ πάλιν εὐλογία καὶ κακολογία.

Ἐφῷ ἀντὶ τοῦ διότι εἰς παρῳχημένον. Συνέσιος ἐν ἐπιστολῇ· ἐφῷ Γεννάδιον ἔγραψεν. ἐφῷ ἀντὶ τοῦ ἐπὶ τῷ εἰς ἀπαρέμφατον, οἷον ἐφῷ μεμνῆσθαι· καὶ ἐφῷ ἀντὶ τοῦ ἵνα εἰς μέλλοντα. Θουκυδίδης· ἐφῷ τοὺς ἄνδρας κομιοῦνται. καὶ Συνέσιος ἐν ἐπιστολῇ· οὐκ ἐφῷ στρατεύσομαι μεμισθωμένος. καὶ πάλιν ἐν ἑτέρᾳ· ἐφῷ θηρίον οὐκ ἐναλεῖται τῇ ποίμνῃ.

Ἑταίρα Ἀττικοὶ καὶ οὐχ ἑταιρίς. ἑταιρῶ δὲ, ἑταιρήσω καὶ ἑταίρησις τὸ τοὺς ἄνδρας πάσχειν τὰ τῶν ἑταιρῶν. ἑταιρεῖ μὲν οὖν καὶ πορνεύεται ὁ πασχητιῶν, ἀλλ' ἑταιρεῖ μὲν ὑπὸ τοῦ ἐραστοῦ, πορνεύεται δὲ ὑπὸ τοῦ τυχόντος. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· οὐκέτι

---

1. ἀποθοῦνται DP. ἐπωθοῦνται Rb. κακολογία] οὐχ ἑλληνικά add. CDPF. om. ALLRRGBOxO.

3. Ἐφῶ constanter GB, hic CDP. ἐφ' ᾧ constanter FO. Vid. Anonym. de Atticism. Villoisoni Anecdotis, vol. II, p. 80. παρωχημενων B. ἐπιστολῇ] 73. p. 221. c. Allata iam p. 74, 16. 4. ἐφ' ᾧ CDP, item l. 5. 6. 6. Θουκυδίδης] I, cap. 113. extr. ἐφῶ CD. ἐφ' ᾧ P: sic etiam l. 8. 9. 7. ἐν ἐπιστολῇ A „*MSS*" (*OUD.*) GBO. om. CDPF. Est ep. 88. p. 230. c., ubi sic reperias: ὡς ἐφ' ᾧγε συστρατεύσομαι μεμισθωμένον (corr. ex Thoma), οὐκ ἐφ' ᾧγε προσεύξομαι. 9. ἑτέρᾳ] 78. p. 223. c. οὐκ] οὐ B.

11. Ἑταίρα GB. ἑταῖρα Edd. ἑτέρα Ra, Rb, in quo „*sec. man. corr.* ἑταῖρα." καὶ οὐχ ALaG. οὐχ Edd. οὐκ B. ἑταιρίς ALLRRGBO. ἑτερίς CDPF. ἑταιρῶ ALLRaGB (in quo nova hic §.) O. ἑτερῶ CDPF. Post ἑταιρήσω plene interpungebatur. 12. ἑταίρησις τὸ ἔργον τῶν ἑταιρίδων E. ἑταιρῶν] ἑτέρων Rb. 13. ἑταιρεῖ (sic etiam Ra)] ἑτερεῖ Rb. 14. ἑταιρεῖ] πορνεύω add. B. ὑπὸ τοῦ ἐραστοῦ G. ὑπὸ om. B. τοῦ om. Edd. ἐπὶ τοῦ τυχόντος Rb. 15. Αἰσχίνης] p. 8. St. (77. Rk.) οὐκέτι RRB. οὐκ ἔτι Edd.

δήπου μόνον φαίνεται ἡταιρηκώς, ἀλλὰ μὰ τὸν Διόνυσον οὐκ οἶδ' ὅπως δυνήσομαι περιπλέκειν ὅλην τὴν ἡμέραν, καὶ πεπορνευμένος. κυρίως δὲ πορνεύεται ἡ γυνή. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τοῦ μὲν τὸν πατέρα ἡταιρηκέναι, τοῦ δὲ τὴν μητέρα πεπορνεῦσθαι. καὶ πορνεύει ὁ ταύτῃ χρώμενος. Ἡρόδοτος δὲ ἀντὶ τοῦ εἰς πορνείαν ἐκδίδωσι χρῆται τῷ ὀνόματι ἐν τῇ πρώτῃ· ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσιν.

Ἐβουλόμην καὶ ἐβουλήθην πλειστάκις οἱ δοκιμώτατοι λέγουσιν, ἠβουλόμην δὲ καὶ ἠβουλήθην ἅπαξ. τοῦτο δὲ καὶ ἐπὶ τοῦ ἐδυνάμην καὶ ἐδυνήθην νόει.

Ἔφησθα ῥητορικὸν, εἶπησθα δὲ καὶ ἤθελησθα ποιητικόν.

Ἐννεάζω λέγε, μὴ τὴν νεότητα διαβιβάζω. Συνέσιος ἐν ἐπιστολῇ· ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ.

Ἐπίταγμα κάλλιον ἢ πρόσταγμα, καὶ ἐπιτάττω ἢ προστάττω.

---

1. φαίνεται μόνον Aesch. Bekk., (ante quem μόνον φανήσεται): inverso ordine, boni Aesch. libri. δίπου P. ἀλλὰ] ἀλλὰ καὶ Aesch., sed καὶ om. unus Paris. μὰ — περιπλέκειν parenthesis loco posita voluit Stoeberus, μὰ — ἡμέραν posuit Oudend. in O.

3. πεπορνευμεναι B. 4. κυρίως om. B. 5. ἐν — στεφάνου om. Ox. τοῦ στεφάνου GEdd. τοῦ om. ALaB. Est autem in Androt. p. 612, 5. τοῦ μὲν] τῷ μὲν Phav. p. 320. b. τοῦ δὲ Demosth. πατέρα] πρᾶ CDP. 6. τοῦ δὲ] τοῦδε FO. πεπορνεύεσθαι B. 7. πορνεύειν B. 9. πρώτῃ] cap. 196. fin., ubi est καταπορνεύει τὰ θήλεα τέκνα.

11. κλειστάκις ἀδοκιμώτατος B. 12. ἅπαξ] κάλλιον coni. Stoeberus. τοῦτο] ταὐτὸ Hemsterhusius.

14. Ἔφηστα B.

15. λέγε, μὴ] ἤγουν E π. ῥ. Συνέσιος ἐν ἐπιστολῇ — σχολῇ ALLRRGBOxO. om. F. ἐν ἐπιστολῇ om. CDP. Est ep. 11. p. 178. a.

Τὸ εἰ μετὰ ὁριστικοῦ καὶ εὐκτικοῦ ἀεί, καὶ ἐπὶ τῶν τριῶν χρόνων· οὐ μετὰ ὑποτακτικοῦ δέ, πλὴν ἐπὶ τῶν ἀνθυποτάκτων, οἷον εἰ λάβωμαι, εἰ τράπωμαι. εἰ δὲ Σοφοκλῆς λέγει ἐν Ἀντιγόνῃ·

κεἴ τις ᾖ σοφός,

ἠνάγκασται διὰ τὸ μέτρον. τὸ δὲ ἐάν, τὸ ἄν, τὸ κἄν, τὸ ἤν καὶ τὸ ὅταν ἀεὶ μετὰ ὑποτακτικοῦ παρὰ τοῖς ἀκριβεστάτοις. εἰ γὰρ καὶ εὕρηται ἅπαξ παρὰ Θουκυδίδῃ ἐν τῇ τρίτῃ· ἤν τε καὶ ἔχοντές τι ξυγγνώμης εἶεν, καὶ παρὰ Λουκιανῷ ἐν τοῖς ἀληθινοῖς· ἐὰν καταχθείημεν εἰς τὰς νήσους, καὶ αὖθις ἐν τῷ βίων πράσεις· καὶ ταῦτα ἢν ἐθελήσειεν ἀποδόσθαι οὑτοσί, ἀλλ' οὐ δεῖ ζηλοῦν τὸ ἅπαξ ῥηθέν. εἰ δὲ τῷ ἄν τὸ εἰ προστεθείη, μετὰ εὐκτικοῦ καὶ ὁριστικοῦ ἐκφέρεται. τὸ δὲ ἵνα καὶ τὸ ὅπως καὶ μετὰ ὑποτακτικοῦ καὶ μετὰ εὐκτικοῦ. Ἀριστείδης ἐν τῷ Ῥοδιακῷ· ἵνα πανταχοῦ τῶν μεγίστων τετυχηκυῖα ἡ πόλις φαίνηται. καὶ αὖθις ἐν τῷ Αἰγαίῳ· ἵν' εἶεν τέλειοι τὴν μουσικήν. καὶ Θουκυδίδης ἐν

---

1. *Τὸ* „*MSS*“ (*OUD.*) GBCDPO. om. F. τῶν om. Phav. p. 235. a. 2. δὲ om. Phav. ἐπὶ om. A. ἀνθυποτάκτων BFO. ἀνθ' ὑποτάκτων Phav. 3. καὶ εἰ τράπωμαι Phav.
4. ἐν Ἀντιγόνῃ] Ἀντιγόνην Lb. Est v. 710. 5. κ' εἴτις LaB. εἴτις ALb. ᾖ] εἰ B. 6. τὸ δὲ ἐᾶν τὸ ἦν *A* τὸ κᾶν *A* B. 8. εἰ γὰρ καὶ LaGBO. καὶ om. CDPF. 9. τρίτῃ] cap. 44. Emendare conatus est Hermannus annot. ad Viger. p. 822. ed. II. 10. ἀληθινοῖς] II, 29. vol. II, p. 126. ἐὰν optimi codd. Luc., ubi εἰ nunc editur, verissime reprobante Hermanno.
11. εἰς] ἐς Luc. 12. πράσεις] §. 11. vol. I, p. 551. ἐθελήσειεν] ἐθέλησας nunc editur ap. Lucian. 13. ἀποδίδοσθαι A. οὑτοσίν LL. 14. τῷ ἂν BEdd. τὸ ἂν LLG. προστεθῇ La. 15. τὸ ὅπως] τὸ om. AB. ὑποτακτικοῦ] εὐκτικοῦ A.
16. μετὰ om. AB. εὐκτικοῦ] ὑποτακτικοῦ A. Ῥοδιακῷ „*MSS*“ (*OUD.*) GBO. Ῥοδιανῷ CDPF. Est vol. II, p. 361. (I, 814. Df.) 18. Αἰγαίῳ] vol. I, p. 436. extr. (I, 404. Df.)
19. εἶεν „*MSS*“ (*OUD.*) GCDPO. εἴην F. εἰ ἐντέλειοι B.

τῇ δευτέρᾳ· ὅπως μὴ κατὰ φῶς θαρσαλεωτέροις οὖσι προσφέροιντο καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ᾽ ἐν νυκτὶ φοβερώτεροι ὄντες ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας. τὸ δὲ κἂν μετὰ σφοδροῦ τόνου καὶ μετὰ εὐκτικοῦ καὶ μετὰ ὁριστικοῦ παρῳχημένου. Ἀριστοφάνης ἐν νεφέλαις·

κἂν προσκαταθείην γ᾽, ὥστ᾽ ὀμόσαι, τριώβολον.

Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ·

κἂν ἐξέπραξεν, εἰ κατημέλησ᾽ ἐγώ.

ταῦτα περὶ τούτων καὶ μὴ ἄλλως φρόνει· ἀκριβῶς γὰρ ἄγαν ἐξήτασται καὶ μεμελέτηται. γίνωσκε δὲ καὶ τοῦτο, ὅτι οὐδέποτε ὑποτακτικὸς σύνδεσμος μέλλοντι συντάσσεται, οἷον ἂν ἔσται, ἢν γενήσεται καὶ ὅσα τοιαῦτα, κἂν Ἀριστείδης ἅπαξ ἐν τῇ κοινῇ ἀπολογίᾳ πρὸς μέλλοντα τὸ κἂν συνέταξε λέγων· κἂν μηδενὸς ἀνθρώπων μεμνήσονται, καὶ Πλάτων ἐν Γοργίᾳ τὸ ὅταν μετὰ μέλλοντος λέγων· ὅταν βουλήσεσθε παρ᾽ ἐμὲ ἥκειν οἴκαδε. καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ἵνα, ἢν μὴ ὑπακούωσι, τεθνήξονται. οὐ μόνον δὲ ἐν τῇ ἀρχῇ τιθέμενος ὁ ἂν σύνδεσμος οὐ συντάσ-

---

1. δευτέρᾳ] cap. 3. 2. προσφέροιντο pars librorum Thucydidis: editum προσφέρωνται. ἐκ τοῦ] αὐτοῦ B. 6. παρῳχημένου] καὶ ἀπαρέμφατον add. B. νεφέλαις] v. 1235. 8. πρὸς καταθείην DP. γ᾽ ALLBO. om. GCDPF. 9. τριόβολον B.

10. Αἴαντι] v. 45. μαστιγοφόρῳ om. A. 11. ἐγώ om. B, sed addit: Ἀριστείδης δοκεῖ μοι κἂν τὸ ἐμεχεθὲν ὕψωσαι.

15. ἂν] ἐὰν La. ἢν GFO. ἢ BCDP. γενοσεται B.

16. ἅπαξ] ἅπαξ ἐχρήσατο B. ἀπολογίᾳ] vol. III, p. 516. (II, 406. Df.) 18. μεμνήσονται BEdd. μεμνήσωνται G, Aristid.

Γοργίᾳ] p. 447. b. 19. βουλήσεσθε duo Paris. Platonis: βούλησθε Bekk. Cf. Ruhnken. ad Tim. p. 281. 20. ὀγδόῃ] cap. 74. 21. ἐπακούωσι B. τεθρήξονται B. τεθνήξονται pauci libri Thucyd.: editum τεθνήκωσι. 22. δὲ om. B.

σεται μέλλοντι, ἀλλ' οὐδὲ ἐν τῷ μέσῳ, οἷον ὅπερ ἂν ἔσται.

Ἑβδόμη οὐ μόνον ἡ μετὰ τὰς ἓξ μονάδας μονὰς, ἀλλὰ καὶ ἅπας ὁ ἑπτὰ ἀριθμός. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσόοις σαγαῖς πύλαις ἑβδόμαις
προσίστανται.

ὥσπερ τοὐναντίον καὶ ἡ ἑβδομὰς οὐ μόνον τὰ ἑπτὰ, ἀλλὰ καὶ αὐτὴ ἡ μετὰ τὰς ἓξ μονάδας μονὰς, ὡς ἄλλοι τε πολλοὶ καὶ ὁ ἅγιος Γρηγόριος ὁ θεολόγος λέγων· τὴν ἑβδομάδα τιμῶσιν Ἑβραίων παῖδες, ἤγουν τὴν ἑβδόμην.

Ἐπανορθοῦμαι κάλλιον ἢ ἐπανορθῶ. Πλάτων ἐν τῇ πρώτῃ τῶν πολιτειῶν· καὶ δεῦρο ἰὼν ἐπηνωρθούμην.

Ἐνταῦθα, ἐντεῦθεν, ἐνθάδε, [ἐνθένδε,] δεῦρο, τῇδε καὶ ὧδε, πάντα ταῦτα ἐφ' οὗ εὑρίσκεταί τις τόπου τίθεται· τὸ δὲ αὐτόθι, αὐτόθεν, αὐτοῦ, ἐφ' οὗ εὑρίσκεται ὁ πρὸς ὃν τοὺς λόγους ποιεῖται [ὁ] γράφων. εἰ δέ ποτε τὸ ἐνταῦθα καὶ τὰ ἑξῆς ἐπ' ἄλλου τόπου καὶ οὐκ ἐφ' οὗ ἐστιν

---

1. οὐδ' La. ἂν om. B.

4. ἅπας] ἅπαξ P. Θήβαις] v. 124. 6. στρατῷ ALL. 7. δορυσσόοις ALaGCDP. δορυσσόοι FO. δορισας B. ἑβδόμοις GB. 9. τοὐναντίου B. ἡ om. B. 10. αὐτὴ B. ἓξ om. B. τὲ CD. δὲ B. 11. ὁ ἅγιος Γρηγόριος (Γρηγώριος impressum p. 258. Bern.) et λέγων accesserunt ex A., MSS" (OL D.) GB. om. Edd. Cf. p. 105, 3. „Est Orat. XLIV. p. 705. d."

14. Πλάτων — πολιτειῶν post ἐπηνωρθούμην ponit B. πρώτῃ] „p. 328. d. legas quidem δεῦρο ἰέναι, sed in Theaet. p. 143. a. καὶ δεῦρο ἐλθὼν ἐπηνωρθούμην." OLD. 15. ἐπηνωρθούμην ALLRRGBCDPO. ἐπηνορθούμην F.

16. ἐντάθε B. ἐνθένδε Ra, Phav. p. 272. b. om. GBEdd.

17. τίθεται ARb. τίθενται Ra, Phav. τίθησι GBEdd.

18. αὐτότι F. 19. ποιεῖται] ποιεῖ Rb. ὁ abest a MSS. et Edd. γράφων om. A.

ὁ λέγων τίθεται, ἀλλὰ τότε τοῦτο γίνεται, ὅτε ὁ τόπος προδηλωθῇ καὶ τὸ πρόσωπον πρὸς ὃ οἱ λόγοι, οἷον, ἐλθόντες τινὲς πρὸς ὑμᾶς πολλῶν ἀγαθῶν ἐνταῦθα ὤναντο. καὶ Θουκυδίδης· ἕως ἀφίκοντο εἰς Ῥήγιον καὶ ἐνταῦθα ἠθροίζοντο. εὕρηται δὲ ἅπαξ καὶ μὴ προδηλωθέντος τοῦ τόπου, ὡς παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ· σοὶ μὲν οὖν εὐτυχούσης τῆς ἐνταῦθα παιδείας πολυανδρίαν σοφίας, ἤγουν τῆς αὐτόθι. οὐ δεῖ δὲ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. ἔστι δὲ τὸ ἐνταῦθα καὶ ἀντὶ τοῦ τότε, ἔτι δὲ καὶ ἀντὶ τοῦ εἰς τοῦτο, οἷον ἐνταῦθα τύχης, ὡς καὶ ἐς δεῦρο τύχης. τὸ δὲ ἐκεῖ, ἐκεῖσε καὶ ἐκεῖθεν οὐ μόνον ἐπὶ ἄλλου τόπου, ἀλλὰ καὶ ἐφ᾽ οὗ ἐστιν ὁ πρὸς ὃν τοὺς λόγους ποιούμεθα, τιθέαμεν. Λιβάνιος ἐν ἐπιστολῇ· τῶν ἐκεῖθεν ἀνιόντων ἕκαστον ἐρωτῶμεν, ὅπως ἔχει σοι τὸ σῶμα, ἤγουν τοὺς αὐτόθεν. καὶ πάλιν ἐν ἑτέρᾳ· ἀλλ᾽ ἐπεὶ τἀκεῖ τεθεράπευκας ἱκανῶς.

Ἔννους ἁπλῶς ὁ ἔχων νοῦν, ὡς πᾶς ἄνθρωπος. κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τοῦ συνετοῦ καὶ φρονίμου.

---

2. προσδηλῶθη B. προδηλωθείη Ra. πρὸς ὃ] πρὸς ὃν ARb.
3. ὑμάς P. 4. Θουκυδίδης] VI, cap. 44. ἕως] ἤγουν Lb. Ῥήγιον καὶ] Ῥήγιον τῆς Ἰταλίας ἀκρωτήριον. καὶ Thucyd.
5. ἠθροΐζοντο FO. ἠθροίζοντος DP. ἠθροίσοντο B. 6. ὡς ὡς παρὰ B. ἐπιστολῇ] 138. p. 275. c. 7. σοὶ LLRRGBO, Synes. σὺ CDPF. οὖν] γὰρ Synes. τῆς — σοφίας] ἐνθάδε πολυανδρίαν παιδείας Synes. Cf. Oudend. 8. παιδίας B. πολυενδρίαν D. πολυανδρείαν LaRa. σοφίαν B. 9. τῷ] τούτῳ B, et in marg. ἅπαξ εἰρειμένῳ. 10. τοῦ τότε RRGBCD PO. τὸ τότε F. ἔτι δὲ om. B. ἔστι δὲ Ox. 11. καὶ] καὶ ἐκεῖ B. τὸ δὲ] Nova §. in CDP. 12. ἐκεῖσθεν B.
13. 14. τιθέαμεν ποιούμεθα G. τιθέαμεν om. B. ἐπιστολῇ] 1187. p. 565. τῶν om. B. 15. σοι „MSS"(OCD.)RaGBC DPO, om. F. 16. ἤγουν] τὸν Ra. ἑτέρᾳ] 387. p. 195.
17. ἐπεὶ] ἐπειδὴ Libanius.
18. ὡς — φρονίμου] καὶ ὁ συνετός F.

Ἑκκαίδεκα, οὐχ ἑξκαίδεκα· διότι τὸ διπλοῦν μετὰ συμφώνου τιθέμενον τραχύτητα ποιεῖ τῆς φωνῆς. καὶ δῆλον ἀπὸ τοῦ ἕκτη.

Ἔρρανται, οὐ ῥέρανται, διὰ τὸ εὐφωνότερον. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ τοῦ ἔρρευκε καὶ ἐρρητόρευκε καὶ τῶν ὁμοίων.

Ἐπ' ὄρνισι κάθηται, οὐκ ὀρνεοσκοπεῖ.

Ἐρωτῶ τὸ ἀπόκρισιν ζητῶ τινα. τὸ ἐπερωτῶ δέ ἐστι μὲν καὶ ἀντὶ τοῦ ἁπλῶς ἐρωτῶ, κυρίως δὲ ὅταν ἐπὶ τῇ ἐρωτήσει ἑτέρᾳ ἐρωτήσει χρῶμαι. προσεπερωτῶ δὲ τὸ μετὰ τὴν δευτέραν καὶ τρίτην ποιοῦμαι ἐρώτησιν. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ εἶπον, ἐπεῖπον, προσεπεῖπον.

Ἐξ ἐκείνου, οὐκ ἔκτοτε οὐδ' ἀπότοτε· καὶ ἐκ παλαιοῦ, οὐκ ἔκπαλαι οὐδὲ ἀπόπαλαι οὐδὲ πρόπαλαι. καὶ καθόλου δὲ τοῖς χρονικοῖς ἐπιρρήμασιν οὐ συντάσσουσι τὰς προθέσεις Ἀττικοί.

---

1. *Ἐκκαίδεκα* DP. οὐχ] οὐκ RbBGEdd. οὐ Ra. ἑξκαίδεκα RaGEdd. ἐξκαίδεκα B. ἓξ καὶ δέκα Rb, Phav. p. 247. b. συμφώνου LLGBO, Phav. τοῦ συμφώνου CDPF. 2. τιθεμένων B. δήλου B.

4. ῥέρρανται B. 5. ἔρρευκε B habet in marg., om. proximum καί.

7. κάθειται B. οὐκ] ἤτοι Moschop. Syll. f. 144. a.

8. In B haec §. legitur post voc. Ἑρμηνεία (p. 137.). Ἐωτῶ B. 9. τῇ om. La. 10. προσερωτῶ La. 11. ποιούμαι F. ποιοῦμαι. Ἐρωτῆσαι τὸ B. 12. προσεπεῖπον ALaRRG BO, Wolfius, Abreschius. προσέειπον Phav. p. 316. a. προσεῖπον CDPF.

13. ἔκτοτε RRGBCDPO. ἐκ τότε F, Phav. p. 277. b. ἀπότοτε G. ἀποτότε B. ἀπὸ τότε Edd., Phav. καὶ ἐκ παλαιοῦ — ἀπόπαλαι „MSS omnes" (OUD.) ARRGBCDPO. om. F.
14. οὐδὲ πρόπαλαι — Ἀττικοί RaOxCDP. om. GBFO.
15. προσθέσεις P.

Ἐδεῖτο, οὐκ ἐδέετο, καὶ ἐπλεῖτο, οὐκ ἐπλέετο· Ἰωνικὰ γάρ.

Ἐκλιπὼν, οὐκ ἐκλείψας· ἀδόκιμον γάρ.

Ἐσχάτως ἔχει ἐπὶ τοῦ μοχθηρῶς οἱ σύρφακες, οἱ δὲ παλαιοὶ ἐπὶ τοῦ ἄκρως τιθέασιν· ἐσχάτως φιλόσοφος.

Ἔζων, οὐκ ἔζην, ὡς οἴονταί τινες. Συνέσιος ἐν τῷ Αἰγυπτίῳ ἢ περὶ προνοίας πρώτῳ λόγῳ· αἰσθήσει τε γὰρ ἔζων καὶ νοῦς ἀπῆν. ἔζης δὲ καὶ ἔζη.

Ἐπίδοξος οὐχ ὁ ἔνδοξος, ὥς τινες, ἀλλ᾽ ὁ προσδόκιμος. ἔνδοξος μέντοι γράφεται, καὶ εὔδοξος παρὰ Θουκυδίδῃ· καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διαπαντός.

Τῇ ἐπιούσῃ ἐρεῖς, οὐ προσθεὶς τὸ ἡμέρᾳ· τῆς ἐπιούσης δὲ ἡμέρας.

Εὐθενεῖν κάλλιον ἢ εὐθηνεῖν· εὐθενία δὲ οὐ λέγουσιν, οὐδ᾽ εὐθηνία, ἀλλ᾽ εὐετηρία.

Εἰς τάχος γράφει λέγε καὶ εἰς κάλλος γράφει, μὴ ταχυγράφος ἐστὶ μηδὲ καλλιγράφος.

---

1. Ἐδεῖτο — ἐπλέετο ALaGB. Οὐκ ἐδέετο καὶ ἐπλέετο, ἀλλ᾽ ἐδεῖτο καὶ ἐπλεῖτο Edd. Ἰωνικὰ] καὶ ἐκλιπὼν ἰωνικα B.

3. Continuant B. Ἐκλείπων LaOx. ἐλλείψας Phav. p. 278. d.

6. Αἰγυπτίῳ FO. Αἰγύπτιοι LaGBCDP. 7. λόγῳ] p. 106. d. αἰσθήσει τε] ἠσθήσατε B. τε „MSS“ (OLD.) GCDPO. τὶ F. 8. ἔζων] ἔξων P.

9. ὁ ἔνδοξος] ὁ εὔδοξος B. 10. γράφεται καὶ εὔδοξος LaGBO. καὶ εὔδοξος γράφεται CDPF. καὶ om. Rb. Θουκυδίδῃ] I, cap. 84. 12. διάπαντος B. In E haec tantum: Ἐπίδοξος ὁ προσδόκιμος. καὶ ὁ ἔνδοξος.

13. Τῇ om. F. ἐκ Rb. τὸ] τῇ ALa.

15. εὐθηνεῖν] εὐθυνεῖν GB. εὐθηνία] εὐθυνία B.

16. εὐετερία B. εὐθηρία Phav. p. 325. a.

17. κάλλος γράφει] γράφει om. Lb. 18. ἐστὶ om. B. μὴ δὲ GBEdd.

Ἐδάφων, οὐκ ἐδαφῶν· εἰ καὶ Λιβάνιος ἐν τῷ εἰς Κωνστάντιον καὶ Κώνσταντα· ὥστε τὰς προσοίκους ἐκείνοις πόλεις εὕροις ἂν τῷ μὲν χρόνῳ πρεσβυτάτας, τῇ δὲ τῶν ἐδαφῶν κατασκευῇ νεωτάτας.

Ἔτι, οὐκ ἀκμὴν, εἰ καὶ Ξενοφῶν ἅπαξ ἐχρήσατο.

Ἔσχατον χρὴ λέγειν, οὐκ ἐσχατώτατον.

Καὶ ἑρμηνεία καὶ ἀγγελία· ἑρμηνεύω δὲ, οὐ μὴν καὶ ἀγγέλλω. Φιλόστρατος [ἐν τοῖς βίοις τῶν σοφιστῶν·] ἡ δὲ ἐπίπαν ἑρμηνεία τοῦ λόγου. καὶ πάλιν· τὸ δὲ κατὰ φύσιν ἑρμηνεύειν. καὶ αὖθις· σεμνοπρεπὴς τὴν ἀγγελίαν δοκεῖ καὶ βεβηκώς. ἡ δὲ φράσις κοινόν.

Ἐπερίσσευσεν, οὐ περιέσσευσεν.

---

1. 'Ἐδάφων] ἐδαφόων B. ἐδαφέων coni. Wolfius, probatum Oudendorpio. Λιβάνιος] vol. II, p. 122. d. (III, p. 299, 7. Rsk.) 2. ὥστε — πρεσβυτάτας om. B. 3. ἐκείνοις ALLG, Liban. ex rec. Reisk., ante quem ἐκείνοιν erat. ἐκείνας Edd. εὕροις P. τῷ GBEdd., τὸ Liban. ante Reiskium. 5. νεώτατος B.

6. Ξενοφῶν] Anab. IV, 3, 26. ἅπαξ om. Ra.

7. ἐσχατότατον La.

8. Totam notationem om. Lb. Καὶ BCDPO. om. ALaGF. ἑρμηνεία] ἑρμηνία B, Moschop. Syll. f. 144. b. χρὴ λέγειν add. F, om. LaRRGBCDPO. καὶ] οὐκ La. ἀγγελία] „ἀπαγγελία *bis terve restitui debuerat*," Valckenarius in Theocr. Adoniaz. p. 202. μὴν καὶ] καὶ om. A. ἀγγέλω C. 9. Φιλόστρατος] „*Vide num e memoria citaverit V. S. lib.* II, c. 1. §. 14." (*OUD.*) p. 564., ubi tamen haec legas: καὶ ἡ ἐπίπαν ἰδέα τοῦ λόγου. ἐν — σοφιστῶν om. ALaGB. 10. ἑρμηνία B. πάλιν] ἐν τῷ αὐτῷ λόγῳ add. Ra. Est ibid. I, 24, 1. p. 528. τὸ δὲ] καὶ τὸ Philostr. 11. αὖθις] ἐν τῷ αὐτῷ λόγῳ add. Edd. om. ALaRaGB. 12. βεβηκῶς P.

Sequuntur in B primum ea, quae notavimus p. 135, 8., deinde aliquot notationes ex Moschopuli Sylloge praemisso hoc indice: Ἡ τοῦ Μοσχοπλ/:

14. περιέσσευσεν ALLRbGBO. περιέσευσεν CDPF. περιέσσευεν ut ab initio ἐπερίσσευεν Phav. p. 288. a.

Ἐν χρῷ κουρίας φάθι, καὶ μὴ ψιλόκουρος. Συνέσιος ἐν τῷ περὶ φαλάκρας [λόγῳ·] καί τις ἐν χρῷ κουρίας ἀποθανών.

Ἔναυλον τὸ ἔνηχον ἀπὸ τοῦ αὐλεῖν, καὶ ἔναυλον τὸ ἔνοικον καὶ ἐφέστιον ἀπὸ τοῦ αὐλή· ὡς τὸ ἔναυλός ἐστιν ἢ θυραῖος.

Ἐπίκληρος καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ὁ ἐπὶ πάσῃ τῇ πατρικῇ περιουσίᾳ κληρονόμος καταλελειμμένος παῖς, μὴ ὄντος αὐτῷ δηλονότι ἀδελφοῦ. καὶ ἐπικληρῖτις δὲ θηλυκῶς μόνον εὕρηται.

Τὸ ἔχω μετὰ ἐπιρρήματος συντεθὲν οὐ μόνον πρὸς γενικὴν, ἀλλὰ καὶ πρὸς αἰτιατικὴν ἔστιν ὅτε συντασσόμενον εὑρίσκεται. ὡς Ἀριστείδης ἐν τῷ Ῥοδίοις περὶ ὁμονοίας· εἰ μὲν οὕτως εἶχον, ὦ ἄνδρες Ῥόδιοι, τὸ σῶμα. Εὐριπίδης ἐν Ὀρέστῃ·

ἅλις τὸ μητρὸς αἷμ' ἔχω.

---

1. κουρίας] κουρίσου B. φάθι] Scribebatur φᾶθι. Συνέσιος] p. 79. a. 2. περὶ] ὑπὲρ coni. Oudendorpius, ut est voc. Πέρσας. φαράκλας CD. λόγῳ Edd. om. LLGB. 3. ἀποθανῶν B.

5. τὸ] παρὰ Σοφοκλεῖ Phav. p. 264. c., petitum ex Moschop. π. σχ. p. 159. St. (209. ed. Vindob.): est enim in Philoct. v. 158. (στίβον) ἔναυλον ἢ θυραῖον. Illud probatum Porsono ad Eurip. Orest. v. 1268. ἐστιν om. Phav., Mosch. l. c. et Syll. f. 143. b., ex qua supplendus Stoebero videtur Thomas. ἐστιν deleri etiam Porsonus voluit.

7. ὁ ἐπὶ] ὡς ἐπὶ La. 8. τῇ πατρικῇ] τῇ προικῇ Ox. „*an pro* πατρῴῃ." (*OUD.*) καταλελειμμένος RbGBEdd. καταλειμμένος Ra. 9. διλονοτι B. ἀδελφοῦ GB. „ἀδέλφου *ALL.*" αὐταδέλφου Edd. ἐπικληρῖτις] ἐπικληρίτις CFO. ἐπικληρῆτις Lb. ἐπικληρίτης RaGBDP.

11. Τὸ ALaGBCDPO. om. F. 12. ἀλλὰ καὶ A „*MSS*" (*OUD.*) GBCDPO. καὶ om. F. αἰτιατικὴ ἐστινότε B. „συντάσσεται *simpliciter Rb.*" εὑρίσκεται] εὕρηται B. 13. Ῥοδίοις ALaGBO. om. CDPF. „*Ita* (puto Ῥοδίοις) *RR.*" cf. p. 119. 20. ὁμονοίας] vol. II, p. 374. (I, 824. Df.) 14. μὲν] οὖν add. B. 15. Ὀρέστῃ] v. 1037. Pors.

τοῦτο δὲ γίνεται ἀποδιδομένης τῆς συντάξεως πρὸς τὸ ἔχω. ὅταν μέντοι πρὸς γενικὴν συντάσσηται, τὸ εἵνεκα ἔξωθεν νοοῦμεν, ὥσπερ ἔχει καὶ τὸ φρενῶν εὖ ἥκει, καὶ παρ' Ὁμήρῳ τὸ τόξων εὖ εἰδώς.

Ἐξενεγκεῖν καὶ ἀντὶ τοῦ ἁπλῶς ἐκβαλεῖν καὶ ἀντὶ τοῦ νεκρὸν ἐξαγαγεῖν, ὥσπερ καὶ τὸ ἐκφέρειν. ἐκφέρουσι μέντοι τὸν νεκρὸν ἐπὶ ἡμέρας καὶ οὐκ ἐπὶ νυκτός, ἵνα πάντες αὐτὸν ἴδωσι, μὴ φαρμάκοις ἢ τοιούτοις τισὶ καὶ οὐ θανάτῳ φυσικῷ τέθνηκεν. ἐξήνεγκε δὲ καὶ ἐξέφερέ τις μέμψιν κατά τινος. ἰστέον δὲ ὅτι τὸ ἐξαγωγὴ καὶ ἐπὶ τῶν τριῶν τούτων λέγεται· τὸ δὲ ἐκφορὰ ἐπὶ μέμψεως οὐ λέγεται, ἀλλ' ἐπὶ νεκροῦ καὶ ἐπὶ ἁπλῶς ἐκβολῆς.

Ἕδος οὐ μόνον τὸ ἔδαφος, ἀλλὰ καὶ ἡ εἰκών. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

πατρῷα προσκυνήσανθ' ἕδη θεῶν.

Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· πρῶτον μὲν ὤφθη τὸ ἕδος τοῦ Ἀσκληπιοῦ, τρεῖς κεφαλὰς ἔχον. καὶ πάλιν· ἐν δὲ τῷ τοίχῳ οὗ τὰ ἕδη τῶν θεῶν.

Ἐκεῖ ἐπίρρημα τοπικόν, ἀναφορικόν. ἀνταποδίδοται δὲ τὸ

---

2. συντάσσηται Schaeferus ad Bosii Ell. p. 708. Scribebatur συντάσσεται. 4. παρὰ B.

8. ἴδωσιν αὐτὸν G. μὴ] ὅτι μὴ La man. sec. μήτι coni. Oudendorpius. καὶ οὐ θανάτῳ] „καὶ θανάτῳ οὐ, imo rectius forsan ἀλλὰ θανάτῳ“ coni. Trillerus. 9. τέθνημεν B. 10. καὶ ἐπὶ ἁπλῶς A „MSS“ (OUD.) RRGBCDPO. ἀλλ' ἐπὶ ἁπλῶς F. ἢ ἁπλῶς ἐπ' coni. Sallierus.

13. Ἔδος CDPF, item l. 15. 17. 18. 14. ἐν Ἠλέκτρᾳ om. Ox. ἐν Ἠλέγτρᾳ P. Est v. 1374. 15. προσκυνήσανθ' AG. προσκυνήσων θ' B. προσκυνήσαντες Edd. προσκύσανθ' Soph.

16. καὶ Ἀριστείδης La. Ἀριστείδης δ' Lb. Num forte Ἀριστείδης ἐν δ' τῶν ἱερῶν? Est enim vol. I, p. 591. (I, 517. Df.) ἐν — ἱερῶν om. Ox. 17. τοῦ Ἀσκληπιοῦ om. Aristid. ἔχον „MSS“ (OUD.) GBCDPO. ἔχων F. 18. πάλιν] p. 551. (491. Df.) οὗ P.

19. Ἐκεῖ — ὁ δεῖνα (p. 140, 4.) om. G. αὐταποδίδοται B.

ἔνθα πρὸς αὐτὸ, τοῦτο δὲ ἀπαντᾷ πρὸς τὸ ποῦ ἐρωτηματικόν. λέγεται γὰρ πρὸς μὲν τὴν ἐρώτησιν τοῦ ποῦ τὸ ἐκεῖ ἀναφορικὸν, τῷ δὲ ἐκεῖ συνάπτεται τὸ ἔνθα· οἷον, ποῦ ἐστιν ὁ δεῖνα; ἐκεῖ ἔνθα ὁ δεῖνα. ἰστέον δὲ ὡς οἱ δοκιμώτατοι τῶν παλαιῶν ἐπὶ στάσεως τιθέασι τὸ ἐκεῖ, οἷον ἐκεῖ τυγχάνω καὶ ἐκεῖ εὑρίσκομαι· τὸ δὲ ἐκεῖσε ἐπὶ κινήσεως, οἷον ἐκεῖσε ἀπέρχομαι. οἱ δὲ ἐναλλὰξ ἀμφότερα γράφοντες ἁμαρτάνουσιν. Ὅμηρον γὰρ καὶ τοὺς ἄλλους δοκίμους τῶν ποιητῶν καὶ Θουκυδίδην καὶ Πλάτωνα καὶ Δημοσθένην καὶ Ἀριστείδην, εἴ τις ἀκριβῶς ἐξετάσει, οὕτως ὡς ἔφημεν εὑρήσει χρωμένους. εἰ δέ τις τὸ τοῦ Εὐριπίδου ἐν Φοινίσσαις προφέρει τό·

λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει,

καὶ πάλιν τὸ τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ δράματι τό·

τὸν νοῦν οὐκέτι πρὸς αὐτὸν ἔχων, ἐκεῖσε δέ,

οὐδὲν ταῦτα ἐναντιοῦται τῷ λόγῳ· τὸ γὰρ ἐκεῖσε ἔχει

---

1. αὐτὸ] plene interpungebatur. 2. γὰρ πρὸς μὲν ALaRaBO, Moschop. Syll. f. 143. a., Phav. p. 246. b. πρὸς μὲν γὰρ CDPF. τοῦ] τὸ B, Mosch. 3. τῷ δὲ ἐκεῖ — ἐστιν ὁ δεῖνα ALaRRBO, Mosch., Phav. ὧδε ἐκεῖ, ἔνθα ὁ δεῖνα CDPF. „a Lb totum hoc comma (?) exsulat.“ συνάπτεται] συντάσσεται RR. 4. ἐκεῖ ἔνθα ὁ δεῖνα ALaBO, Mosch., Phav. om. LbRRCDPF. δὲ om. G. 5. ὡς] ὅτι Ra. τὸ ἐκεῖ] ἀναφορικὸν add. Rb. 6. εὑρίσκομαι ALLRRGBO. εὑρίσκωμαι F. 7. ἐναλλὰξ ἀμφότερα αὐτὰ G. ἐναλλὰξ αὐτὰ ἀμφότερα B. 8. Ὅμηρον] ὅμοιρον B. 12. τὸ τοῦ] τὰ τοῦ La, prob. Oudend. Φοινίσσαις] v. 371. Pors. τὸ BEdd. om. ALaG. 13. λόγοισι μὲν CDPF. μὲν om. ALaRR GBO. 15. τὸ τοῦ αὐτοῦ om. Ra. τῷ τοῦ αὐτοῦ G. δράματι] v. 1433: τὸν νοῦν πρὸς αὐτὸν (vel αὑτὸν) οὐκ ἔχων — Euripides. 16. οὐκέτι GB. οὐκ ἔτι Edd. 18. ἐναντιοῦται ALaRRGBO. ἐναντιοῦνται CDPF. 18. sq. ἔχει τὸν νοῦν Edd. τὸν νοῦν ἔχει GB.

τὸν νοῦν ἀντὶ τοῦ ἄγει καὶ φέρει, ὥστε κἀνταῦθα ἐπὶ κινήσεως τῇ ἐννοίᾳ καὶ τῇ ὁρμῇ τὸ ἐκεῖσέ ἐστι.

Καὶ εἰσήει με τόδε καὶ εἰσήει μοι. Πλάτων ἐν τῷ Φαίδων ἢ περὶ ψυχῆς· διὰ δὴ ταῦτα οὐδὲν πάνυ μοι ἐλεεινὸν εἰσήει. καὶ πάλιν ἐν τῷ αὐτῷ· οὔτε ὡς θανάτῳ παρόντα με ἀνδρὸς ἐπιτηδείου ἔλεος εἰσήει.

Οὐ μόνον εἴργω σε τοῦδε καὶ εἴργω σου τόδε ἀντὶ τοῦ κωλύω, ἀλλὰ καὶ εἴργω σοι τόδε οἱονεὶ ἀποσοβῶ σου. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

Ἕλκος κυρίως χρόνιον πάθος ἐκ σιδήρου γενόμενον, ὠτειλὴ δὲ ἡ ἐκ τοῦ σύνεγγυς ὑπὸ σιδήρου πληγή.

Ἐμβάδες τὰ κωμικὰ ὑποδήματα, ἐμβάδια δὲ τὰ ἁπλῶς ὑποδήματα. Ἀριστοφάνης ἐν Πλούτῳ·

τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις;

ἔμβατα δὲ καὶ ἐμβάται τὰ τραγικά.

Ἐμπειρία ἡ ἐπὶ πολλῶν κατάληψις βεβαία, ὡς ἔχει καὶ ὁ τῆς γραμματικῆς ὅρος· ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ

---

1. ὥστε ALaRRGBO. ὡς τὸ CDF. ὡς τὸ καὶ P. 20. τὸ] τοῦ La.

3. Continuant DP. Φαίδων ALaG. Φαίδωνι BEdd. Est p. 59. a. 4. πάνυ] πάν B. 5. πάλιν] p. 58. c. οὔτε] γὰρ add. Plat. 6. ἐπετηδείου B.

8. Οὐ μόνον (μάνον P.) ALLRRGCDPO. om. F. ante ἀλλὰ ponit B. σε] γε B. καὶ εἴγω B. σου τόδε LLRRGCD, Phav. p. 240. a. σου τὸ δὲ B. σου τίδε P. σε τόδε FO. 9. τὸ δὲ B. οἱονεὶ ALLRRGBO, Phav. ἀντὶ τοῦ CDPF. 10. τοῖς ALaG BO, Phav. om. CDPF. Θήβαις] v. 416. 11. μρῖ C. πόλεμον Rb, Phav.

16. Πλούτῳ] v. 942. 17. τοῖς δ'μβαδίοις C. τὶ GB. 18. καὶ om. B. τὰ ALLRRGBO. om. CDPF.

20. γραμματικη ῆς ὁρὸς B. ποηταῖς P.

συγγραφεῦσιν ὡς ἐπιτοπολὺ λεγομένων. πεῖρα δὲ ἡ ἐφ' ἑνὸς ἢ δευτέρου γνῶσις δοκιμαζομένη.

Ἐνθύμημα ποιοῦ λόγου σχῆμα· ἐνθύμιον δὲ ἡ ἐνθύμησις.

Εὔχομαι τῷ θεῷ, ἤγουν εὐχὴν πρὸς αὐτὸν ὑπέρ τινος ποιοῦμαι· καὶ εὔχομαι ἀνθρώπῳ ἀντὶ τοῦ ὑπὲρ αὐτοῦ εὐχὴν πρὸς θεὸν ἀναπέμπω. εὔχομαι καὶ τὸ ὑπισχνοῦμαι. καὶ εὐχὴ ἡ ἐν ἱκετηρίαις ὑπόσχεσις. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· εὐχὰς ποιεῖσθαι καθ' ὧν ἂν ἕκαστος ἐπινοῇ. ὅπερ καὶ εὐχωλὴ παρὰ ποιηταῖς λέγεται. εὔχομαι δὲ τὸ καυχῶμαι παρὰ μόνοις τοῖς ποιηταῖς.

Ἐπαγγέλλω ὡς ἐπιτοπολὺ τὸ αἰτῶ. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Τὸ μὲν τοὺς σοφιστὰς διασύρειν· καὶ ἐπέστελλον καὶ ἐπήγγελλον εὖ παθεῖν. σπανίως δὲ τὸ ὑπισχνοῦμαι. ὁ αὐτὸς ἐν ἑτέρᾳ· συνουσίαν ἐς τὴν ὑστεραίαν ἐπήγγειλε. καὶ τὸ οἱονεὶ παραγγέλλω. Συνέσιος ἐν ἐπιστολῇ· Δηώσταις ἀπαν-

---

1. ἐπὶ τὸ πολὺ FO. λεγομένων] λέγειν Rb. 2. δευτέρου BOx. δύο GEdd. Cf. Valckenar. ad. Ammon. p. 49.

3. ποιὸν Oudend., et ap. Ammon. Valckenarius p. 52. Cf. Etymol. Gud. 189, 5. Pro his: ἐνθύμιον δὲ ἡ ἐνθύμησις restitui ex Amm. Stoeberus haec vult: τὸ δ' ἐνθύμιον ἐτίθετο ἐπὶ τοῦ προστροπαίου παρ' Ἀττικοῖς, adiungi autem superiorem notationem p. 116, 16.

4. τῷ θεῷ] τῷδε GB. 5. εὔχομαι — ἀναπέμπω om. Rb. 6. θεὸν] εὐχὴν repetit B. 7. ἱκετηρίοις A. Ἀριστείδης] vol. I, p. 344. (I, 321. Df.) 9. καὶ] ἡ F. εὐχωλὴ ALLRb GBO. εὐχολὴ CDPF. 10. εὔχομαι — ποιηταῖς om. Ra. τοῖς om. LaG.

11. Ἐπαγγέλω LLC. ἐπὶ τὸ πολὺ FO. ἐπιπολὺ La. αἰτῶ — τὸ B habet in marg. ἐπιστολῇ] 78. p. 41. 12. τῇ — διασύρειν om. Ra. διασύρειν om. ARb. καὶ ἐπέστελλον om. Rb. „*in Ra a sec. man. in marg. legitur pro* ἐπέγγελλον, *quod est in textu.*" καὶ ἐπέστελον G. 13. ἐπήγγελλον O. ἐπήγγελλεν Iun. ἐπήγγελον GBF. ἐπήκελον CDP. 14. ἐν ἑτέρᾳ om. Ra. „*Locus adhuc desideratur. STOEB.* 15. ἐπήγγειλα] ἐπήγγελλε La. ἐπήγγελεν Lb. 16. παραγγέλω C. ἐπιστολῇ] 125. p. 261. b. Δηώσταις

τῶν ἐπὶ τὴν Κλεοπάτραν ἐπήγγειλα. καὶ πάλιν ἐν ἑτέρᾳ· ἐπαγγείλας ἥκειν ἀκροασομένοις ἐλλογίμων γραμμάτων. ἐπαγγέλλομαι δὲ ὡς ἐπιτοπολὺ μὲν τὸ ὑπισχνοῦμαι, σπανίως δὲ καὶ τὸ αἰτῶ. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

καλῶς
ᾔδη σ' ἀπορρίψουσαν, ἁ'πηγγειλάμην,

ἤγουν ἃ ᾔτουν. καὶ Ἀριστείδης ἐν τῇ παλινῳδίᾳ ἐπὶ Σμύρνῃ· καὶ ἐπηγγέλλοντο βουλομένους.

Ἐρῶ καὶ ἔρως κυρίως ἐπὶ τῶν παρόντων, ποθῶ δὲ καὶ πόθος ἐπὶ τῶν ἀπόντων. Λιβάνιος ἐν ἐπιστολῇ· ἄκων δὲ ἐξέλιπον, ἐπόθουν δὲ καὶ οἴκοι καθήμενος. Ἀριστοφάνης ἐν Πλούτῳ·

(Διώσταις F` et Διειθίταις div. scr. ap. Synes., ubi vulg. Σοέσταις.

1. ἐπὶ] ἐπεὶ Rb. Κλεοπάτραν ALaRRO, Synes. Κλεοπάτρας GBCDPF. καὶ πάλιν ἐν ἑτέρᾳ] *et in alia* B. Est ep. 100. p. 239. a. 2. ἥκει P. ἀκροασομένοις LaO, Synes. ἀκροασαμένοις Ra. ἀκροασάμενος ARb. ἀκροασαμένοις GCDPF et B, in cuius marg. haec: τατων (οις). 3. ἐπαγγέλομαι C. Non continuat B. 4. ἐπὶ τὸ πολὺ BFO. Ε π. ρ. ab initio: Ἐπαγγέλλω τὸ παραγγέλλω· καὶ τὸ αἰτῶ· καὶ τὸ ὑπισχνοῦμαι. ἃ καὶ ἐπαγγέλλομαι λέγεται. 5. Σοφωκλῆς D. Ἠλέκτρᾳ] v. 1018.

6. καλῶς ARaGBCDPF. καλῶς σ' Rb. καλῶς δ' O ex Soph.

7. ᾔδη σ' LaRa, quod quum nec possit calami errori tribui et librariorum sapientiam superet, Thomam ostendit melioribus quam quos hodie novimus Sophoclis libris usum esse. ᾔδειν σ' LbRb GO. ᾔδειαν σ' B. ᾔδειν τ' CDPF. ἃ 'πηγγειλάμην ALLGO. ἀπηγγειλάμην B. ἃ ἐπηγγειλάμην CDPF. ἃ 'πηγγειλόμην RR. ἀπηγγελλόμην Soph. 8. Ἀριστείδης] vol. I, p. 464. extr. (I, 432. Df.) 9. ἐπηγγέλλοντο ALaRRO. ἐπηγγέλοντο GCDPF. ἐπηνγγέλοντο B.

11. ἐπὶ τῶν ἀπόντων] ἐστὶ τῶν ἀπόντων εἴ τῶν B. ἐπιστολῇ] 31. p. 14. 13. Πλούτῳ] v. 1128.

ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

καταχρηστικῶς δὲ καὶ ἐναλλὰξ ἀμφότερα.

Ἕτερος ἐπὶ δυοῖν, ἄλλος ἐπὶ πολλῶν.

Εὐφυὴς ὁ εἰς πάντα δεξιὸς, εὐμαθὴς δὲ ὁ εἰς τὸ μαθεῖν ταχύς. Λουκιανὸς ἐν τῷ δὶς κατηγορούμενος· καὶ ἐπεὶ ἐδόκει μοι εὐμαθὴς εἶναι. καὶ εὐμαθὴς ὁ εὔγνωστος. καὶ εὐμαθὲς [ἐπὶ οὐδετέρου.]

Εὐειδὴς ὁ τὸ εἶδος παντὸς τοῦ σώματος κάλλιστα διακείμενος, καλὸς δὲ ὁ τὴν ὄψιν ἀστεῖος.

Ἐχθρὸς κυρίως ὁ πρώην φίλος καὶ ὕστερον καταστὰς εἰς ἔχθος, πολέμιος δὲ ἁπλῶς ὁ μεθ᾽ ὅπλων χωρῶν· δυσμενὴς δὲ ὁ χρόνιον πρὸς τόν ποτε φίλον τὸ μῖσος διατηρῶν.

Ἑστάτω Ἀττικοὶ, οὐχ ἑστακέτω. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ·

ἀλλ᾽ ἑστάτω μοι καὶ δέος τι καίριον.

Τὰ

---

2. *καλεῖς* ALaRR, B in marg., Aristoph. *ζητεῖς* GBEdd., Apostol. IX, 57. 3. *καταχρηστικῶς* P. *καὶ ἐναλλὰξ* GB. *καὶ* om. Edd.

5. *εὐμαθὴς δὲ* ALLRRGB. *δὲ* om. Edd., quarum FO novam ab his §. inchoant. 6. *Λουκιανὸς*] §. 27. vol. II, p. 824. *ἐπεὶ* Codd. et Edd. tum hic tum p. 21, 7. *ἐπειδὴ* olim edebatur apud Lucianum. 8. *ἐπὶ οὐδετέρου* BEdd. om. ALLRbG.

9. Continuat G. Ex Eranii Philonis verbis *forsitan corrigendum Thomam* Valckenarius dicit ad Ammon p. 167.

11. *πρώην ὢν φίλος* E. *καὶ* om. E. 12. *δὲ* om. E. *ἁπλῶς ὁ μεθ᾽*] *ὁ ἁπλῶς μεθ᾽* B. *ἁπλῶς μεθ᾽* E. *ἁπλὼς ὁ μεθ᾽* P. *ἁπλῶς ὁ μετ᾽* F. *ὅπλον* P. 13. *δυσμενὴς ὁ διατηρῶν χρόνιον τι μῖσος πρὸς τὸν ποτὲ φίλον αὐτοῦ* E.

15. *Ἀττικὸν* G. *Αἴαντι*] v. 1084. 16. *μαστιγοφόρῳ* om. A. 17. *ἀλ᾽ ἑστάτο* B.

Τὰ πρὸς πεῖσιν ἢ δρᾶσιν αἰτιατικῇ συντάσσεται· ἔπαθον τὴν ψυχὴν, συνέτριψα τὴν λήκυθον.

Οἱ Ἀττικοὶ καὶ ἐγείρομαι καὶ ἔγρομαι λέγουσι, καὶ ἠγειρόμην καὶ ἠγρόμην, καὶ ἐγειρόμενος καὶ ἐγρόμενος. Ἀριστοφάνης ἐν βατράχοις·

κᾆτ᾽ ἔγωγ᾽ ἐξηγρόμην.

καὶ Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· μὴ ὄναρ πλουτῶν λιμώττῃ ἀνεγρόμενος.

Ἐρυγγάνει λέγουσιν οἱ τεχνικοὶ, ὅταν τις ἀπόσιτος ᾖ· ἐρεύγεται δὲ μετὰ τὴν τροφήν.

Ἐς κόρακας Ἀττικοὶ, οὐκ εἰς κόρακας· καὶ ἐς μακαρίαν, οὐκ εἰς μακαρίαν.

Ἔγχουσα, οὐκ ἄγχουσα. ἔστι δὲ ῥίζα τις ἐρυθρὰ, ᾗ τὰ πρόσωπα βάπτουσιν αἱ γυναῖκες.

Ἐξήμεσε κάλλιον ἢ ἤμεσεν.

---

1. Totam notationem om. Lb, habent ALaRbGBEdd. „*Videntur aliunde discerpta.*" (*OUD.*) *δρᾶσιν*] erat *δράσιν*. *συντάσσονται* G. cf. ad p. 89, 15. 2. *συνέτρηψα* P. *λήκυθον*] *οἱ Ἀττικοί* add. CDP. *οἱ Ἀττικοὶ λέγουσι* add. FO. om. LLRRGBOx. „*λέγουσι*] *om. A.*" (*OUD.*) „*Formulam apertissime praefigunt RR voci καὶ ἐγείρομαι.*" (*STOEB.*)

3. *Οἱ Ἀττικοὶ — λέγουσι* ALaGB. *οἱ Ἀττικοὶ* om. CDP (quippe annexa priori notationi). *Ἐγείρομαι καὶ ἔγρομαι οἱ Ἀττικοὶ λέγουσιν* FO. *ἐγ. κ. ἔγρ. λέγουσιν Ἀττικοί* Phav. p. 227. b. *καὶ ἐγείρομαι*] *ἐγείρομαι* La. *ἐγειρόμην* A. *καὶ ἠγειρόμην καὶ ἠγρόμην* B ponit post *ἐγρόμενος*, pro quo G et marg. B *ἀγρόμενος*. 5. *βατράχοις* om. Ox. Est v. 51. 7. *Μίκυλλος* BP. *Μίκυλος* „*MSS*" (*OUD.*) GEdd. Est §. 1. vol. II, p. 704. 8. *πλούτων* D. *λιμώττης* AG. *λιμώττεις* BEdd. „*καὶ Πλάτων add. Ox.*", ortum puto ex *πλουτῶν*.

9. *οἱ τεχνικοὶ* ALLGBO, Phav. p. 314. a. *τεχνικοί* RR. *Ἀττικοὶ* CDPF.

13. *ᾗ*] *ἐῇ* B. 14. *βάπτουσιν* GBFO. *βάφουσιν* CDP.

15. *Ἐξήμεσα* B. *ἢ*] *ἦ* P. *ἤμεσεν* A „*Leid. Cod.*" RRGB, Phav. p. 279. c. *ἐξέμεσεν* Edd.

Ἔστιγκεν, οὐκ ἔστιζεν.

Εὐνοῦχος· τὸ δὲ σπάδων ἀναττικόν.

Ἑάλωκεν Ἀττικοὶ, οὐχ ἥλωκε· καὶ ἑάλω, οὐχ ἥλω. τὸ δὲ ἐλήφθη κοινότερον.

Εἰσήρρησε κάλλιον ἢ εἰσεφθάρη. Ἀριστοφάνης ἐν ἱππεῦσιν·

ἐπεὶ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν.

Ἐξήρτημαι ἀντὶ τοῦ ἐκκρέμαμαι οὐ μόνον πρὸς γενικὴν, ἀλλὰ καὶ πρὸς δοτικήν. Αἰσχύλος ἐν Προμηθεῖ·

ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι.

ἐξήρτημαι δὲ ἀντὶ τοῦ εἰς ἑαυτὸν κρεμῶ αἰτιατικῇ. Συνέσιος ἐν τῇ Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ ἐπιστολῇ· χρυσία καὶ λίθους ἐξήρτητο. καὶ πάλιν ἐν ἐπιστολῇ τῇ Ἕως ἔτι περιῆν ὁ μακαρίτης Θεόδωρος· διαφερόντως δὲ τοὺς ἡμετέρους γονέας ἐξήρτητο. ἀπήρτημαι δὲ τὸ ἀποδιίσταμαι, κυρίως ἐπὶ θαλάσσης, γενικῇ. ὁ αὐτὸς ἐν τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ· τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς γῆς. ἀπήρτημαι καὶ τὸ ἐκκρέμαμαι. Λουκιανὸς ἐν

---

1. Om. Lb. Ἔστιγκεν] ἔστιγκαν B. ἔστιχε coni. Wolf., ἔστιγεν Stob., ἔστιξεν Oudend., ἔστικεν Bern. ἔστιζεν ALaGB. ἔστιζε Edd.

3. Ἀττικοὶ ALLGB, Phav. p. 225. c. οἱ Ἀττικοὶ Edd.

5. Εἰσήρρησα B. εἰσήρησε ARRG. ἐν ἱππεῦσιν om. Ox. Est v. 4. 7. ἐπεὶ] ἐξ οὗ Aristoph. εἰσήρησεν ARRG. εἰσήρεισεν B.

8. ἐκκρέμμαμαι Rb. 9. Προμηθεῖ] v. 710. 11. ἑαυτὸν] ἐμαυτὸν coni. Normannus ad Aristid. κ. τῶν ἐξορχ. p. 162.

12. ἦν GBO. ἢ CDPF. Αἰσχύνῃ P. ἐπιστολῇ] 3. p. 160. b.

13. χρυσία] καὶ χρυσία B, Synes. cf. ad p. 85, 4. καὶ πάλιν — ἐξήρτητο (l. 16.) om. LL. ἐν ἐπιστολῇ — Θεόδωρος Edd. ἐν ἑτέρᾳ ARRGB, ut interpolasse Thomam Callierges videri possit. Est ep. 20. p. 176. c. 16. ἀπήτημαι B. 18. ἐπιστολῇ] 4. p. 163. a. τοσοῦτον A, Synes. τὸ σοῦτον B. τοσοῦτο GEdd.

19. ἐκκρέμμαμαι Rb. Λουκιανὸς] §. 3. vol. II, p. 755.

τῷ Ἰκαρομένιππος ἢ ὑπερνέφελος· ἄνω που τῆς διηγήσεως ἐκ τῶν ὤτων ἀπηρτημένον.

Ἐσθὴς εὕρηται παρὰ λογογράφοις καὶ ἔσθημα· τὸ δὲ ἔσθησις παρὰ ποιηταῖς καί τισι τῶν ῥητόρων. ἰστέον δὲ ὅτι ἐσθὴς καὶ στολὴ διαφέρει τῷ τὴν μὲν ἐσθῆτα ἐπὶ τῶν ἁπλῶς ἐνδυμάτων τάττεσθαι, τὴν δὲ στολὴν ἐπὶ τῶν διαφόρων σχημάτων τῶν ἐσθήτων, οἷον ἄλλη στολὴ τῶν Ἑλλήνων καὶ ἄλλη τῶν βαρβάρων.

Ἰστέον ὅτι ἡ ἐξ ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἔξω τίθεται, ὡς τὸ ἐξ ἀνθρώπων ἐγένετο. καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· τετράκις ἔλεγον ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι, ἤγουν ἔξω τῆς συνηθείας.

Ἐληλάμενος δεῖ γράφειν προπαροξυτόνως, ὡς οὐτάμενος. ἐπειδὴ γὰρ ἐληλασμένος καὶ οὐτασμένος ἦσαν, ἔλαθον δέ τι, τὴν τοῦ σ̄ λέγω ἀποβολὴν, διὰ τοῦτο δὴ καὶ περὶ τὸν τόνον ἐκαινοτομήθησαν· ὥσπερ καὶ τὸ ἄσμενος· ἠσμένος γὰρ ὂν, εἶτα παθὸν τὴν τοῦ η̄ εἰς ᾱ τροπὴν ἀνεβίβασε τὸν τόνον. ἰστέον δὲ ὡς, ὅταν ἡ δευτέρα συζυγία τῶν περισπωμένων ἢ καθαρὸν ἢ μετὰ τοῦ ρ̄ ἔχῃ τὸ ᾱ,

1. $\overline{\text{ανω}}$ B. 2. ὤτων om. B. ὄντων Ra. ἀπηρτημένον ALaRRGBO. ἀπηρτημένων CDPF. ἀπηρτημένος Iun.

3. αἴσθημα Rb. τὸ δὲ ἔσθησις ALLGBO. ἔσθησις δὲ CDPF. 4. καί — ῥητόρων om. Ra. ἰστέον] non continuat B. ἰστέον δὲ ὅτι ALLRRGO. δὲ om. CDPF. ὅτι om. B. 7. τῶν ἐσθήτων om. La.

9. Ἰστέον ὅτι ALaRbGB. om. Edd. ἡ] καὶ ἡ La. 10. δευτέρᾳ] cap. 142.

13. προπαροξύτονος D. οὐ τάμενος P. 14. ἐπιδὴ γαρ B. οὐ πασμένος P. 15. τι ALaGBO. om. CDPF, Phav. p. 255. b. τοῦ] διὰ τοῦ Ox. λέγω om. Phav. ἐν μέσῳ coni. Stoeberus. διατοῦτο GBCDP. καὶ om. B. 16. τὸ et γὰρ om. Phav. 17. ὂν RbGEdd., Phav. ὢν Ra. οὐ B. εἶτα] εἶτα B. παθὸν ARbG, Phav. παθὼν RaBEdd. 18. ἰστέον] Non continuat B. ὡς] ὅτι Ra. ἡ] ἡ P. 19. ἢ μετὰ τοῦ ρ̄ (ἢ καθάρον) B. ἔχῃ GB. ἔχει Edd.

ἀναγκαίως ἀεὶ τὸν παθητικὸν παρακείμενον δίχα τοῦ σ̄ ἐκφέρει, ὡς τεθέαμαι καὶ ἑώραμαι καὶ πεπείραμαι καὶ ὅσα τοιαῦτα· μὴ ἔχουσα δὲ οὕτω μετὰ τοῦ σ̄ τοῦτον ποιεῖ, ὡς γεγέλασμαι καὶ τὰ παραπλήσια. οὕτω καὶ τὸ ἐλήλαμαι, ἐλήλασμαι ὄν, ὡς μήτε καθαρὸν ἔχον τὸ ᾱ μήτε μετὰ τοῦ ρ̄, ἐκβολῇ τοῦ σ̄ ἐλήλαμαι γέγονε. καὶ διὰ τοῦτο καὶ ἐπὶ τῆς μετοχῆς ἀνεβιβάσθη ὁ τόνος, ὥστε οἱ ἐληλαμένος καὶ οὐκ ἐληλάμενος γράφοντες ἁμαρτάνουσιν.

Ἐπ᾽ ἀμφότερα εἰπεῖν ἱκανὸς βέλτιον ἢ κατ᾽ ἄμφω.

Ἐξειλεγμένος, οὐκ ἐκλελεγμένος.

Ἔνθεος οἱ δόκιμοι, οὐκ ἔνθους.

Ἕλξις, οὐχ ἕλκυσις.

Οὐ μόνον ἐναρίθμιος, ἀλλὰ καὶ ἐνάριθμος, συντασσόμενα ἀμφότερα καὶ πρὸς δοτικὴν καὶ πρὸς γενικήν. Πλάτων γὰρ ἐνάριθμον τῶν πολλῶν λέγει.

Εἰσῄει τὸν Ἀγαμέμνονα καὶ ὑπέδυ κάλλιον ἂν εἴποις ἢ ὑπεκρίθη. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς· ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ Δία ὑποδεδυκώς.

---

2. *ὡς τεθέαμαι — ποιεῖ* om. B. 4. *καὶ πεπείραμαι* ascriptum marg. B. 5. *τὸ ἐλήλαμαι*] *τὸ* om. B. *ἐλήλασμαι* om. P. *μή τε* P. *μετε* B. *ἔχον* ALaRRGBO, coni. Wolfius. *ἔχοντα* CDPF. 6. *μὴ τε* BP. *γεγόνε. καὶ*] *καὶ* om. Rb. 7. *διατοῦτο* GB CDP. *καὶ ἐπὶ*] *καὶ* om. G.

10. *ἱκανὸς* ALaRbGBO, Phav. p. 284. a. Idem coni. Hemsterhusius. *ἱκανῶς* CDPF. *κατ᾽ ἄμβω* B. *ἐπ᾽ ἄμφω* Ox.

13. *οὐχ* RRGCDPO. *οὐκ* B. *οὐ* F.

14. *Ἐν ἀρίθμιος οὐ μόνον* B. 15. *ἀμφότερα καὶ*] *καὶ* om. B. *Πλάτων*] v. Osann. ad Philem. p. 50. 16. *λέγε* G.

17. *ὑπέδυ* LLRRGBPO. *ὑπέδη* CDF. *εἴποις* GBEdd. *εἴπῃς* ALaRR. 18. *Λουκιανὸς*] §. 88. vol. 1, p. 602.
19. *ἢ τὸν Δία* Lucianus.

Εὐκταῖον ἑνικῶς παρ' οὐδενὶ τῶν παλαιῶν, εἰ μὴ παρὰ Πλάτωνι ἐν νόμοις· ἀλλ' εὐκταῖα καὶ εὐκταιότατα.

Ἐγχυτρισμὸν ἔλεγον τὴν τοῦ βρέφους ἔκθεσιν, ἐπεὶ ἐν χύτραις ἐξετίθουν αὐτά.

Εὔηθες κατ' εὐφημισμὸν τὸ ἀσύνετον. παρὰ δὲ Δημοσθένει εἰς χρηστότητος τάξιν κεῖται· τὴν ὑμετέραν εὐήθειαν καὶ φιλανθρωπίαν. καὶ Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει.

Καὶ τὸ εὐλαβεῖσθαι δὲ καὶ ἀντὶ τοῦ φοβεῖσθαι καὶ ἀντὶ τοῦ φυλάττεσθαι, ὡς Δημοσθένης ἐν τοῖς Φιλιππικοῖς· καὶ εὐλάβεια ὡσαύτως. εὐλαβὴς μέντοι καὶ ἐπὶ ἀρσενικοῦ καὶ ἐπὶ θηλυκοῦ ὁ εὔληπτος· καὶ εὐλαβὲς ἐπὶ τοῦ αὐτοῦ.

Ἐπιτροπεύω τὸν παῖδα κάλλιον ἢ ἐπιτροπεύω τοῦ παιδός.

Ἐλαύνεται τὴν γνώμην βέλτιον λέγειν ἢ μαίνεται.

Ἐγκαλῶ τὸ κατηγορῶ καὶ ἔγκλημα καὶ ἐπικαλῶ καὶ ἐπί-

---

1. ἢ μὴ A. 2. νόμοις] III, p. 687. e. καὶ θευκταιότατα B.

3. Ἐγχυτριασμὸν Ox. ἔκθεσεν B.

5. κατ'] καὶ κατ' Ra. Δημοσθένει] d. fals. leg. p. 374, 8. Non exstare apud Demosthenem Reiskio visa sunt indic. Dem. v. εὐήθεια. 6. ὑμετέραν ALaRRGB. ἡμετέραν Edd. εὐήθειαν om. P. 8. τρίτῃ] cap. 83. init.

10. Καὶ τὸ G. om. FO, Phav. p. 327. a. καὶ B. τὸ LaRaC DP. δὲ καὶ LaG. om. FO, Phav. δὲ CDP. καὶ B. 11. φυλάττεσθαι] καὶ ἀντὶ τοῦ αἰδεῖσθαι add. Phav. Δημοσθένης] vid. Piers. ad Moer. p. 145. 12. καὶ ἐπὶ ἀρσενικοῦ — εὔληπτος post αὐτοῦ transponi vult Oudendorpius: perverse. 13. ἐπὶ θηλυκοῦ] ἐπὶ om. GB. ἐπὶ τὸ αὐτὸ ARb. ἐπὶ τοῦ φόβου coni. Oudendorpius. Fort. ἐπὶ τοῦ οὐδετέρου.

16. γνώμην] γυναῖκα Ox. βέλτιον ALLRRGB. κάλλιον Edd.

17. καὶ ἔγκλημα] καὶ ἐγκληματεύω καὶ ἔγκλημα Lb.

κλημα. Θουκυδίδης· ἐπικαλοῦντες ἐπ' ἐργασία τοῖς Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς. καὶ Εὐριπίδης ἐν Ὀρέστῃ·

ἐπίκλημ' ἐχούσαις ὅτι τύχοι.

Ἐκβολὴ λόγου λέγε καὶ μὴ παρέκβασις. Θουκυδίδης· καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην [διὰ ταῦτα.] Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ τὰς ἐκβολὰς ὁπόσας ἔχει.

Ἐξαπιναίως Θουκυδίδης, Φίλων καί τινες ἄλλοι· οἱ δὲ ῥητορικοὶ ἐξαπίνης. τὸ δὲ ἔξάπινα οὐχ Ἑλληνικόν.

Φροντίζω καὶ ἐκφροντίζω γενικῇ καὶ αἰτιατικῇ. ὅτε μὲν γὰρ ἀντὶ τοῦ φροντίδα ἔχω κεῖται, γενικῇ συντάσσεται, ὅτε δὲ ἀντὶ τοῦ ἐννοῶ, αἰτιατικῇ. Θουκυδίδης· ὁ μὲν τὴν ἐπιβουλὴν ἐκφροντίζων.

Ἐπίτηδες καὶ ἐξεπίτηδες.

Ἐπίφορος ἄνεμος δεῖ λέγειν, οὐ πρόσφορος.

Οὐ μόνον ἐπανάστασις, ἀλλὰ καὶ ἐπαναχώρησις. Θουκυ-

---

1. Θουκυδίδης] I, cap. 139. ἐπεργασίαν Μεγαρεῦσι Thucyd. 2. τὰς ἱερᾶς B. 3. Ὀρέστῃ] v. 563. Pors.

5. Θουκυδίδης] I, cap. 97. 7. διὰ ταῦτα solus La. διὰ τόδε Thucydides. ἐν τῷ Παναθηναϊκῷ om. Ox. Est vol. I. p. 162. (I, 151. Df.) 8. ἐκβολὰς] ἐκδρομὰς Aristides. ἔχει] ὔχει B.

9. καὶ Θουκυδίδης B. 10. ἐξάπηνα Ra. Ἑλληνικὸν ALLRRGB. Ἑλληνικὸν ὅλως Edd.

11. Φροντίζω καὶ ἐκφροντίζω „MSS." (OUD.) GCDP. ἐκφροντίζω καὶ φροντίζω BFO. 12. ὅτε] καὶ ὅτε B. 13. ἐννοῶ] καὶ σκοπῶ add. Rb. αἰτιατικῇ] συντάσσεται add. Rb. Θουκυδίδης] ALLRRGBCDPO. om. F. Θουκυδίδη La. Est III. cap. 45. ὁ μὲν ALLRRGBO, Dukerus ad Thuc. ὡς μὲν CD PF. 14. ἐπιβολὴν Thuc., coni. Sallierus: sed ἐπιβουλὴν in Vindob. et uno Paris.

15. Hic ponunt GB, ante Φροντίζω CDP. καὶ] οὐκ Ox. cf. Piers. ad. Herodian. p. 450.

16. δεῖ λέγειν ALLGB. λέγε Edd. Vid. ad p. 2, 1.

17. Ἐπανάστασις οὐ μόνον B. Θουκυδίδης] III, cap. 89.

δίδης· ἐγένετο μέντοι καὶ ἐν Πεπαρίστῳ κύματος ἐπαναχώρησίς τις· ὅπερ εὔδηλον ὡς ἀντὶ τοῦ ἐπανάστασις κεῖται.

Καὶ ἕνεκα καὶ εἵνεκα Πλάτων, Δημοσθένης καὶ οἱ ἄλλοι· Θουκυδίδης δὲ ἀεὶ ἕνεκα.

Ἐφολκὰ τὰ παρακολουθήματα. Θουκυδίδης· ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγεται.

Ἐκπλήγνυσθαι ὁ αὐτὸς μόνος· ὅπερ φιλεῖ μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι. σὺ δὲ ἐκπλήττεσθαι λέγε.

Εὐεπίθετος ὁ εὔκολος εἰς ἐπίθεσιν, ἤτοι ὁ εὐεπιχείρητος. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ ἡμῖν ἂν εὐεπίθετος εἴη.

Τὸ ἐπεῖδεν ὡς ἐπιτοπολὺ ἐπὶ συμφορᾶς τίθεται. Λιβάνιος ἐν μελέτῃ τῇ Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρί· ἐπεῖδε χειμαζομένην τὴν ναῦν. ἅπαξ δὲ καὶ ἐπὶ εὐθυμίας. Θουκυδίδης· καὶ τὴν ὑπάρ-

---

1. μέντοι] δὲ Thuc. Πεπαρίστῳ AGBCDPF. Πεπαρήθῳ O. 3. ἐπανάστασις] ἐπανάστα B.

4. Καὶ ἕνεκα LLGO. καὶ om. CDPF. 5. δὲ ἀεὶ ἕνεκα B. Cf. Popp. d. elocut. Thucyd. p. 212.

6. Ἐφολκὰ — Θουκυδίδης om. B. Θουκυδίδης] IV, cap. 108. 7. οὐ τὰ] ὄντα B, agglutinatum antecedenti §. λέγεται] λέγοντος Thucyd.

8. Ἐκπλήγνυσθαι „MSS" (OUD.) GBCDPO. ἐκπλήγνυθαι F. ὁ αὐτὸς] Θουκυδίδης FO. Est IV, cap. 125. 9. ἀσαφῶς e Thucydidis libris solus Casselanus: reliqui σαφῶς.

11. εὔκολος εἰς ἐπίθεσιν ALLGBO, Iun. εὐκόλως εἰς ἐπιτίθεσιν CDPF. ἤτοι] εἶτα B. 12. ἕκτῃ] cap. 34.

14. Totam notationem om. Lb. Τὸ — ὡς] Ἐπεῖδεν καὶ ἐπιδεῖν F. π. ῥ. 15. μελέτῃ hic ponunt LaGB, post πατρὶ Edd. Est vol. I, p. 828. a. (IV, p. 650, 8. Rsk.) 16. χειμαζομένην] βαπτιζομένην Libanius. 17. εὐθυμίας ALaGBCDP. ἀθυμίας Ox. ἐπιθυμίας FO, reprobatum Dukero ad Thucyd. VII, c. 61, defensum ab Abreschio Annot. ad quaed. loca N. T. p. 566. εὐτυχίας coni. Oudend. Θουκυδίδης] VI, cap. 69.

χουσαν σφίσι πατρίδα νικήσαντες πάλιν ἐπιδεῖν.

Ἔνεστιν ἀντὶ τοῦ ἐνυπάρχει καὶ ἀντὶ τοῦ δυνατόν ἐστιν. ἔξεστιν ἀντὶ τοῦ ἄδειά ἐστι. σύνεστιν ἀντὶ τοῦ συνυπάρχει καὶ διαλέγεται· λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ συνουσιάζει. πρόσεστιν ἀντὶ τοῦ σὺν τῷδε ἔστι καὶ τόδε. μέτεστιν ἀντὶ τοῦ μετουσία ἐστί. πάρεστιν ἀντὶ τοῦ παρὼν ἢ παροῦσά ἐστιν. ἔπεστιν ἀντὶ τοῦ ἐπ᾽ ἐμοί ἐστι, καὶ ἀντὶ τοῦ ἐνυπάρχει. Ἀριστοφάνης ἐν Πλούτῳ·

τὰ ἐπόντα ἐπὶ τοῦ πίνακος.

περίεστιν ἀντὶ τοῦ περιουσία ἐστὶν, ἤγουν πλῆθος, καὶ ἀντὶ τοῦ ζῇ, καὶ ἀντὶ τοῦ νικᾷ. ἄπεστιν ἀντὶ τοῦ μακράν ἐστι.

Τὸ εἱμαρμένη ὄνομα μετοχικόν ἐστιν, οὐ μετοχὴ, ὥσπερ καὶ τὸ ἐρωμένη, ἐνίοτε δὲ καὶ τὸ ἄρχων· ὡσαύτως καὶ τὸ καίσων καὶ τὸ ἑκὼν καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος. τὸ μὲν οὖν εἱμαρμένη καὶ τὸ ἐρωμένη παθητικὰ ὄντα καὶ ὀφείλοντα πρὸς δοτικὴν συντάσσεσθαι, ὡς τὰ τοιαῦτα παθητικὰ ῥήματα, ταῦτα πρὸς γενικὴν λέγονται· ἡ εἱμαρμένη γὰρ τοῦ δεῖνος λέγεται, καὶ ἡ ἐρω-

---

1. *σφισι* P.

3. Totam §. om. Lb. *ἐστι* B. 4. *ἄδεια — τοῦ* (l. 6.) B habet in marg. 5. *καὶ* om. B. 6. *ἀντὶ τοῦ*] *ἀντοῦ* B. *τῷδε* RRGBCO. *τῷ δὲ* DPF. Mox *καὶ τὸ δὲ* B. 7. *πάρεστιν* GBFO. *πάρεστι* CDP. *τοῦ* hic et bis in proximis om. B.

8. *ἐπ᾽ ἐμοί* ALaRRGBCDPO. *ἐμοί* F. 9. *ἀντὶ τοῦ ἐνυπάρχει* LLRRGCDPO. *τοῦ* om. BF. Rectius illa quoque omitti Stoeberus censebat: sed in aliis quoque Thomas recessit a Moschopulo, cuius Syllogae f. 145. a. hanc notationem debet. *Πλούτῳ*] v. 996.: — *τἀπὶ τοῦ πίνακος τραγήματα Ἐπόντα* —.

11. *ἀντὶ τοῦ — ζῇ, καὶ* om. B. 12. *τοῦ* ante *νικᾷ* et *μακρὰν* om. B.

14. Totam notationem om. G. *ὄνομα*] *οὐ ὁ* B.

15. *ἐνίοτε*] *ἐνώτε* B. 17. *καὶ τὸ* LaO. *τὸ* om. BCDPF.

19. *ταῦτα* CDPF, Moschop. Syll. f. 142. b., Phav. p. 238. b. *ταῦτα δὲ* LaRbBO.

μένη τοῦ δεῖνος. τὸ δὲ ἄρχων, ὀφεῖλον ἐπίρρημα ἔχειν ἀεὶ ἐπαγόμενον, δηλοῦν τῆς ἀρχῆς τὴν ἐνέργειαν ὁποία ἐστὶν, ὅπερ ἀπαιτεῖ τὸ ῥῆμα, οἷον ἄρχει τις δικαίως· (ἐν γὰρ τῷ ἄρχειν δικαίως τὸ δικαίως οὐ πρὸς τὸ ἄρχειν τείνει, ἀλλὰ πρὸς τὸν ἔχοντα τὴν ἀρχήν·) τοῦτο ἐνίοτε μὲν ἐπίρρημα ἔχει ἐπαγόμενον, ὅτε καὶ μετοχή ἐστιν, ἐνίοτε δὲ ὄνομα ἐπίθετον, ὅτε ἐξ ἀνάγκης ὄνομά ἐστιν, ὡς ἐν τῷ ἄρχων τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. τὸ δὲ ἑκὼν ὀφεῖλον ἀπαρεμφάτῳ συντάσσεσθαι, ὡς τὰ τῆς θελήσεως πάντα ῥήματα, οἷον θέλω σωθῆναι, τοῦτο δὲ οὐδέποτε οὕτω συντάσσεται. τὸ δὲ καίσων καὶ αὐτὸ ὀφεῖλον μεταβατικὸν εἶναι, ὡς τὸ κάω, τόδε οὐ μεταβαίνει.

Εὔκαρπα δένδρα ὧν ὁ καρπός ἐστι χρήσιμος ἀνθρώποις εἰς τροφήν· ἄκαρπα [δὲ] τὸ ἐναντίον, ἤγουν ὧν τοῖς καρποῖς οὐ χρῶνται οἱ ἄνθρωποι. ἄκαρπον δὲ τὸ μὴ ποιοῦν καρπὸν παρ' οὐδενὶ τῶν παλαιῶν εὕρηται, ἀλλ'

---

1. τὸ δὲ] „om. haec periodus in Rb.“ 2. ἀεὶ ἐπίρρημα ἔχειν B. ὁποῖα F, Mosch. ὁποῖ B. 3. ἀπαιτεῖ] ἀπαι B. 4. ἐν γὰρ τῷ ἄρχειν δικαίως Mosch., Phav. ἐν γὰρ τῷ ἄρχει δικαίως B. ἐν γὰρ τῷ ἄρχει δίκαιος Ra. ἐν γὰρ τῷ ἄρχει Edd. om. ALa. τὸ δικαίως BFO, Mosch., Phav. τὸ δίκαιος RaCDP. ἄρχειν — ἔχοντα τὴν om. B. 5. τοῦτο BEdd., Mosch., Phav. τοῦτο δὲ La. 6. ἐπίρρημα ἔχει A, La ut videtur, B, Mosch., Phav. ἔχει ἕτερον Edd. 7. ἐπίθετον] ἐπαγόμενον ἔχει add. Mosch., Phav. ὅτε] ὅτι DP. 8. κάρτερὸς τ' C. 9. συντάσσεσθαι ALLRR, Mosch. συντάττεσθαι BEdd., Phav. 10. τοῦτο δὲ BEdd. δὲ om. Mosch., Phav. 11. συντάσσεται A, Mosch., Phav. συντάττεται BEdd. 12. μεταβατικὸν BEdd., Mosch. μετὰ δοτικῆς Phav. τόδε] Legebatur τὸ δὲ. τοῦτο Mosch., Phav. Interpungendi rationem multifariam correximus.

14. Continuant DP. 15. δὲ om. Edd., add. B, et E quae pergunt: ὧν ὁ καρπὸς χρήσιμος τοῖς ἀλόγοις ζώοις εἰς τροφήν, οἱ καὶ τὰ μὴ ποιοῦντα καρπόν. ἤγουν A „MSS“ (OUD.) GBO. om. CDPF. 17. τῶν] καὶ DP.

ἀντὶ τοῦ ἄκαρπόν ἐστιν οὕτω λέγουσιν, οὐκ ἔρρωται πρὸς καρποὺς, καὶ οὐκ ἐπιτηδείως ἔχει πρὸς καρπούς.

Ἐπίκωποι οἱ ἔχοντες τὰς κώπας καὶ τὰ πηδάλια· ἐπιβάται δὲ κοινῶς μὲν οἱ ἐπ᾽ ἀλλοτρίας νεὼς τὸν πλοῦν ποιούμενοι διδόντες ναῦλον, Ἀττικῶς δὲ οἱ ἔνοπλοί τε ὄντες καὶ παρεσκευασμένοι εἰς μάχην. ἐν δὲ τοῖς ἅρμασιν ὁ μὲν μαχόμενος παραβάτης λέγεται παρ᾽ Ὁμήρῳ, ὁ δὲ τὰς ἡνίας ἔχων ἡνίοχος.

Ἐπέθηκά τινι ἐπιστολὴν ἀντὶ τοῦ παρέδωκα ὥστε διακομίσαι. καὶ ἀντεπιτίθησιν ὁ ἀντὶ τῆς κομισθείσης αὐτῷ ἐπιστολῆς ἑτέραν διδούς· καὶ ἐπίθετος ἐπιστολὴ ἡ δοθεῖσά τινι ὥστε διακομίσαι αὐτήν.

Ἰστέον ὅτι τὰ τροχαϊκὰ ῥήματα περισπώμενα τὰ μὲν ἐν ταῖς συνθέσεσι τῶν προθέσεων ἀναβιβάζει τὸν τόνον, οἷον οἶσθα σύνοισθα, οἶδα σύνοιδα, κεῖμαι πρόσκειμαι, καὶ ἕτερα· τὰ δὲ οὐκ ἀναβιβάζει, οἷον εἶπε κατεῖπεν, εἶχον κατεῖχον.

Οὐ μόνον ἐπίδειξις, ἀλλὰ καὶ ἐπίδειγμα. Ἀριστείδης ἐν τῷ

---

2. *καὶ οὐκ — καρπούς* RbGBEdd. om. Ra.

5. *κοινῶς μὲν οἱ* ALaRRGBO. *κρεῖττ οἱ* CDPF. *ἀλλοτρίας νεὼς* AGBO. *ἀλλοτρίας νεῶς* Ia. *ἀλλοτρίαις* CDPF. *ἀλλοτρίας* RR.

10. Hanc §. om. G. *Ἐπίθηκα* B. *ἐπέδωκα* Phav. p. 286. a., sed inter voces *Ἐπέθετο* et *Ἐπέθοντο*. *τοῦ* om. B. *παραδέδωκα* Phav. *ὥστε διακομίσαι* om. Phav. 11. *ἀντεπιτίθησιν* D. *ὁ ἀντὶ — διδούς*] *ἀντὶ τοῦ ἀντεπιστέλλει* Phav.
12. *ἐπίθετος*] *ἐπίθετο* Ra. *ἐπὶ θητος* B. *ἐπίθετος ἡ* Phav.
13. *αὐτήν* A. *ταύτην* Edd. *παῦτην* B. om. Phav.

14. Hanc quoque om. G, prioribus continuant DPFO.
16. *σύνοισθα*] *σκῦοισθα* B. 17. *οὐκὰν ἀβιβάζει* B. *κατεῖπεν* La, Mosch. Syll. vol. 152. b. *κατεῖπε* BEdd.

19. Continuant DP. *Ἐπίδειξις οὐ μόνον* B. *Ἀριστείδης*] vol. I, p. 105. extr. (I, 101. Df.)

εἰς βασιλέα· καὶ ταῦτα οὐ μόνον πραότητός ἐστιν ἐπίδειγμα.

Ποτήριον οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ ἔκπωμα καὶ φιάλη καὶ κύλιξ.

Ἐπέκεινα ῥήτορες λέγουσιν. Ἀριστείδης ἐν τῷ πρὸς Καπίτωνα· οὕτως ἐμοὶ φίλος ἀνὴρ καὶ φίλων ἐπέκεινα. ὑπερέκεινα δὲ μόνοι οἱ σύρφακες.

Οὐδεὶς τῶν ῥητόρων εἶπεν ἐκ νέας ἡλικίας, ἀλλὰ μόνον ἐκ νέας. Συνέσιος ἐν ἐπιστολῇ· ὅτι δὲ ἀρετὴν ἐκ νέας ἀσκεῖ. σὺ δὲ καὶ ἐκ νέου λέγε καὶ ἐκ παιδὸς καὶ ἐκ μειρακίου.

Εὔχομαι καὶ προσεύχομαι παρὰ τοῖς ῥήτορσιν ἀεί· εὐχὴ δὲ καὶ ἅπαξ προσευχή, ὡς ὁ Πλάτωνος λόγος Ἀλκιβιάδης ἐπιγραφόμενος ἢ περὶ προσευχῆς. συντάσσεται δὲ τὸ προσεύχομαι πρὸς δοτικήν, ἅπαξ δὲ καὶ πρὸς αἰτιατικήν. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἵνα προσεύξῃ τὸν θεόν.

---

1. ταῦτα ap. Aristid. codd., ταῦτ' vulgatum. πραότητός B.

3. Ποτήριον — κύλιξ, omissa in Edd., hic accesserunt ex RR (in Rb coniuncta cum superiore §.) GB, et ALL ex quibus p. 238. ed. Bern. et Add. post voc. Ἐκποδών, ante Ἐκτάδην afferuntur propter litterarum ordinem. B sic invertit: Ἔκπωμα — κύλιξ. ἀλλὰ πωτήριον — εἶπεν.

5. Ἀριστείδης] vol. III, p. 525. (II, 415. Df.) 6. οὕτως LbGO, Arist. οὗτος ALaBCDPF. 7. μόνον Lb.

8. Οὐδεὶς — ἡλικίας „MSS“ (OUD.) Οὐδεὶς τ. ῥ. ἐκ νέας εἶπεν ἡλικίας G. Ἐκ νέας ἡλικίας οὐδεὶς τ. ῥ. εἶπεν BEdd.

9. ἐπιστολῇ] 68. p. 217. b. δὲ om. RbB. 10. νέας GB Edd., Synes. νέου RR. δὲ καὶ LLGBO. καὶ om. ACDPF.

12. Cum superiore §. p. 142, 4. iunxere FO. προσεύχομαι Rb. δὲ om. A. 13. ἅπαξ προσευχὴ „MSS“ (OUD.) GBO. προσευχὴ ἅπαξ CDPF. ἅπαξ om. Ox. Πλατωνικὸς Ox. Πλάτων Lb. 14. ἐπιγραφόμενος minio supra scriptum in G.

16. Πλούτῳ] v. 959. 17. προσεύξητὸν D. προσεύχῃ τὸν A.

Ἐκπλήττω οὐ μόνον τὸ εἰς ἔκπληξιν ἄγω, ἀλλὰ καὶ τὸ ἐκπλήττομαι ἅπαξ. Λουκιανὸς ἐν τῷ Χάρων ἢ ἐπισκοποῦντες· ἐκπλήττειν ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ. ἔστι δὲ ἐκπλήττω καὶ τὸ ἐξιστῶ καὶ ἐκβάλλω. Εὐριπίδης ἐν Ὀρέστῃ·

ὅ μ' ἐκπλήσσει φόβου.

Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. καὶ αὖθις ἐν τῇ αὐτῇ· φόβος γὰρ μνήμην ἐκπλήσσει.

Εὑρίσκομαι οὐ μόνον ἐπὶ παθητικοῦ, ἀλλὰ καὶ ἐπὶ ἐνεργητικοῦ. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς· ἀεί τινας ἀποφυγὰς εὑρισκομένοις.

Ἐλλέβορος ἐπὶ ἀρσενικοῦ, οὐ τὸ ἐλλέβορον. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· οὐδὲ τὸν ἐλλέβορον ἀναίνομαι πιεῖν.

Ἐλπίζω οὐ μόνον τὸ προσδοκῶ, ἀλλὰ καὶ τὸ εἰς ἐλπίδας ἐμβάλλω. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· εὖ μάλα διαβουκολεῖ αὐτοὺς καὶ ἐλπίζει. Θουκυδίδης ἐν τῇ ὀγδόῃ·

---

1. Ἐκπλήττειν B. 2. Distinguebatur ἐκπλήττομαι. ἅπαξ Λουκιανὸς —. ἢ om. CD. ἐπισκοποῦντες] §. 15. vol. I, p. 512. 3. ἐκπλήττειν] ἐκπλήττει Lucianus. καὶ τὸ ὑποπτήσσειν ποιεῖν La. 4. ἐκπλήττω GB. ἐκπλήσσω Edd.

5. Ὀρέστῃ] v. 547. Pors. 6. ὃ μ' ἐκπλείονσι B. φόβου RRGBEdd. λόγου vel λέγειν Euripides. ἐκπλήσσει λόγου, ἐξίστησι μετὰ φόβου coni. Aug. Matthiae ad Orest. p. 188., ut est in scholiis p. 373. 7. δευτέρᾳ] cap. 38. ἡ τέρψις] εἰτέρψιν B. 8. λυπηρὸν] πονηρὸν Rb. καὶ — ἐκπλήσσει om. Rb. αὐτῇ] cap. 87.

11. ἁλιεύς] §. 17. vol. I, p. 588. 12. εὑρισκομενος B.

14. νεκρικοῖς] XVII, 2. vol. I, p. 407.

16. Ἐλπίζω ὡς ἐπελπίζω coni. Abreschius. τὸ om. Ra.

17. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς] Λουκιανὸς ἐν τοῖς νεκρικοῖς FO. Est V, 2. vol. I, p. 345. εὖχμαλα B. διαβουκολεῖ RRGBO. διαβουκωλεῖ CDPF. 18. ἐλπίζει] vid. ad p. 61, 13. ὀγδόῃ] cap. 1.

ὁπόσοι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν, ὡς λήψονται Σικελίαν.

Ἐπιλανθάνομαι ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσσεται· καὶ αἰτιατικῇ δὲ ἅπαξ παρὰ Λουκιανῷ ἐν τοῖς ἑταιρικοῖς· οἶσθα αὐτὸν ἢ ἐπιλέλησαι τὸν ἄνθρωπον.

Οὐ μόνον εὐπρόσοδος ἀγρὸς ὁ πολλὰς προσόδους ἔχων, καὶ εὐπρόσοδος ἄνθρωπος ὁ εὐέντευκτος, καὶ εὐπρόσοδον χωρίον τὸ ῥᾴστην εἴσοδον ἔχον, ὧν ἐναντία τὸ δυσπρόσοδος ἀγρὸς καὶ ἄνθρωπος καὶ δυσπρόσοδον χωρίον, περὶ ὧν εἴρηται ἐν τῷ δέλτα, ἀλλὰ καὶ εὐπρόσοδος πάλιν ἄνθρωπος ὁ τοῖς δεομένοις ἐπαρκῶν. Πλούταρχος· ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις καὶ τὴν οἰκίαν ἀνεωγμένην ἀεὶ παρεῖχεν.

Ἐπικαλοῦμαι οὐ μόνον τὸ πρὸς βοήθειάν τινα παρακαλῶ, ἀλλὰ καὶ τὸ ἐπονομάζομαι, ὡς παρ' Αἰσχίνῃ ἐν τῷ κατὰ Τιμάρχου· Ἀριστείδης ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Τιμάρχῳ τουτωὶ δίκαιος ἐπικαλούμενος.

Μὴ μόνον ἐπεστραμμένως λέγε, ἀλλὰ καὶ ἐπιστρεφῶς, ὡς ὁ αὐτὸς Αἰσχίνης· ὅτι καὶ μάλα ἐπιστρεφῶς καὶ

---

1. τότε] τι τότε Thucyd. ἐπήλπησαν B.

4. ἑταιρικοῖς] I, 1. vol. III, p. 280. 5. οἶσθα et ἐπιλέλησαι ALLRRGBO, Luc. οἶσθ' CDF. οἶσθ' P. ἐλέλησαι CDF. λέλησαι P.

7. Hanc §. om. GB. 11. ἐν τῷ δέλτα] p. 98.

12. Πλούταρχος] vit. Publicol. p. 99. b., ubi est: ἀεὶ παρεῖχεν ἀνεωγμένην.

15. Ἐπιβαλοῦμαι B. 16. Αἰσχίνῃ] p. 4, 23. St. (52. Rk.) 18. Τιμάρχῳ τουτοΐ δίκαιως B. δίκαιος] ὁ δίκαιος Aeschines.

20. Continuant DP. Ἐπιστραμμένως μὴ μόνον λέγε B. ὡς — ῥητορικῶς ALLRRGBCDPO. om. F. 21. Αἰσχήνης B. Est ead. orat. p. 10, 30. St. (93. Rk.)

ῥητορικῶς. καὶ μὴ μόνον ἐπισταμένως, ἀλλὰ καὶ εἰδότως, ὡς ὁ αὐτός· καὶ μάλα εἰδότως καὶ σαφῶς διδάξας δὴ ταῦτα.

Εὐφημία οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ἡ τῶν λόγων καλορρημοσύνη, ἤγουν τὸ καλοὺς καὶ πρέποντας λόγους λέγειν, ὡς ὁ αὐτὸς πάλιν· Φίλιππον νῦν μὲν διὰ τὴν τῶν λόγων εὐφημίαν ἐπαινῶ. ὡσαύτως καὶ εὐφημῶ οὐ μόνον τὸ ἐπαινῶ, ἀλλὰ καὶ τὸ καλὰ καὶ πρέποντα λέγω, ὡς Ἀριστοφάνης ἐν νεφέλαις·

εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς
εὐχῆς ὑπακούειν.

Τὸ εὐνομεῖσθαι οὐκ ἐπὶ πόλεως μόνον καλῶς καὶ ὑπὸ νόμων διοικουμένης τίθεται, ἀλλὰ καὶ ἐπὶ οἰκίας σωφρόνως καὶ ὡς δεῖ οἰκονομουμένης. Αἰσχίνης· κατιδὼν γὰρ οἰκίαν πλουσίαν καὶ οὐκ εὐνομουμένην.

Οὐ μόνον περιδέξιος, ἀλλὰ καὶ ἐπιδέξιος, ὡς ὁ αὐτός· ἐπι-

---

1. ῥητορικῶς] Proxima solus continuat B. καὶ μὴ μόνον „MSS“ (OUD.) GBCDPO. καὶ om. F. ἐπισταμένον ἀλλὰ καὶ εἰδωτος B. 2. ὁ αὐτός GBCDP. Αἰσχίνης FO. Est p. 15. St. p. 128. sq. Rk.

4. καλορρημοσύνη G. καλορριμοσύνη B. καλιρρημοσύνη Edd. καλλιέπεια E. 6. ὁ αὐτὸς πάλιν GBCDP. Αἰσχίνης FO. Est p. 24. St. (166. Rk.) νῦν μὲν] δὲ νῦν Aeschines. 7. λόγον B. καὶ] καὶ καὶ B. Ceterum proxima non continuant CDP. 8. εὐφιμῶ B. 9. ὡς ALLGBO. om. CDPF. νεφέλαις] v. 263.

12. Τὸ „MSS“ (OUD.) GCDPO. om. BF. καλῶς καὶ ὑπὸ νόμων ARbO. καλῶς καὶ om. CDPF. καλῶς καὶ ὑπὸ νόμω Ra. καλῶς καὶ ὑπὸ νόμον LLGB. „καὶ ὑπὸ ν. Ox.“ 13. διοικουμένης RaGEdd. διοικουμένων ARb. διοικουμένης (ω supra) B. τίθεται] τάττεται Lb. σωφρόνος D. 14. Αἰσχίνης] p. 24. St. 167. Rk. 15. οἰκίαν om. B.

17. Ἐπιδέξιος. οὐ μόνον περιδέξιος. ὡς — B. ὁ αὐτός GBCDP. Αἰσχίνης FO. Est p. 25. St. 172. Rk.

δέξιοι δ' οἶμαι φύντες ἑτέρων μᾶλλον. καὶ πάλιν· τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος.

Ἐπιψηφίζω ἐγὼ τοῖς παροῦσιν ἀντὶ τοῦ ἐπιβεβαιῶ· καὶ ἐπιψηφίζω ἕτερον ἀντὶ τοῦ μάρτυρα ἐφ' οἷς λέγω καλῶ. Πλάτων ἐν Γοργίᾳ· μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἕνα ἐπιψηφίζειν ἐπίσταμαι.

Ἑταιρότερος οὐχ εὕρηται, ἐμοὶ δοκεῖν διὰ τὸ οὐκ εὔφωνον. ἑταιρότατος δὲ ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ταῦτα ἐμοὶ συμβουλεύοντος, ἅπερ τοῖς σαυτοῦ ἑταιροτάτοις. καὶ ἐν Φαίδωνι· οὓς ἂν ἡγήσαιτο οἰκειοτάτους τε καὶ ἑταιροτάτους.

Ἔνστασις οὐ μόνον τὸ ἐνίστασθαι πρὸς τὸν τοῦ κατηγόρου λόγον, ἤγουν μάχεσθαι καὶ ἀντιπίπτειν καὶ τἀναντία ἀντικατασκευάζειν, ἀλλὰ καὶ τὸ διατιθέναι καὶ οἰκονομεῖν, ὡς ὁ αὐτὸς Αἰσχίνης· ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων. καὶ ἐνεστησάμην τὸν ἀγῶνα ἀντὶ τοῦ διέθηκα καὶ ᾠκονόμησα.

---

1. ἐπιδέξιος La. 2. πάλιν] p. 34, St. 229. Rk. τῆς GB Edd. τοῖς LL, ut olim ap. Aeschinem. ἐπιδεξιωτάτοις La.

3. ἐγὼ om. Ra. ἐπιβεβαιῶ — ἀντὶ τοῦ om. B. 4. ἀντὶ τοῦ ALLRRGO. καὶ ἀντὶ τοῦ CDPF. 5. Γοργίᾳ] p. 474. a. μηδὲ FO. μὴ δὲ GBCDP. 6. ἐπιψηφίζειν „MSS" (OUD.) GBCDPO. ἐπιψηφίσειν F. 7. λόγῳ] item p. 474. a.

αι
8. Ἑτερότερος G. ἑταιρότητος Rb. εὔφονον F. 9. ὁ αὐτὸς — λόγῳ GBCDP. Πλάτων ἐν Γοργίᾳ FO. Est p. 487. d. 10. σαυτοῦ ALLRRGO. αὐτοῦ BCDPF. 11. Φαίδωνι] p.
αι
89. d. ἡγήσαιτο ALLRRGBO. ἡγήσατο CDPF. 12. ἑτεροτάτους G.

16. ὡς ὁ αὐτὸς Αἰσχίνης G. ὡς αὐτὸς Αἰσχίνης LaB. ὡς ὁ Αἰχίνης Edd. Est p. 80. St. 204. Rk. τοί νῦν B. 17. πραγμάτον B. 18. διέθη καὶ οἰκονόμησα B.

Οὐ μόνον διαδοχὴ, ἀλλὰ καὶ ἐκδοχὴ, ὡς ὁ αὐτός· τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου.

Εὐστομεῖν ἀντὶ τοῦ εὐγλωττεῖν καὶ ἀντὶ τοῦ εὐφημεῖν. εὔστομα κείσθω παρ' Ἡροδότῳ ἀντὶ τοῦ εὐφήμως εἰρήσθω.

*Ἐροίην ἀντὶ τοῦ λέξοιμι. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· ****

Ἐρευνῶμαι κάλλιον ἢ ἐρευνῶ. ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἡ διερευνωμένη νοῦν τε ἔχοντα καταμαθοῦσα τὸν φόβον.

Ἐλπὶς ἐπὶ καλοῦ, προσδοκία καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. Συνέσιος ἐν τῇ Αἱ κακοποιοὶ δυνάμεις ἐπιστολῇ· ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων. ἅπαξ δὲ ἡ ἐλπὶς καὶ ἐπὶ κακοῦ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· ἐμοὶ δὲ ἡ τῶν δεινῶν ἐλπὶς ἧττον εἶναι κακὸν τοιαύτης εὐχῆς ἐφαίνετο.

Εὔγνωμον μὴ λέγε, ὡς εὔδαιμον, ἀλλ' εὐγνῶμον· ἄγνωμον δὲ

---

1. *Ἐκδοχῇ οὐ μόνον διαδοχή* B. *ἐκδοχὴ*] *ἐκδιαδοχή* La. *ὁ αὐτός* „*MSS*" (*OUD.*) GBCDP. *Αἰσχίνης* FO. Est p. 82. St. 215. Rk.

4. *εὐαγλωττεῖν* B. 5. *παρ' Ἡροδότος* B. Est II, cap. 171.

7. *λέξοιμι* ALaRRGB, Phav. p. 313. a. *λέξαιμι* Edd. *τῷ* ALLGBO, Phav. *τῇ* CDPF. *ἑαυτοῦ*] *αὐτοῦ* B. 8. *τύχης*] vol. II, p. 31. (I, p. 63. init. Rk.): *ἀλλ' ἐξήρκει γενέσθαι δῆλον, ὡς ἐροίην*: quorum defectum significavi.

9. *ἐν τῷ αὐτῷ λόγῳ* „*A cum ceteris MSS.*" (*OUD.*) GCDP. *αὐτῷ* om. B. *ἐν τῷ* (*τῇ* F) *περὶ τῆς ἑαυτοῦ τύχης* FO. Est vol. II, p. 46. (I, p. 93, 13. Rk.) 10. *ἡ* RbGCP. *ἥ* DFO. *ἤ* B.

13. *ἐν τῇ — ἐπιστολῇ* accesserunt ex RaB. Est ep. 57. p. 195. a. 15. *Λιβάνιος*] vol. II, p. 56. (I, p. 115, 2. Rk.) 16. *τύχῃ* P. 17. *τοιαύτης*] *τοινάντης* B.

18. *Εὔγνωμον*] *εὔγνωμων* Rb. *εὔδαιμων* Rb. *εὐγνῶμον*] *εὐγνώμον* B.

δὲ καὶ σύγγνωμον. Λουκιανὸς ἐν τῷ δὶς κατηγορούμενος· ἄγνωμον γὰρ ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν. Θουκυδίδης· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. εὐγνῶμον δὲ ἀνθρώπιον ὁ αὐτός φησιν.

Οὐ μόνον ἐπιθαλάττιον, ἀλλὰ καὶ ἐπιθαλαττίδιον. Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ· πόλιν γὰρ ἐπιθαλαττίδιον ναυτικῆς ἀπειροκαλίας ἀνάγκη γέμειν.

Ἑλληνίζω οὐ μόνον ἐγώ, ἀλλὰ καὶ ἄλλον Ἑλληνικῶς ἔχειν ποιῶ, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἑλληνίζων διετέλεσε τὴν βάρβαρον.

Οὐ μόνον ἐκτάδην, ἀλλὰ καὶ ἐκταδόν, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ· ἐκταδὸν οὕτω στοαὶ τῶν οἰκιῶν προκείμεναι.

Ἐπιτρέπει οὐ μόνον ὁ μείζων τῷ ἐλάττονι, ἀλλὰ καὶ τὸ ἐναντίον. Θουκυδίδης ἐν τῇ πρώτῃ· ἤθελον δὲ καὶ τῷ ἐν Δελφοῖς μαντείῳ ἐπιτρέψαι. Ἀριστείδης ἐν

---

1. δὲ om. B, Phav. p. 323. c. Λουκιανὸς] §. 29. vol. II, p. 828. κατηγωρούμενος F. 3. ἀκονᾶν om. A. ἀκοναν B. Θουκυδίδης] III, cap. 40. init. σύγγνωμον Rb. δ' ἐστὶ G, FO ex Thuc. δὲ ἐστὶ B. δὲ CDP. 4. ἑκούσιον La. εὐγνῶμον Phavorinus. ἀγνῶμον GBCDP. ἄγνωμον FO. ἀνθρώπιον Phavor. ἀνθρώπειον coni. Oudendorpius. Turbata plura videntur: nec enim proxima exstant apud Thucydidem. 5. φάσι B.

6. Ἐπιθάλαττιον οὐ μόνον B. 7. Ἀντιοχικῷ] Ἀντικωοχιω B. Est vol. II, p. 339. (I, p. 286, 4. Rk.)

10. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ λόγῳ „MSS." (OUD.) GBCDP. ὡς (om. F) Λιβάνιος ἐν τῷ Ἀντιοχικῷ FO. Eaedem prorsus discrepantiae l. 12. redeunt. Θουκυδίδης hic Phav. p. 257. b. Est Liban. vol. II, p. 351. (I, p. 305, 1. Rk.) 11. τὴν] τῶν P.

12. Ἐκτάδην οὐ μόνον B. ὁ om. B. 13. λόγῳ] p. 375. (343, 8. Rk.)

15. μεῖζον et ἐλάττωνι B. 16. πρώτῃ] cap. 28. δὲ om. Ra. τῷ] τὸν Ra. 17. Δελφοῖς C. Ἀριστείδης] vol. II. p. 375. (I, 824. Df.)

τῷ Ῥοδίοις περὶ ὁμονοίας· ὑπὲρ μὲν τῶν κατ' ἐμαυτὸν τοῖς θεοῖς ἐπιτρέπων.

Εὔνοια καὶ ἀπὸ τοῦ ἐλάττονος πρὸς μείζονα καὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα, εὐμένεια δὲ ἀεὶ ἀπὸ τοῦ μείζονος πρὸς ἐλάττονα· εὕρηται δὲ καὶ τὸ ἐναντίον. Αἰσχύλος ἐν τοῖς Πέρσαις·

εὐμενεῖς δ' ἡμᾶς καλεῖς.

Θουκυδίδης ἐν τῇ πέμπτῃ· τῆς πρὸς τὸ θεῖον εὐμενείας. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· μὴ παντάπασιν ἔχειν εὐμενῶς τοῖς δεσπόταις.

Ἑρμογλύφος καὶ ἑρμογλυφεύς, οὐ λιθοξόος. Λουκιανὸς ἐν τῷ περὶ τοῦ ἐνυπνίου· ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· λίθων ἐργάτην ἀγαθὸν εἶναι καὶ συναρμοστὴν καὶ ἑρμογλυφέα.

Ἐνδεδυκὼς ὁ ἐνδεδυμένος, οὐχ ὁ ἐνδύσας. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· οὐκ ἔτι τὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα.

---

1. *μὲν* om. La. 2. *ἐπιτρέπω* GB,O ex Aristide. *ἐπιτρέπων* CDPF.

Ἔννοια B. *πρὸς μείζονα* „*MSS*" (*OUD.*) GB. *εἰς μείζονα* A. *πρὸς τὸν μείζονα* Edd. *τοῦ μείζονος*] *τοῦ* om. B. 4. *εὐμένοια* CDP. 6. *ἐν*] *ἐξ* P. *Πέρσαις*] v. 175. Truncavit poetae verba. 7. *εὐμενῆς* La. 8. *πέμπτῃ*] cap. 105. *τῆς*] *μὲν τοίνυν* omisit grammaticus. 9. *Ἀριστείδης*] vol. II, p. 14. (I, 560. Df.) 10. *μὴ* ALaRRGBO. *καὶ* CDPF.

12. *οὐ*] *ὁ* coni. Oudendorpius *Λουκιανὸς*] §. 2. p. 3. extr. Proxima Luciani *καὶ λιθοξόος* non potest in suo codice Thomas legisse. 14. *αὐτῷ* om. B. *λόγῳ*] p. 4. 15. *λίθον* Rb.

17. *ἐδεδυμένης* B. *ὁ αὐτὸς — αὐτῷ* GBCDP. *Λουκιανὸς ἐν τῷ περὶ τοῦ ἐνυπνίου* FO. Est §. 16. p. 21. *αὐτὸς*] *ἀντὶ* B.

18. *ουκε* [*τι*] *τὴν ἐσθαῖτα* [*η*] B.

καὶ αὖθις ἐν τῷ δὶς κατηγορούμενος· κάνδυν ἐνδεδυκότα ἐς τὸν Ἀσσύριον τρόπον.

Ἐπιδρομή οὐ μόνον ἡ καταδρομή, ἀλλὰ καὶ ἡ συνδρομή. ὁ αὐτὸς ἐν τῷ Δημοσθένους ἐγκωμίῳ· καὶ μυρίαι γεγόνασιν αὐτοῖς ἐπὶ ταυτὸν τῆς διανοίας ἐπιδρομαί.

Ἐφιέμενος καὶ ὁ ὀρεγόμενος καὶ ὁ ἐντελλόμενος καὶ ὁ πέμπων. Θουκυδίδης ἐν τῇ πρώτῃ· ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. καὶ αὖθις ἐν τῇ τετάρτῃ· ὁ δὲ ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευεν.

Ἀπὸ τοῦ ἐνδοιάζω τὸ ἀμφιβάλλω καὶ ἐνδοιαστῶς ἀντὶ τοῦ ἀμφιβόλως. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· καὶ ἄλλοι τινὲς κατὰ τὰς ἠπείρους ἐνδοιαστῶς ἀκροῶνται.

Καὶ δοχή καὶ ἐπιδοχή. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ῥαδίας ἔχουσι τῶν πολιτειῶν τὰς μεταβολὰς καὶ ἐπιδοχάς.

---

1. *αὖθις*] *αὐτὸς* B. *κατηγορούμενος*] §. 27. vol. II, p. 824. *κάνδην* B. 2. *Ἀσσύριον* BPFO. *ἀσύριον* GCD.

3. *οὐ μόνον* ALaRRGB. om. Edd. 4. *ὁ αὐτὸς* GBCDP. *Λουκιανὸς* FO. *ἐγκωμίῳ*] §. 5. vol. III, p. 495. *μυρίαι* RRG BCDPO. *κυρίαι* F. 5. *αὐτοῖς*] *αὖθις αὐτοῖς* Lucianus.

8. *πρώτῃ*] cap. 128. 9. *τετάρτῃ*] cap. 108. extr. *ἐς* ALaGB. *εἰς* Edd.

12. Continuant DB. *Ἀπὸ τοῦ* om. Ox. *ἀμβιβάλλω* et *ἀμβιβόλως* B. 13. *ὁ αὐτὸς* „*MSS*“ (*OUD.*) GBCDPO (in qua praecessit *Ἐνδέχεται.*) *Θουκυδίδης* F. *ἕκτῃ*] cap. 10.
14. *τὰς*] *τοὺς* „*MS.*“?

15. *Καὶ* om. B. *ὁ αὐτὸς* „*MSS*“ (*OUD.*) GBCDPO (praecessit enim *Ἐπίδοξος.*) *Θουκυδίδης* F. *αὐτῇ* GBCDP. *ἕκτῃ* FO. Est cap. 17. init. *ῥαδίως* Ox. *ῥαδίαν* A.

Οὐ μόνον συμμαχῶ, ἀλλὰ καὶ ἐπιμαχῶ· καὶ συμμαχία καὶ ἐπιμαχία. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· πρὸς Ἀργείους ξυμμαχίαν ποιεῖσθαι, ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν.

Ὥσπερ ἐξερῶ τὸ ἀκριβῶς λέξω, οὕτω καὶ ἐξερήσομαι τὸ ἀκριβῶς ἐρωτήσω. Ἀριστείδης ἐν Λευκτρικῷ πέμπτῳ· ἐξερήσομαι δὲ τοὺς ὑπὲρ ἑκατέρων εἰρηκότας.

Ἐπίνικος Ἀττικοὶ, ἐπινίκιος Ἕλληνες. Ἀριστείδης ἐν τῷ περὶ τοῦ παραφθέγματος· ὥσπερ [αὐτὸς] αὐτῷ τὸν ἐπίνικον ποιῶν. Λιβάνιος ἐν τῷ εἰς τὸν Ἰουλιανὸν ἐπιταφίῳ· καθήμενον ἐπὶ τοῦ βασιλείου θρόνου δέχεσθαι τοὺς ἐπινίκους. τίθεται δὲ τὸ μὲν ἐπινίκιος καὶ μετὰ προσθήκης καὶ

1—4. ALLRRGBOxCDPO. om. F. 2. ὁ αὐτὸς RR. *Θουκυδίδης* GBEdd. *πέμπτῃ*] cap. 27. *Ἀργείους* RbGBEdd. *Ἀργείας* Ra. 3. *ξυμμαχίαν* GBEdd. *ξυμμαχίας* RR.

5. *ἐξαιρῶ* Rb. *λέξω* ALLRRGO. *λέγω* CDPF. *λέξω — ἀκριβῶς* om. B. *ἐξαιρήσομαι* Rb. 6. *Λευκτρικῷ* GB. *Λευκτρικῶν* Edd. Vid. ad p. 70, 21. *πέμπτῳ*] vol. II, p. 210. (I, 703. Df.) 7. *δὲ* om. G, *τοὺς — εἰρηκότας* in marg. scripta habet. *ὑπὲρ* „*MSS*" (*OUD.*) BO, Aristides. *ὑπὸ* CDPF. *ἑκατέρον* B.

9—2. *Ἐπίνικος* (*ἐπίκινος* B) *Ἀττικοὶ — οὐδέποτε μετὰ προσθήκης* ALLRbGB. *Οὐ μόνον ἐπινίκιος, ἀλλὰ καὶ ἐπίνικος. ἰστέον δὲ, ὅτι* (*ἔτι* P) *τὸ μὲν ἐπινίκιος, καὶ μετὰ προσθήκης, καὶ χωρὶς προσθήκης λέγεται, οἷον ἐπινίκιος λόγος, καὶ ἁπλῶς ἐπινίκιος. τὸ δὲ ἐπίνικος οὐδέποτε μετὰ προσθήκης. Ἀριστείδης — δέχεσθαι τοὺς ἐπινίκους* CDPFO, et priora usque ad *τοῦ παραφθέγματος* Ra. *Ἀριστείδης*] vol. III, p. 633. (II, 502. Df.) 10. *αὐτὸς αὐτῷ* scripsisse Thomas videtur. *αὐτὸς* CDPF. *αὐτῷ* ARbGB. *αὐτῷ* O, Aristides. *ἐν τῷ αὐτῷ* La. 11. *ἐπίνικον* Edd., duo Laurentiani Aristidis. *ἐπίκινον* B. *ἐπινίκιον* G, Aristides ante Dindorfium: prob. Oudend. *Λιβάνιος*] vol. II, p. 260. (I, p. 522, 4. Rk.) 13. *ἐπινίκους* GEdd., contra Oudendorpium defensum ab Schaefero ad Gregor. Cor. p. 539. *ἐπινείκους* Ox. *ἐπικίνους* B. *ἐπινικίους* A, Libanius. 14. et p. 165, 1. 2. *προσθήκης* ex Rb ter

χωρὶς προσθήκης, οἷον ἐπινίκιος λόγος καὶ ἐπινίκιος μόνον· τὸ δὲ ἐπίνικος οὐδέποτε μετὰ προσθήκης.

[Εὐθές τὸ ἀληθές παρὰ μόνῃ τῇ θείᾳ γραφῇ εὕρηται ἀπό τινος ἀρσενικῆς εὐθείας διὰ τοῦ η γραφομένης· παρὰ οὐδενὶ δὲ τῶν Ἑλλήνων εὕροις ἄν, ἀλλ' εὐθὺ τὸ ἐναντίον τοῦ σκαμβοῦ. ὡς γὰρ ὀξύς ὀξέος ὀξύ, καὶ ἡδύς ἡδέος ἡδύ, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ διὰ τοῦ υ ψιλοῦ εὐθύς εὐθέος εὐθύ.]

[Τὸ ἕως ἂν καὶ μέχρις ἂν ὑποτακτικῷ ἀεὶ συντάσσονται· ἅπαξ δὲ καὶ εὐκτικῷ, ὡς ἐν τῷ περὶ στεφάνου Δημοσθένους λόγῳ· ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐπρεπεῖς ποιήσαιτο.]

Z.

Ζῶμα ἡ ζώνη, οὐ ζῶσμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

καὶ ζῶμα τοὐμὸν οὐ χλιδαῖς ἠσκημένον.

καὶ Θουκυδίδης· διαζώματ' ἔχοντες περὶ τὰ αἰδοῖα οἱ ἀθληταὶ ἠγωνίζοντο.

Ζητήσομαι, οὐ ζητήσω.

---

affert Stoeberus. 1. *καὶ χωρὶς προσθήκης* om. Lb. 2. *ἐπίνικος*] *ἐπίκινος* B.

3—8. *Εὐθὲς — εὐθέος, εὐθύ* Ra(Ox?) Edd. om. ALLRbGB. 4. *ἀπό τινος ἀρσενικῆς* RaOx. *ἀπὸ τῆς ὁ εὐθὴς ἀρσενικῆς* Edd. *τοῦ* RaCDPO. *τοῦτ* F. 6. *ὀξέος* FO. *ὀξέως* CDP. 7. *ἡδέος* Edd. *ἡδέως* Ra. 8. *εὐθέος* Edd. *εὐθέως* Ra.

9—12. *Τὸ ἕως ἂν — ποιήσαιτο* ex solo Ra accesserunt, in quo est *ὑποτακτικὰ* et *εὐκτικά*. 11. *λόγῳ*] p. 236. Rk., ubi est *εὐπρεπῆ* et ap. Bekk. *ἕως τά*.

13. *ζώνη*] *ζών* B. *Ἠλέκτρᾳ*] v. 452. 14. *τοὐμὸν*] *τὸ οὐμὸν* B. *ἠσκημένον* P. 15. *Θουκυδίδης*] I, cap. 6. *διαζώματ'* ALaRbGC. *διάζωμά τ'* DP. *διαζώματα* B, FO ex Thucyd. *περὶ*] *παρὰ* GB.

17. B in margine: *οὐχ ἀΐδειν*. (Num *αἰτεῖν*?)

Ζηλῶ Ἀττικοὶ λέγουσιν, οὐ ζηλοτυπῶ, ὡς τὸ

ζηλοῖ δέ τε γείτονα γείτων

παρ' Ἡσιόδῳ. ἔστι δὲ τὸ ζηλῶ καὶ ἀντὶ τοῦ μιμοῦμαι, ἀφ' οὗ καὶ ζῆλος καὶ ζηλωτὴς καὶ ζήλωσις. ἐκ μέντοι τοῦ ζηλῶ τὸ ζηλοτυπῶ οὐ ζῆλος καὶ ζηλωτὴς, ἀλλ' ὡς ἀπὸ τοῦ ζηλοτυπῶ ζηλοτυπία καὶ ζηλότυπος. [Ἀριστοφάνης ἐν Πλούτῳ·

οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.]

ζηλῶ καὶ τὸ πάσχω ὑπέρ τινος ἀδικουμένου ἢ ἀδίκου γινομένου· καὶ ζῆλος, ὅθεν φαμὲν καὶ ζήλου τὴν ψυχὴν ἐπλήσθην· καὶ ζηλωτής. ζηλῶ καὶ τὸ μακαρίζω ἀπὸ αἰτιατικῆς εἰς γενικὴν συντασσόμενον, ὡς τὸ

ζηλῶ σε τοῦ νοῦ

παρὰ Σοφοκλεῖ· καὶ ζῆλος, ὡς Δημοσθένης· καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἦν ἡ πόλις μεστή· καὶ ζηλωτὸς ὁ μακαριστός.

---

3. *Ἡσιόδῳ*] Op. et D. v. 23. *ζηλῶ*] *ζηλοῖ* B. 4. *τοῦ ζηλῶ*] *τὸ ζηλῶ* P. 5. *τὸ ζηλοτυπῶ* ALLG. *τοῦ ζηλοτυπῶ* B Edd. Cf. p. 163, 12. al. *οὐ ζῆλος — ἀπὸ τοῦ ζηλοτυπῶ* om. B. *ἀλλ' ὡς* GEdd. *ἀλλὰ ὡς* „*MSS*" (*OUD.*) *ἀλλὰ καὶ ὡς* Ra. 6. *Ἀριστοφάνης — νεανίσκος ἦν* Edd. om. ALLGB. 7. *ἐν Πλούτῳ* om. Rb. „*Exemplum om. Ra, citato tamen poeta.*" *STOEB.* Est v. 1017. 10. *ἀδικουμένου ἢ ἀδίκου γινομένου* ARb. *ἀδίκου γινομένου* (*γενομένου* Lb) LLGB. *ἀδίκως γινομένου* Edd.

11. *ζήλου*] *ζηλου* BF. *ζῆλου* O. 12. *ἐπλήσθην* ALLGBO. *ἐμπλήσθην* CDPF. *ἐνεπλήσθην* vel *ἐμπλησθέν* coni. Wolfius.

14. *νοῦ* ALLRRGBCDFO, quod nec Valckenarium fugit ad Ammon. p. 65. *νοοῦ* F. 15. *Σοφοκλεῖ*] Electr. v. 1027. *Δημοσθένης*] de cor. p. 300, 23., ubi *ἡ πόλις ἦν* Bekkerus. 16. *χαρὰς* DP. *χαρῆς* B. 17. *ζηλοντος* B. Exc. Guelf. sic: *Ζῆλος σημαίνει τήν τε τοῦ νοῦ διέγερσιν ἐπὶ τὰ κακά· καὶ τὸν φθόνον. ζηλῶ γὰρ τό τε μιμοῦμαι καὶ τὸ φθονῶ. ἀφ' οὗ ζηλοτυπῶ.* Επ. ῥ.: *Ζηλῶ τὸ φθονῶ καὶ ζηλῶ τὸ μακαρίζω καὶ ζηλῶ τὸ μιμοῦμαι.* Cf. Moschop. Syll. f. 145. b.

Ζωννύς, οὐ ζωννύω.

Ζωπυρῶ, οὐ πυρός τι ἀποκρύπτω· ἀφ' οὗ καὶ ζώπυρον. Λουκιανὸς ἐν Τίμωνι· ζώπυρον τοῦ ἀνθρωπείου γένους, ἤγουν ὑπόλειμμα. εἴληφε δὲ [καὶ] τοῦτο ἐκ τοῦ Πλάτωνος λέγοντος· μικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων γένους.

Ζυγός ἀρσενικῶς ἐπὶ ἁμάξης, ἐπὶ δὲ σταθμοῦ οὐ ζυγός, ἀλλὰ τὰ ζυγά οὐδετέρως πληθυντικῶς· τὸ γὰρ ζυγόν ἀδόκιμον.

Ζώνιον κυρίως ἐπὶ γυναικός. Πλούταρχος ἐν συμποσίῳ τῶν ἑπτὰ σοφῶν· καὶ διαπλέκουσαν ὥσπερ ζώνια καὶ κεκρυφάλους προβάλλειν ταῖς γυναιξί. ζώνη δὲ ἐπὶ ἀνδρός, καὶ ἐπὶ γυναικὸς δὲ καταχρηστικῶς. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· λυσαμένη τὴν ζώνην ἐν Ζωστῆρι τῆς Ἀττικῆς.

---

1. *οὐ*] *ὁ* Ra.

2. *οὐ*] *τὸ* Ra man. sec.: idem coni. Wolfius. *τοῦ* Iun. *ἀποκρύπτω* A. 3. *Λουκιανὸς ἐν Τίμωνι* om. Ra. *ἐν*] *ἐν τῇ* B. *Τίμωνι*] §. 3. vol. I, p. 105. *ζώπυρον τοῦ*] *ζώπυρόν τι τοῦ* FO. *τι* om. ALaGB (in quo est *ἐώπυρον*) CDP, Phav. p. 343. c, Lucianus. *ἀνθρωπείου* A., *MSS*.. (*OUD.*) GBCDP. *ἀνθρωπίνου* FO ex Luciano, Phav. *γένους* A., *MSS*..RRGBCDPO, Phav., Lucian. *σπέρματος* F. Exc. Guelf. sic: *ζώπυρον τὸ ὑπόλειμμά τινος οἷον σπέρμα.* *δὲ καὶ τοῦτο* G. *δὲ τοῦτο* ALaRROxO. *δὲ τὸ* B. *τοῦτο* CDPF. 5. *Πλάτωνος*] de leg. III, p. 677. b., ubi est *σμικρὰ* et *γένους διεσωσμένα* vel *διεσωσμένα γένους*.

7. *ἁμάξης* CDP. *οὐ ζυγὸς* (*ζυκὸς* P) *ἀλλὰ*] *τὸ ζυγός, ἀφ' οὗ* coni. Oudendorpius. 8. *πληθυντικὸς* B. *γὰρ* ALLGBO. om. CDPF.

10. *κυρίως* ALLRRGOxCDPO. *κύριον* B. *ἀρσενικῶς* F, unde *οὐδετέρως* Abreschius, Hudsonus ad Moer. p. 169. Piers., Wesselingius Obss. p. 133. Verum viderat Valckenarius ad Ammon. p. 66. *Πλούταρχος*] vol. II, p. 154. b. 11. *ὥσπερ*] *ἑταῖραι* add. Plutarchus, om. RRGBEdd. 12. *προβάλλειν* ALaRRGBO. *προσβάλλειν* CDPF. *γυναιξὶν* La. 13. *ζώνη* A., *MSS*..RRGBO. *ζώνην* CDPF. *ἀνδρῶν* Lb. 14. *Παναθηναϊκῷ*] vol. I, p. 169. (I, 157. Df.)

Ζωνιοπλόκος, οὐ ζωνοπλόκος, διὰ τὸ ὡς ἐπιτοπλεῖστον οἶμαι τὰ τῶν γυναικῶν ζώνια εἶναι πεπλεγμένα.

Ζάκορος καὶ νεωκόρος διαφέρει· ὁ γὰρ ζάκορος σεμνότερόν τι ἦν νεωκόρου.

Ζάπλουτος κάλλιον ἢ μεγαλόπλουτος. οὐ μόνον δὲ ζάπλουτος, ἀλλὰ καὶ ζάχρυσος. *Λιβάνιος* ἐν τῷ Ἀντιοχικῷ· οὐ μὲν ἀμαθὴς ἡ βουλὴ, κἂν πάνυ ζάχρυσος ῇ.

Οὐ δεῖ λέγειν περὶ φίλου, ὡς πρὸς τὸν δεῖνα περὶ τοῦδέ τινος ἐξυγομάχουν, ἀλλὰ ἠμφισβήτουν καὶ ἤριζον καὶ ἐφιλονείκουν· τὸ γὰρ ἐξυγομάχουν ἐπὶ ἐχθροῦ λαμβάνεται. ὡσαύτως καὶ τὸ ἐδικαζόμην, οἷον ἐδικαζόμην τῷ δεῖνι περὶ τοῦδε.

Ζεῦγμα καὶ τὸ ζευγνύον δύο τινὰ καὶ αὐτὸ τὸ ζεῦγος. γίνεται δὲ ἀπὸ τοῦ ἔζευγμαι, οὗ τὸ θέμα ἐστὶ τὸ ζεύγω, οὐκ ἐν χρήσει ὄν· ἀντ᾽ αὐτοῦ γὰρ τὸ ζεύγνυμι.

Ζευγνύασι κάλλιον ἢ ζευγνῦσι· τὸ δὲ ζευγνύουσι κοινόν. ὡσαύτως καὶ κτιννύασιν ἢ κτιννῦσι. *Πλάτων* ἐν Γορ-

---

1. ἐπιτοπλεῖστον LbGCDP. ἐπὶ τὸ πλεῖστον BFO. 2. γυναικαῖν B.

3. νεωκόρος GFO. νεοκόρος BCDP. 4. νεωκόρου GBFO. νεοκόρου CDP.

5. Ἀντιοχικῷ] vol. II. p. 359. (I, p. 318, 2. Rk.) οὐ] οὐ B. 7. κἂν LLRRGBCDPO. καὶ F. ῇ] ἦν B.

8. περὶ φίλου RRGB. περὶ τοῦ φίλου Edd. τοῦδέ] τοῦ δέ GBEdd. 9. ἀλλὰ] ἀλλ᾽ B. ἀλλὰ καὶ La. ἀλλὰ — ἐξυγομάχουν (l. 10.) om. Ra (hab. Rb.) 10. ἐπὶ ἐχθροῦ Edd. ἐπὶ ἐχθρῶν LaG. καὶ ἐπὶ ἐχθροῦ B. 11. ὡσαύτως — περὶ τοῦδε om. Ra. (hab. Rb.)

13—15, sumpta ex Moschop. Syll. f. 145. b., om. G. 14. ἔζευμαι B. οὗ τὸ θέμα Rb, Mosch. οὗ θέμα BEdd. 15. ἀντ᾽ αὐτοῦ] ἂν τ᾽αὐτοῦ οὐ B. ζεύγνυμαι B.

16. ζευγνῦσι] ζευγνῦσιν B. ζεύγνυσι RR. 17. κτιννύασιν Edd. κτινύασιν B. κτεννύασιν Rb. κτιννύουσιν Lb. κτινύουσιν G. Phav. p. 340. c. Cf. ad p. 12, 8. κτιννῦσι LLGB. κτινῦσι Phav. „*In A scribitur hoc verbum semper unico ν.*“ (*OUD. ADD.*) κτιννῦσιν Edd. Γοργίᾳ] p. 466. c.

γίᾳ· τί δ'; οὐχ ὥσπερ οἱ τύραννοι ἀποκτιννύασί τε, ὃν ἂν βούλωνται; καὶ δεικνύασιν ἢ δεικνῦσιν. Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· ἐπεάν σφι κομισθῇ νεκρός, δεικνύασι τοῖσι κομίσασιν.

H.

Ἥρω Ἀττικοί, οὐχ ἥρωα, καὶ ἥρως ἐπὶ αἰτιατικῆς τῶν πληθυντικῶν, καὶ οὐχ ἥρωας· ἥρωες δέ, οὐχ ἥρως· [εἰ καὶ] ἅπαξ Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου βιασθεὶς οἱ ἥρως εἶπε· τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.

Ἥδυσμα, οὐκ ἄρτυμα.

Ἥκω καὶ ἀντὶ τοῦ ἔρχομαι, ὡς Αἰσχύλος·

ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι.

καὶ ἀντὶ τοῦ ἦλθον, ὡς τό·

---

1. ἀποκτιννύασί G. ἀποκτειννυασί B. ἀποκτιννύουσι olim Plato. 2. δεικνύασιν ALLRRGBO. δεικνύουσιν CDPF, Phav. 3. ἢ δεικνῦσιν] ἢ δεικνύσιν B. δευτέρᾳ] cap. 86. ἐπεὰν σφικομισθῇ DP. 4. δεικνύουσι olim Herod. δεκνύασι B. τοῖς ἰκομίσασιν B.

6. οὐχ ἥρωα] ὥσ ἥρωα B. 7. καὶ οὐχ ἥρωας Philem. p. 65., Phavor. 858. b. οὐχ ἥρωας Edd. om. LL, Phrynich. p. 158. καὶ ἥρωας AGB, probatum Oudendorpio in Add. 8. εἰ καὶ Edd., Phav., Phil. om. ALLGB, Phryn. Seclusimus igitur: nisi forte huc spectet additum illud καὶ ante οὐχ ἥρωας. Cf. p. 55, 11. Ἀριστοφάνης] ὁ ποιητὴς Phav., Phil. Vid. Dindorf. fragm. p. 134. 9. τῷ δ' ἠναγκασμένῳ] vid. Lobeck. ad. Phryn. p. 158.

11. καὶ ἀντὶ τοῦ LaRRGBO. καὶ om. CDPF. καὶ et τοῦ om. A. Αἰσχύλος] Choeph. v. 3. 14. τὸ om. B.

ἥκω νεκρῶν κευθμῶνα [καὶ σκότου πύλας]
λιπὼν

παρ᾽ Εὐριπίδῃ ἐν Ἑκάβῃ. καὶ Λιβάνιος [δὲ] ἐν μελέτῃ τῇ τοῦ ῥήτορος· ἥκω τοὺς ἐπιόντας ἐχθροὺς μόνος ὠθήσας τῇ γλώττῃ. οὕτως Ἀττικοὶ τῷ ἐνεστῶτι ἀντὶ [τοῦ] παρῳχημένου χρῶνται· τὸ δὲ ἧκον κοινότερον.

Ἠφίει, οὐκ ἀφίει.

Ἦσθα οὐκ ἀντὶ τοῦ ὑπάρχεις, ἀλλ᾽ ἀντὶ τοῦ ὑπῆρχες. Σοφοκλῆς·

οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν.

καὶ ἁπλῶς πάντες οἱ δοκιμώτατιο ἐπὶ παρῳχημένου τοῦτο λέγουσιν, ὥστε οἱ ἀντὶ ἐνεστῶτος χρώμενοι ἁμαρτάνουσι.

Ἤμελλον Ἀττικοὶ, οὐκ ἔμελλον.

Ἠρόμην, οὐκ ἠρώτησα.

Ἠχὴ καὶ ἠχὼ, οὐκ ἦχος. Συνέσιος ἐν ἐπιστολῇ· ἡ θαυμαστή σου τῶν ἱερῶν λόγων ἠχώ.

---

1. ἥκω bis B. κεθμῶνα CD. καὶ σκότου πύλας Edd. om. LLRaGB. 4. παρ᾽ GBFO. παρὰ CDP. εὐρηπίδη B. ἐν Ἑκάβῃ om. A. καὶ om. B. δὲ om. ARR, recte opinor. ἐν — ῥήτορος om. Ra. 5. μελέτῃ] vol. I, p. 703. (IV, p. 514. Rk.) 6. ἐχθροὺς] χοροὺς La. μόνος] ὑμῖν add. Liban. ὠθήσας] οἱ ἦσαν La. οὕτω Ra. 7. τοῦ add. solus B.

9. Ἠφίει οὐκ ἀφίει A, La man. sec., LbRRGBO, Phav. p. 360. b. ἠφίη οὐκ ἀφίη CDPF.

10. ὑπάρχεις] ὑπαρχες B. 11. Σοφοκλῆς] Electr. v. 557. 13. πάντες ALLRRGBO. ἅπαντες CDPF. 15. ἁμαρτάνουσι B.

16. οὐ ἔμαλλον B.

17. οὐκ] οὐ B. ἠρώτησα RRGBCDPO. ἐρώτησα F.

18. ἦχος] ἦχες B. ἐπιστολῇ] 123. p. 259. d. 19. σου τῶν ἱερῶν ALLRRGBO. σου τῶν σοφῶν Synes. τῶν ἱερῶν σου CDPF.

Ἥττους καὶ ἥττω οὐδετέρως ἐπὶ εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν Ἀττικοὶ λέγουσι· καὶ ἁπλῶς τὴν τοιαύτην κρᾶσιν ἐπὶ πᾶσι τοῖς εἰς ω̅ν̅ συγκριτικοῖς καὶ ἐν τοῖς τρισὶ γένεσι ποιοῦσιν.

Ἠλίθιος ἀνὴρ ὁ μαλακὸς καὶ ἀκίνητος τὴν γνώμην, οὐ μόνον ὁ ἀνόητος. ἠλίθιος καὶ ὁ πρὸς τὰ ἀφροδίσια ἀκίνητος.

Ἡβᾶν καὶ ἀνηβᾶν κάλλιον ἢ ἡβάσκειν καὶ ἀνηβάσκειν. Φιλόστρατος· καὶ τὰς αἰσθήσεις ἡβῶν. Συνέσιος ἐν ἐπιστολῇ· ὅν φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι.

Ἡρπάσθην, οὐχ ἡρπάγην.

Ἦλθε κοινὸν, ἐλήλυθε δὲ Ἀττικόν.

Ἡρακλέα, ὡσαύτως δὲ καὶ Θεμιστοκλέα καὶ Περικλέα καὶ ὅσα τοιαῦτα, ἐπεκτείνων τὴν τελευταίαν συλλαβὴν λέγε, ἢ Ἡρακλῆ χωρὶς τοῦ ν̄ καὶ Θεμιστοκλῆ, ἀλλὰ μὴ Ἡρακλῆν, Θεμιστοκλῆν, Περικλῆν.

---

1. οὐδετέρως — πληθυντικῶν om. Ra (hab. Rb.) 3. κρᾶσιν B. 4. τρισὶ γένεσι] τριγενέσι Rb. πρισὶ γένεσι P.

5. οὐ μόνον GBEdd. οὐ μὴν ARb, atque in eandem sententiam E: Ἠλίθιος οὐχ ὁ ἀνόητος ἀλλ' ὁ μαλακὸς τὴν γνώμην. οὐ μόνον ὁ ἀνόητος, ἠλίθιος, ἀλλὰ καὶ ὁ πρὸς — coni. Abreschius.

8. ἀνηβᾶν „MSS" RRGCDPO. ἀνιβᾶν B. ἀνεβᾶν F. ἢ om. B. 9. Φιλόστρατος] vit. soph. I, 9, 3. p. 494. 10. ἐπι-

οι

στολῇ] 123. p. 260. a. ὃν] οὗ B. αἱ ποιησεις B. 11. ἀνηβῆσαι RbGCDPO. ἀνηβῆσται B. ἀναβῆσαι F.

12. Ἡρπάσθην] ἡρπάσσην B. οὐχ „MSS" RRGBCDPO. οὐκ F.

14. δὲ καὶ ALaGB. δὲ om. Edd. 15. ἀπεκτείνων Rb. 16. ἢ] ἤ B. τοῦ ν „Codd." (*OUD.*) RRGBDPO. τοῦ ι C. τοῦ α F. καὶ Θεμιστοκλῆ — Θεμιστοκλῆν καὶ om. B. μὴ] μὴν Rb. 17. Ἡρακλῆν] καὶ add. A. Θεμιστοκλῆν καὶ Περικλῆν Edd. om. Ra. καὶ om. LaRbG.

Ἠθέληκα Ἀττικοὶ λέγουσιν ἀπὸ τοῦ ἐθέλω, ἐθελήσω, ἠθέληκα. τὸ δὲ τεθέληκα Ἀλεξανδρεωτικὸν, ἀπὸ τοῦ θέλω κανονιζόμενον.

Ἁμαρτάνουσιν οἱ τὰ ἡμίση λέγοντες καὶ οὐ τὰ ἡμίσεα. τὰ γὰρ τριγενῆ τῶν ὀνομάτων ἐπὶ τῶν οὐδετέρων διῃρημένας ἔχουσι τὰς τοιαύτας πτώσεις, οἷον οἱ γλυκεῖς αἱ γλυκεῖαι τὰ γλυκέα, οἱ ὀξεῖς αἱ ὀξεῖαι τὰ ὀξέα· οὕτως ἄρα καὶ οἱ ἡμίσεις αἱ ἡμίσειαι τὰ ἡμίσεα. καὶ ἐπὶ τοῦ ἑνικοῦ δὲ ἡμίσεος λέγε, ὡς ὀξέος καὶ γλυκέος, ἀλλὰ μὴ ἡμίσους. Δίων οὖν ἡ μ ί σ ο υ ς λέγων ἁμαρτάνει. Θουκυδίδης ἐν τῇ τετάρτῃ· τ ρ ί τ ο ν μ έ ρ ο ς ἀ ν θ' ἡ μ ί σ ε ο ς τ ῆ ς τ ρ ο φ ῆ ς ἐ δ ί δ ο υ. ἐπὶ δὲ τῆς αἰτιατικῆς τῶν πληθυντικῶν καὶ τοῦ ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ καὶ συνῃρημένως καὶ ἀσυναιρέτως ἐκφέρουσιν, ὡς ὁ αὐτός· τ ῶ ν π ρ έ σ β ε ω ν τ ο ὺ ς ἡ μ ί σ ε ι ς. καὶ πάλιν· τ ὰ ς ἡ μ ι σ ε α ς τ ῶ ν ν ε ῶ ν. κάλλιον δὲ τὸ ἀσυναίρετον.

Ἡρμοσται τὴν γλῶτταν ῥητορικῶς κάλλιον ἂν εἴποις, ἢ κατὰ ῥήτορας λέγει ἢ γράφει.

---

1. ἐθελήσω] ἠθελήσω B. 2. ἠθέληκα GBCDPO. ἐθέληκα RR. ἠθέλεκα F. τεθέληκα ALaRRGBO. τέθελκα CDPF. Ἀλεξανδρευτικόν A.

4. Ἡμαρτάνουσιν G. τὰ ἡμίση GEdd. τὰ ἡμῖση B. τὸ ἡμίσυ RR. 5. τριγενῆ F. ἐπὶ τῶν] ἐπιτον B. 6. τοιαύτὰς B. 7. οἱ ὀξεῖς — ὀξέα om. P. 8. ἡμίσεις, αἱ om. B. Mox αἱ ἡμίσυαι, τὰ ἡμίσυα RR. 9. ἑνικοῦ δὲ ALLGB. δὲ om. Edd. ἑνικοῦ ἀρσενικοῦ Rb. ἡμίσεως B. 10. Δίων] „Sc. *Chrysostomus* ἐν Εὐβοϊκῷ *sive Orat. 7. p. 99. c. p. 103. etc.*" (*OUDEND.*) οὖν ἡμίσας B. 11. τετάρτῃ Ra. ὀγδόῃ GBEdd. πρώτῃ ARb. Est autem IV, cap. 83. extr. 12. ἡμίσεως B, Thucyd. ante Bekk. 14. συνῃρημένου B. ἀσυνερέτως B.

15. ὁ αὐτός] VIII, cap. 64. ἡμίσεις] ἡμήσεις B. ἡμίσεας Thucyd. ante Bekk. 16. πάλιν] VIII, cap. 8. ἡμίσεας] ἡμίσεως B. ἡμισείας Thucyd. Bekkeri ex paucis codd.

17. Ἥρμοσαι τὴν γλῶτταν B. ῥητορικῶς „MSS" (OUD.)

Ἥμαρτον δόκιμον καὶ ἁμαρτεῖν· ἡμάρτησα δὲ ἀδόκιμον καὶ ἁμαρτῆσαι, εἰ καὶ Ἀριστείδης ἅπαξ εἶπεν ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ ἁμαρτήσασθαι.

Ἡσυχαίτερον, οὐχ ἡσυχώτερον. Θουκυδίδης· μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι διηλλαγμένα.

Ἠιών, ἠόνος κάλλιον ἢ ἠϊών, ἠϊόνος.

Ἡμωδία ἐπὶ τῶν ὀδόντων κάλλιον ἢ αἱμωδία.

Ἦθος οὐ μόνον ἐπὶ ἀνθρώπου λέγεται, ἀλλὰ καὶ ἐπὶ πόλεως, ὡς Δημοσθένης· τὸ τῆς πόλεως ἦθος, ἤγουν τὴν κατάστασιν καὶ τὴν γενναιότητα. καὶ ἦθος ἡ εὔλογος αἰτία. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὐδὲ τὰ τολμήματα τῆς πόλεως ἀσπάσασθαι μᾶλλόν ἐστιν ἢ τὸ τῶν ἔργων ἦθος.

Ἡνία καὶ ῥυτῆρες οἱ ἱμάντες τοῦ χαλινοῦ, οὓς κατέχουσι

RRGBCDPO, Phav. p. 358. a. ῥητορικῆς F. εἴπῃς Lb. ἢ κατὰ] ἢ λέγε κατὰ B.

1. Ἥμαρτον] ἀντὶ τοῦ ἁμαρτίαν ἐποίησα add. Phav. p. 352. a. ἁμαρτεῖν ALLRRGBOxO, Phav. ἁμαρτῶν CDF. ἁμαρτὼν P.
2. ἐν — πρώτῳ om. Ox. 3. ὑπὲρ] περὶ Phav. cf. p. 77, 16. πρώτῳ] vol. I, p. 109. (I, 86. Df.) pro ἡμαρτῆσθαι legisse ἁμαρτήσασθαι videtur.

4. Θουκυδίδης] III, cap. 82. 5. εἴδεσι GBEdd., Thuc. ἤθεσι ALbOx, Thucydidis Parisinus A. διηλλαγμένα A „MSS“ (OUD.) RRGO. διειλαγμένα BCDPF.

7. Scribebatur Ἠὼν ἠόνος. ἠϊών] ἠὼν G. Ἠὼν ἠόνος ὁ αἰγιαλὸς E.

8. Ἡμωδία πάθος ὀδόντων E. αἱμωδία] αἱμοδίαι B.

9. ἀνθρώπου ALaGB. ἀνθρώπων Edd. 10. Δημοσθένης] adv. Lept. p. 460. extr. τὸ] μὲν τοίνυν add. Dem. 11. γενναιότητα GFO, Taylorus ad Demosth. γεναιότητα BCDP. 12. Παναθηναϊκῷ] vol. I, p. 273. (I, 257. Df.) 14. τὸ τῶν „MSS“ (OUD.) RRGBCDPO. τὸ om. F. Exc. Guelf. sic: Ἦθος ὁ τρόπος καὶ ἡ ἐξ ἔθους διατριβή. ἦθος καὶ ἡ εὔλογος αἰτία.

15. ῥυτῆρες AGBEO, Iun., Phav. p. 354. c., Bosius. ῥητῆρες CD

ταῖν χεροῖν οἱ ἱππεύοντες. χαλινὸς δὲ ἰδίως μὲν τὰ ἐν τῷ στόματι τοῦ ἵππου λέγεται, καταχρηστικῶς δὲ καὶ τὸ ὅλον. φάλαρα δὲ τὰ ἐν τῷ μετώπῳ.

Ἥλιος λέγεται καὶ μία ἑκάστη ἡμέρα διὰ τὸ τὸν ἥλιον τῇ τοῦ οὐρανοῦ φορᾷ ἀποκαθιστάμενον ὅθεν ἤρξατο νυχθήμερον ποιεῖν. [καὶ] Λιβάνιος ἐν ἐπιστολῇ τῇ Οὔπω μοι τῆς λύπης ὑφῆκας· αὐτὸς ἐν πολλοῖς ἡλίοις ἐφύλαξας. ἥλιος καὶ ὁ δωδεκάμηνος καιρὸς, ὅτι διὰ δώδεκα μηνῶν διέρχεται τὸν ἑαυτοῦ κύκλον ὁ ἥλιος.

Τὸ ἤτοι ποτὲ μέν ἐστιν ἐπίρρημα διαστατικὸν ἀντὶ τοῦ ἤγουν, ἐν ἄλλοις δὲ καὶ σύνδεσμός ἐστι, παρὰ μὲν τοῖς ποιηταῖς συμπλεκτικὸς, ὁ αὐτὸς τῷ μέν, τούτῳ μόνον διαφέρων αὐτοῦ, ὅτι ἐκεῖνος μὲν ὑποτάσσεται, οὗτος δὲ προτάσσεται, οἷον·

ἤτοι ὅ γ᾽ ὡς εἰπὼν κατ᾽ ἄρ᾽ ἕζετο·

ἀνταποδοτικὸς δέ ἐστιν αὐτοῦ ὁ αὐτάρ, ὃς καὶ ἀτάρ λέγεται, ὥσπερ ὁ δέ τοῦ μέν, τούτῳ καὶ οὗτος διαφέ–

PF. κατέχουσι ταῖν χεροῖν οἱ ἱππ. GB. κατέχουσι ταῖς χερσὶν οἱ ἱππ. Moschop. Syll. f. 146. a., Phav. κατέχουσιν οἱ ἱππ. ταῖν χεροῖν Edd. 2. λέγεται ALaGB. λέγονται Edd. 3. καὶ om. A. μετώπῳ BPO, Mosch. μετόπῳ CDF, Phav.

6. νυχθήμερον GBEdd. ἡμέραν καὶ νύκτα Ra. Cf. Mosch. Syll. f. 146. a. Exc. Guelf.: Ἥλιος τό τε νυχθήμερον καὶ ὁ δωδεκάμηνος χρόνος. καὶ om. Ra, recte opinor. ἐπιστολῇ] 1586. p. 711.

12. Post ἐστι plenius interpungunt Edd., post συμπλεκτικός, in Edd. non distinctum a proximis, RaB. 13. μὲν, τούτῳ BCD PO. μὲν · τούτῳ F. „μὲν τουτ. Ra.“ μὲν, τοῦτο G. 14. μόνον Edd., Moschop. π. σχεδ. p. 106. St. μόνῳ AGB. αὐτοῦ om. Phav. p. 359. c. 15. οἷον] ὡς τὸ Phav. 16. κατ᾽ ἄρ᾽ ἕζετο „*MSS*“ (*OCD.*) RRGBLO. καταρ ἕζετο C. καταρέζετο D. καταρέζετο F. 17. αὐτὰρ GBEdd., Phav. Mosch. ἀτὰρ ARb. ὅς] ὡς DP. ὃς καὶ ἀτὰρ Phav. ponit ante οὗτος (l. 18.) ἀτὰρ GBEdd., Mosch. αὐτὰρ ARb. 18. τούτῳ καὶ — τοῦ μὲν (p. 175. 1.) om.

ρων τοῦ δέ, ᾧπερ ὁ ἤτοι τοῦ μέν, τἄλλα δὲ ὁ αὐτός· παρὰ δὲ τοῖς Ἀττικοῖς τὸ ἤτοι σύνδεσμός ἐστι διαζευκτικὸς ἀντὶ τοῦ ἤ, τοῦ τοί παραπληρωματικοῦ προσλαμβανομένου παρ' αὐτοῖς ἐνταῦθα, ὥσπερ τοῦ γέ ἐν τῷ ἔγωγε καὶ ἄλλου ἐν ἄλλοις δι' ἔπαρσιν τοῦ λόγου καὶ ὄγκον. σημείωσαι δὲ, ὡς καταρχὰς μὲν τὸ ἤτοι τίθεται ἀεὶ, ὕστερον δὲ τὸ ἤ· οὕτω γάρ φαμεν· ἤτοι τόδε, ἢ τόδε. ἑτέρως δὲ οὐκ ἄν ποτε εὕροις πλὴν ἐν Πινδάρῳ ἅπαξ διὰ τὴν ἀνάγκην τοῦ μέτρου.

Θ.

Θαρρῶ Ἀττικοὶ, οὐ θαρσῶ· καὶ θάρρος, οὐ θάρσος· καὶ θαρρύνω, οὐ θαρσύνω. ὅπερ θαρρῶ, εἰ μὲν ἀντὶ τοῦ ἐλπίζω ἐστὶ, δοτικῇ συντάσσεται, εἰ δὲ ἀντὶ τοῦ τολμῶ, αἰτιατικῇ. Συνέσιος ἐν ἐπιστολῇ· καὶ οὓς ἔδει θαρρῆσαι.

Θριδακίνη, οὐ θρίδαξ.

Θημών, οὐ θημωνία.

LaRb. καὶ] δὲ καὶ Abreschius, plene interpungens ante τούτῳ. διαφέρει Phav., Abresch. 1. τοῦ δέ] αὐτοῦ Lb. τοῦδε Mosch. ᾧπερ A, coni. Normannus, Abreschius, Hemsterhusius. ὅπερ LbGBCDP, Phav., Mosch. ὥσπερ FO. ὥσπερ coni. Stoeberus. 2. τοῖς om. Phav. 3. ἢ, τοῦ τοὶ RRGBCDPO. ἢ τοῦ τοί, F. 4. προσλαμβανομένου LLRRGBO, Phav., Mosch. προσπαραλαμβανομένου A. προλαμβανομένου Ox. λαμβανομένου CDPF. ἐνταῦθα] ἐν ταῦθα B. om. Phav. 5. καὶ ἄλλου — ὄγκον om. Phav. ἄλλοις Ra, Moschop. ἄλλῳ GBEdd. ἔπαρσιν] ἔπάσιν B. 6. ὄγκου DP. σημείοσαι B. κατ' ἀρχάς Ra, Phav. κατ' ἀρχῆς B. 7. ἀεὶ om. G. τόδε RRGB. τὸ δὲ CDP. τὸ δε F. τό δε O. 8. ἄνποτε DP. αὔποτε B. εὕρῃς LaGB. ἐν] ἐπὶ A. Πινδάρῳ] Nem. VI, 4.

12. κατατολμῶ F. π. ῥ. 13. ἐπιστολῇ] 4. p. 167. a.: καὶ ἑτέρους οὓς ἔ. θ. εἴδει θαρῆσαι B.

16. θημωνιά corr. Abreschius.

Θεσμός ὁ ἄγραφος [νόμος], νόμος δὲ ὁ ἔγγραφος.

Θέρεται, οὐ θερμαίνεται.

Θρυαλλίς, οὐκ ἐλλύχνιον.

Θαμά, οὐ πυκνῶς. Ἡσίοδος·

καὶ θαμὰ τοῦθ᾽ ἔρδοις.

Θαμινά, οὐ πυκνά. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλ᾽ εἶα τέκεα θαμίν᾽ ἐπαναβοῶντες.

Θαλῆς Θαλοῦ, οὐ Θάλης Θάλητος.

Θοιμάτιον κάλλιον ἢ τὸ ἱμάτιον διαλελυμένως.

Θᾶττον Ἀττικοὶ, τάχιον Ἕλληνες. ἔστι δὲ οὐ μόνον ἐπίρρημα, ἀλλὰ καὶ ὄνομα τριγενὲς, ὁ θάττων ἡ θάττων καὶ τὸ θᾶττον· ὥσπερ καὶ ἐπὶ τοῦ ῥᾶον.

Καὶ θηλὴ καὶ μαστός.

Θὴς Ἀττικοὶ, οὐ μισθαρνός· καὶ θητεύει, οὐ μισθαρνεῖ. Πλάτων ἐν Εὐθύφρονι· ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ᾽ ἡμῖν. καὶ θῆσσα, οὐ θ[illegible].

Θή-

---

1. *νόμος* inseruimus ex B, Moschopulo *π. σχ.* p. 10., de Oudendorpii (et Stoeberi?) coniectura. *δὲ* ALLRRGBO. om. CDPF.

3. *θρυαλίς* et *ἐλύχνιον* Ra. *οὐ κελλύχνιον* B.

4. *Ἡσίοδος*] Op. et D. v. 362. 5. *καὶ* accessit ex GB. *τοῦτ᾽ ἔρδοις* Hesiodus. *ἔρδεις* RR. 6. *θαμινά*] Non continuant GBCDP. *πυκνά*] *συχνά* Ra. *Ἀριστοφάνης — ἐπαναβοῶντες* A „*MSS.*" (*OUD.*) RaGBCDPO. om. F. *Ἀριστοφάνης ἐν Πλούτῳ*, omissis reliquis, Rb. Verba poetae (v. 292.) in B sic scripta sunt: *ἀλλ᾽ εἰ ατέκαιεαα θαμὶν ἐπαναβῶντες.* 7. *εἶα* GCD. *θάμιν᾽* CDP.

9. Om GB. *ἢ* om. CDP. *διαλελυμένως* Ox. *διαλελυμένον* Edd.

12. *καὶ τὸ θᾶττον* ALLRRGO. *τὸ θᾶττον* (*θάττον* P) CDPF. *τὸ τάττων καὶ τὸ θᾶττον* B. *καὶ ἐπὶ*] *ἐπὶ* G.

13. *Καὶ θηλὴ*] *Θήλη* B.

14. *Θὴς*] *Ὁ θὴς* Ra. *μισθαρνός* BRGB. *μίσθαρνος* Edd.

15. *Εὐθύφρονι*] p. 4. c. *ἐγεωργοῦ μὲν* B. Exc. Guelf.: *Θὴς ἐπὶ ἀνδρὸς ὁ ἐπὶ μισθῷ δουλεύων· καὶ γυνὴ θῆσσα ἡ ὁμοία.*

Θήρατρον, οὐ παγίς. [γράφεται ἀντὶ τούτου πάγη, ἢ πληθυντικῶς τοὺς πάγας κάλλιον.]

Θεῶ, οὐ θέα, εἰ καί τινες γράφουσιν. Ἀριστοφάνης ἐν βατράχοις·

ἀφειμένην τὴν λαμπάδα θεῶ.

Θᾶκος Ἀττικὸν, θρόνος Ἑλληνικὸν, θῶκος δὲ ποιητικόν. Ἀριστείδης ἐν τῷ εἰς τὸν Διόνυσον· οὐδ' αὐτῷ θᾶκοι τούτου χωρίς.

Θηλάζει τὸ θῆλυ μεταβατικῶς, ἃ ἔτεκε· καὶ θηλάζουσι τὰ τεχθέντα ἀμεταβάτως.

Τὸ θάλλειν ἐπὶ δένδρων λέγεται, τὸ δὲ ἀνθεῖν ἐπὶ μόνων τῶν ἀνθέων· ὅθεν εὐθαλεῖς μὲν κλάδοι, εὐανθεῖς δὲ λειμῶνες.

Θλάσις καὶ θλᾶν ἐπὶ τῶν χαυνουμένων καὶ παραλυομένων τῆς ἑαυτῶν συμπήξεως ἀπὸ πληγῆς ἢ τοιούτου τινὸς, ὃ

---

1. γράφεται — κάλλιον Edd. om. ALLRRGB. γράφε γὰρ ἀντὶ πάγην, ἢ πληθυντικῶς τὰς πάγας κάλλιον (?) coni. Oudendorpius. 2. τὰς πάγας Iun.

3. θέα] θεᾷ coni. Bosius, explosus ab Hemsterhusio ad Aristoph. Plut. v. 1014. p. 366. 4. βατράχοις] v. 131., ubi vide Chr. D. Beckium. 5. ἀφειμένην ALaRRGBCDP. ἀφιεμένην FO ex Aristophane, apud quem est λαμπάδ' ἐντεῦθεν θεῶ.

6. Θᾶκος] Scribebatur θάκος. 7. Ἀριστείδης] vol. I, p. 55. (I, 52. Df.) θᾶκοι] θάκοι LaRRGBO. θάκος CDPF.

9. τὸ θῆλυ] ἡ γυνὴ E π. ρ. ἃ ἔτεκε] εἰς αἰτιατικὴν E π. ρ. 10. ἀμεταβαβατως B.

11—13. hic inserunt B, RR (v. p. 448. ed. Bern.), et ut satis certum est La, ex quo post voc. Θαλῆς, ante Θαμά afferuntur ab Oudendorpio p. 432. Omittunt CDPF. Habent etiam Phavor. p. 361. c., Moschop. Syll. f. 146. b. cf. Etym. Gud. p. 636, 47.

14. χαννουμένων B. 15. τῆς ἑαυτῶν A „MSS" (OUD.) RRGBO, Phav. p. 370. c., Moschop. Syll. f. 146. b., Etym. Gud. p. 637, 2. τὶ τῆς ἑαυτῷ CDPF.

παρὰ τοῖς ποιηταῖς φλᾶν λέγεται, οὐκέτι δὲ καὶ ὄνομα φλάσις.

Θείλαιον τὸ θεόθεν ἐλθόν· λέγεται δὲ ἀεὶ ἐπὶ κακοῦ, οἷον θείλατος πληγή. εἰ δὲ εὕρηταί που ἀντὶ τοῦ ὑπὸ θεοῦ ἐλαθεὶς καὶ ἀποδιωχθεὶς, ἀλλ' οὐκ ἔστιν Ἑλληνικόν.

Θέσθαι τὸ θεῖναι καὶ τὸ ἀρεσθῆναι, ὡς τὸ τούτοις ἐθέμην ἀντὶ τοῦ ἠρέσθην καὶ συνῄνεσα. ὑποθέσθαι δὲ τό τε δοῦναί τι εἰς ὑποθήκην καὶ τὸ συμβουλεῦσαι καὶ τὸ ὡς ὁμολογούμενον θεῖναί τι τῶν δυναμένων γενέσθαι, ὡς τὸ ὑ π ό θ ο υ, ὅ τ ι ὁ Σ ω κ ρ ά τ η ς κ α θ ε ύ δ ε ι. εἰ γὰρ καὶ μὴ καθεύδει, ἀλλὰ δυνατός ἐστι καθεύδειν.

Θύειν ἐπὶ τῶν σφαττομένων ἱερείων, σφάττεσθαι δὲ ἐπὶ τοῦ τυχόντος ζώου. καὶ θύεται οὐ μόνον ἀντὶ τοῦ σφάττεται, ἀλλὰ καὶ ἀντὶ τοῦ θύει. Θουκυδίδης ἐν τῇ πέμπτῃ· π ε ρ ὶ τ ὸ ἱ ε ρ ὸ ν τ ῆ ς Ἀ θ η ν ᾶ ς θ υ ο μ έ ν ο υ. καὶ αὖθις ἐν τῇ αὐτῇ· τ ὰ δ ι α β α τ ή ρ ι α θ υ ο μ έ ν ο ι ς ο ὐ π ρ ο υ χ ώ ρ ε ι.

Θόρυβος οὐ μόνον ἐπὶ ὄχλου, ἀλλὰ καὶ ἐπὶ μεγίστου ἐπαίνου·

---

1. τοῖς ποιηταῖς LaGB. ποιηταῖς Edd. τοῖς Ἀττικοῖς Mosch.

2. φλάσις B. (μ supra)

3. Continuat B. ἐλθόν] ἐλθεῖν B. δὲ om. A. ἐπὶ κακοῦ ἀεὶ B. οἷον om. A. 4. ὑπὸ ALaRRGBO. ἀπὸ CDPF. 5. ἀποδιωχθεὶς (ἀποδιοχθεὶς D)] καὶ add. DP, quod nescio an inserendum sit ante εὕρηται.

7. ἠρέθην B. 8. τι] καὶ A. 9. θεῖναί τι] θεινάτι B. τι om. CDPF, hab. A „LLOx aliique" GO. 11. καθεύδει] κατεύδει B.

12. σφάττεσθαι ALLRbG, Phav. p. 873. c. σφάττειν BEdd. 13. τυχόντος] χυχόντος B. σφάττεται] μαντεύεται marg. Lb, ex Ammon. p. 72. 14. πέμπτῃ] cap. 10. init. 15. θυομένων (ου supra) B. 16. αὐτῇ] cap. 54. θυομένων (οις supra) B.

18. ὄχλου] φόβου coni. Stoeberus.

ὡσαύτως καὶ θορυβῶ. Ἀριστείδης ἐν τῇ εἰς Σμύρναν μονῳδίᾳ· [ποῦ] νέων καὶ πρεσβυτέρων σύνοδοι καὶ θόρυβοι διδόντων ἅπαντα; [Συνέσιος ἐν τῷ Δίων ἢ περὶ τῆς κατ' αὐτὸν διαγωγῆς· βούλοιτο γὰρ ἂν ὁ διδάσκαλος ἀνὴρ εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖν ἐπὶ τοῖς λόγοις αὐτοῦ τὰ παιδάρια.]

Θερμότης καὶ θέρμη Ἀττικοί, θερμασία Ἕλληνες.

Θῆλυ θήλεος, καὶ ὁ θῆλυς τοῦ θήλεος, οἷον ὁ θῆλυς ἀετός. λέγεται δὲ θῆλυς καὶ ὁ θηλυδρίας. καὶ ἡ θῆλυς δὲ παρ' Εὐριπίδῃ· καὶ ἡ θήλεια πρὸς τούτοις.

Θυμέλην οἱ ἀρχαῖοι ἀντὶ τοῦ θυσίαν ἐτίθουν, οἱ δ' ὕστερον ἐπὶ τοῦ τόπου τοῦ ἐν τῷ θεάτρῳ, ἐφ' ᾧ αὐληταὶ καὶ κιθαρῳδοὶ καὶ ἄλλοι τινὲς ἀγωνίζονται μουσικήν. ἄλλοι δὲ εἶδος μουσικῆς τὴν θυμέλην λέγουσι.

---

1. εἰς Σμύρναν] Sic c. c. p. 189, 12. ἐπὶ Σμύρνῃ supra p. 59, 16.
Καὶ κομπάζω καὶ κομπέω κομπῶ καὶ κομποῦμαι. Σοφοκλῆς ἐν Αἴαντι·

μέγ᾽ ἄν τι κομπάσειας.

Θουκυδίδης ἐν τῇ ἕκτῃ· ὅσοι περ κομποῦνται, ἤγουν κομπαστικῶς λέγονται. καὶ αὖθις ἐν τῇ τετάρτῃ· ἄποθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν.

Οὐ μόνον ἐπὶ πολεμίων τὸ κατασκοπὴ τίθεται, ἀλλὰ καὶ

---

1. *ἐπιστολῇ*] 31. p. 14. *αὐτὴν — πόλιν* Edd. om. ALLRRGB. Articulum certe non debebat Callierges praetermittere.
2. *ἢ ἀναγινώσκειν* ALaRRGBOxO, Phav. p. 420. c., Liban. *ἢ* om. CDPF. 3. *ἐν ἐπιστολῇ τῇ — Βενδιδείου* GB, ut p. 151, 15. alibi. *ἐν τῇ λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ* Edd. Est ep. 4. p. 169. a. 4. *Διόσκορον* GBEdd., Synes. *Διοσκύρου* ARb.
5. *ἐρρῶσθαι — τίτθης* Edd. om. ALLRRG. *ἐρρῶσθαι* om. Synesius, uncis seclusere FO. *ἔρρωσθαι δηλονότι* B.

8. *τοῖς δέ* GBEdd. 9. *Θουκυδίδης*] IV, cap. 122. *Ἀριστώνυμος* ALaRRGBO, Thuc., Dukerus. *Ἀριστόδημος* CDPF. *μὲν* om. A.

11. *Καὶ* primum „*MSS*" (*OUD.*) GCDP. om. BFO. *περικομποῦνται* B. *περικομποῦνται* Thucydides olim. 12. *Αἴαντι*] v. 1122. 14. *ἕκτῃ*] cap. 17. 15. *ἤγουν* BEdd. *ἤτοι* ARbG. *λέγονται* ALaRRGBO, Dukerus. *λέγουσι* CDPF. *τετάρτῃ*] cap. 126. extr. 16. *ἄποθεν* RRGBEdd. *ἄπωθεν* coni. Stoeberus. *μελλήσει* ALaRaGO. *μελήσει* BCDP.

18. *κατασκοπή* GBEdd. *κατασκοπεῖν* A.

ἐπὶ [τῆς] ἁπλῶς θεωρίας. Θουκυδίδης· ἐς τὴν κατασκοπὴν τῶν χρημάτων.

Καὶ κρύφα καὶ κρύβδην. Δημοσθένης· οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος.

Κίναιδος ἀρσενικῶς ὁ πόρνος· [Συνέσιος ἐν τῇ Ὥσπερ ἄλλοτε πολλάκις ἐπιστολῇ· καὶ λέγεταί τις αὐτοῖς μοῖρα κιναίδοις προσκεῖσθαι.] κίναδος δὲ οὐδετέρως ὁ ἀναιδὴς καὶ ἀναίσχυντος. Σοφοκλῆς ἐν Αἴαντι·

ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ', ὅπου;

καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστι.

Κνέφαλον Ἀττικοὶ λέγουσιν, οὐ γνέφαλον· ἔστι δὲ ἡ τύλη.

Κρίνω καὶ τὸ δικάζω καὶ τὸ χωρίζω.

Κλέπτης καὶ ὁ κλέπτων καὶ ὁ δυνάμενος κλέπτειν, ὅπερ καὶ κλεπτικός λέγεται καὶ κλεπτίστατος ὑπερθετικῶς. [λαμβάνεται δὲ καὶ ἐπὶ τῶν πανούργων.] Ἀριστοφάνης ἐν Πλούτῳ·

---

1. τῆς LaOxO. om. AGBCDPF. Θουκυδίδης] VI, cap. 46. ἐς] σοὺ B.

3. Δημοσθένης] de falſ. leg. p. 415, 25. 4. ἐστὶν ἡ] ἔστ' ἡ Rb.

5. Συνέσιος — προσκεῖσθαι Edd. om. ALLRbGB. Est epist. 44. p. 184. c. ἄλλοτε C. 7. δὲ om. E. 8. ὁ] „οὐκ legisse videtur Brodaeus Miſc. IV, 26. p. 191." καὶ ἀναίσχυντος om. E. Αἴαντι] v. 103. Ἄναντι D. 10. ἐξήρου — φύσει κίναδος om. B. 11. ὕπου DP. 12. τοῦ om. G. στεφάνου] p. 307, 23. 13. τ' ἀνθρώπιον G. τ' ἀνθώπίου B. ἀνθρώπιον olim Demosthenes. Cf. Schaefer. Appar. II, p. 315.

15. τύλη O. τίλη ARaGBCDPF. τήλη Rb. τῆλις Lb.

17. Κλέπτης ὁ κλέπτων καὶ οὐ δ. B. ὅπερ] ὃς E. ὅσπερ coni. Oudendorpius. 19. λαμβάνεται — πανούργων Edd. om. ALLRRGB. 20. Πλούτῳ] v. 27.

τῶν ἐμῶν οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτί-
στατον.

Καταπτάμενος, οὐ καταπτάς.

Κίρνημι Ἀττικοί, οὐ κιρνῶ.

Κορυφαῖον, οὐ κορυφαιότατον δεῖ λέγειν. οὐ γὰρ πρὸς τῇ ὑπερθέσει καὶ ἑτέραν ὑπέρθεσιν δεῖ ἐπάγειν, κἂν ὁ Λουκιανὸς παίζων λέγῃ· αὐτὸς γὰρ ἐν τῷ σολοικιστῇ τοῦτ' ἐλέγχει.

Οὐ καθεῖς, ἀλλὰ καθέκαστος δεῖ λέγειν.

Ἄλλο κάθισον καὶ ἄλλο κάθησο. τὸ μὲν γὰρ κάθισον πρός τινα ἱστάμενον λέγεται, ἵνα δηλονότι καθίσῃ· τὸ δὲ κάθησο πρὸς καθήμενον, ἵνα κάθηται καὶ μὴ ἐξαναστῇ, ὡς τὸ παρ' Ὁμήρῳ·

ἧσο ξεῖν', ἡμεῖς δὲ καὶ ἄλλοθι δήομεν
ἕδρην.

τὸ δὲ καθίζω οὐ μόνον ἀντὶ τοῦ ἕτερον ποιῶ καθίζειν, ἀλλὰ καὶ ἐμαυτόν.

---

1. ἐμῶν] γὰρ add. FO ex Aristophane, om. ALLRRGB. 2. πιστώτατον CDP. ἡγοῦμαι σε om. ARR. σε om. B.

5. Κιρρημι B.

6. Κοριβαῖον B. 7. ἐπαγεῖν B. κἄν P. 8. Λουκιανὸς] d. conscr. hist. 34. vol. II, p. 45. αὐτὸς ALaGB. ὁ αὐτὸς Edd. σολοικιστῇ] §. 5. vol. III, p. 565.

10. Καθεῖς O. καθεὶς CDPF. καθέκαστος G. καθ' ἕκαστος „MSS“ (OUD.) Edd. ἕκαστος B. καθ' ἕκαστον Graevius ad Lucian. Soloec. 9. vol. III, p. 577. καθ' ἓν ἕκαστον Stoeberus.

11. Ἀλλ' ὀκάθισον B, prioribus continuans. „ἕτερον κάθισο Lb.“ ἀλλοκάθησο P. γὰρ θάθισον B. 12. ἵνα δηλονότι ALLRR, Phav. p. 396. b. δηλονότι ἵνα GB. δηλονότι om. Edd.

13. πρὸς] πρὸς τὸν coni. Graevius ad Luc. Sol. 11. p. 582.

14. Ὁμήρῳ] Odyss. XVI, 44. 15. ἧσο ξεῖν' LLO, Graevius. ἧσο ξένε (ε superscr.) AGCDPF. ἧ σοξήνε B, huc verba παρ' Ὁμήρῳ transponens. ἧσ' ὦ ξεῖν' nunc editum. ἡμεῖς ALLRRGBO. ὑμεῖς CDPF. ἄλλο διδήομεν B. 16. ἔδρην C.

Κυκλέω κυκλῶ τὸ στρέφω, κυκλόω δὲ κυκλῶ τὸ περιλαμβάνω· κυκλοῦμαι δὲ καὶ τὸ περιλαμβάνω καὶ τὸ περιλαμβάνομαι. Θουκυδίδης ἐν τῇ τετάρτῃ· περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων. καὶ αὖθις ἐν τῇ πέμπτῃ· τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τοὺς Ἀθηναίους.

Κύτος αὐτὴ ἡ κοιλότης καὶ διαχώρησις τοῦδέ τινος σκεύους.

Κύβος πᾶν τετράγωνον κατὰ βάθος καὶ κατὰ πλάτος ἰσάκις ἴσον· ὅθεν καὶ κύβοι λέγονται τὰ ἐστιγμένα ὀστᾶ, οἷς χρῶνται οἱ ταυλίζοντες.

Κύθηρα πόλις θηλυκῶς, καὶ οὐδετέρως τὰ Κύθηρα, ὃ καὶ κρεῖττον.

Κυρόω κυρῶ τὸ βεβαιῶ, κυρέω [δὲ] κυρῶ τὸ περιτυγχάνω,

---

2. *κυκλοῦμαι δὲ* Edd. *καὶ κυκλοῦμαι* ALaGB. 3. *τῇ τετάρτῃ*] *τῷ δ'* B. Immo *τῇ τρίτῃ*, ut supra est p. 194, 12., cap. 108. init. 4. *τῷ κέρᾳ* LaGO, Thucyd. *τὸ κέρα* A. „*κέρᾳ RR.*" *τουτῷ κέρα* B. *τὸ κέρας* CDPF. *Πελοπονήσιοι* B. 5. *πέμπτῃ*] cap. 73. init. 7. *Τεγεάτων* DP. *ἐκυκλοῦντο* B.

8. *Κύτος* LLRRGO. *κύτος* AB, Mofchop. *π. σχ.* p. 4. *κύβος* CDPF. *αὐτὴ*] *ἀντὶ* B. *τοῦ δέ τινος* Edd. *τοῦ δὲτινα* B.

9. *Κύβος — ταυλίζοντες* RRG et omissis *κατὰ βάθος — πλάτος* E, usque ad *ἴσον* B. Ex „*Leid. Cod.* (puto La), *in quo tamen κύβος*" afferuntur usque ad *κύβοι*, cum quo convenit A. In Edd. haec tantum: *Κύβοι λέγονται — ταυλίζοντες*, conglutinata cum antecedente §. in CDP, seiuncta in FO. *Κύβος*] *κῦβος* MSS. et Mofch. *π. σχ.* p. 4. *κατὰ πλάτος καὶ κατὰ βάθος* B, Mofch. 10. *ἰσάκις ἴσον*] *ἰσάκις ἴσως ἰσάκις* E. *ἶσον* B. *ὅθεν*] *ἀφ' οὗ* E. *ὅθεν — λέγονται*] *ἐπεκράτει δὲ ἰδίως λέγεσθαι κύβους* Mofch. *κύβοι* RR. *κῦβοι* LGEdd. 11. *οἷς — ταυλίζοντες*] *ἐπὶ τῶν ταυλιζόντων* E. *χρῶνται*] *χρῶν* C., *ταυλίζοντες* ALLRRGCDO, Mofch. *τραυλίζοντες* PF.

12. *Κήθηρα* „*Leid. bis.*" *Κίθηρα*, *ὃ* G ut videtur.

14. *δὲ* Edd. om. ALLGB: quare seclusimus. *περιτυγχάνω*, etiam Mofchop. *π. σχ.* p. 5. *ἐπιτυγχάνω* Phav. p. 459. a., qui per-

[ὅπερ μετὰ τῆς ἐν ἢ περὶ τίθεται·] τὸ δὲ ἀντὶ τοῦ ὑπάρχω ποιητικὸν, ὃ καὶ μετὰ ὑπαρκτικοῦ πάλιν ῥήματος τίθεται, οἷον κυρεῖ ὤν, ὥσπερ καὶ τυγχάνει ὤν.

Κυνηγέτης Ἀττικοὶ, κυνηγός δὲ ἁπλῶς Ἕλληνες.

Κυβιστῶ τὸ κολυμβῶ, καὶ κυβιστής. λέγεται δὲ κυβιστᾶν καὶ τὸ ἁπλῶς ἐν γῇ κυλιόμενον στρέφειν χεῖρας καὶ πόδας. κυβεύω δὲ τὸ κύβοις χρῶμαι· καὶ κυβευτής καὶ κυβιστής.

Κηρίον τὸ σὺν μέλιτι· κηρός δὲ ὁ κεχωρισμένος τοῦ μέλιτος.

Κόρυδος καὶ κορυδαλός καὶ κορυδαλίς τὸ στρουθίον τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ ὥσπερ λόφον. ἔστι δὲ τὸ μὲν κόρυδος Ἀττικόν· Πλούταρχος ἐν τῷ περὶ ἀδολεσχίας· κόρυδος ὤπται πετόμενος· τὸ δὲ κορυδαλός κοινὸν, εἰ καὶ Εὔβουλος χρῆται. ἔστι δὲ καὶ

---

git: ποιητικῶς· τὸ δὲ, καὶ ἀντὶ τοῦ περιτυγχάνω, καὶ ὑπάρχω, ὃ καὶ e. q. s. 1. ὅπερ — τίθεται accesserunt ex RaB. 3. καὶ om. Phav.

5. Κυνηγέτης — Ἕλληνες, quae Lobeckium fugerant ad Phryn. p. 428., hic collocant RRB et haud dubie ALa. Vid. p. 561. 559. (cum Add.) ed. Bern. Om. G. Κυνηγέτης, οὐ κυνηγός Edd. tum hic tum cum GB supra p. 199, 14.

7. ἐν γῇ] ἐν τῇ γῇ A. 8. κυβεύω] Non continuant BC DP. 9. καὶ κυβιστής delenda Oudendorpio visa sunt.

10. Κηρίον — μέλιτος hic ponunt RRB, item ut patet ALa, ex quibus p. 532. ab Oudendorpio inter Κηδεσταί et Κηλῶ voces afferuntur. Om. G. Habent etiam Moschop. Syll. f. 149. a. et Phavor. p. 429. a., qui addunt: λαμπὰς ἡ ἐκ τούτου κατεσκευασμένη πρὸς τὸ φαίνειν (ultima ap. Phav. transposita.) Κήριον RR. κηρὸς δὲ Rb. κῆρος δὲ La. κηρὸς Ra, Mosch., Phav.

12. Κόρυδος GBFO. κόριδος CDP, Moschopulus semel Syll. f. 149. b. 13. πτερὰ] τὰ πτερὰ B. 14. Πλούταρχος] vol. II, p. 507. e. 15. ὤπται] ὦτται B. ὦ παῖ Ra. 16. Εὔβουλος] ap. Phrynich. p. 338.

Κορυδαλός δῆμος Ἀθήνησι. τὸ δὲ κορυδαλίς ποιητικὸν, ὡς Θεόκριτος·

ἐπιτυμβίδιοι κορυδαλίδες.

Κατασκευάζω τὸ ἐργάζομαι καὶ ποιῶ· λέγεται δὲ ἐπὶ τῶν ποικίλως συνισταμένων. καὶ ὄνομα ἐκ τούτου κατασκευὴ ἡ ἐνέργεια τῶν κατασκευαζόντων καὶ τὸ ἔργον τὸ κατασκευασθέν. λέγεται δὲ κατασκευὴ καὶ τὸ ῥητορικὸν προγύμνασμα, ᾧ ἐναντίον ἡ ἀνασκευή· καὶ κατασκευὴ ἡ αἰτία ἐπὶ λόγου. συσκευάζω δὲ τὸ σκαιωρῶ, ἀφ' οὗ καὶ συσκευὴ ἡ σκαιωρία. μετασκευάζω τὸ μεταποιῶ. παρασκευάζω τὸ εὐτρεπίζω καὶ οἰκονομῶ, ὅθεν καὶ παρασκευή. διασκευάζω τὸ λεπτομερῶς διηγοῦμαι, καὶ διασκευὴ καὶ ἐνδιάσκευος λόγος. Κατασκευάζει ὁ ναυπηγὸς τὴν ναῦν, κατασκευάζεται δὲ ὁ ἐπὶ τῇ κατασκευῇ ταύτης τὰ ἀναλώματα διδούς. τοιοῦτόν ἐστι καὶ τὸ οἰκοδομεῖ καὶ τὸ οἰκοδομεῖται. οὕτω γὰρ Δημοσθένης περὶ Φιλίππου λέγει [ἐν τῷ περὶ Ἁλοννήσου]· ὅδ' οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται καὶ νεωσοίκους οἰκοδομεῖται.

---

1. Ἀθήνησιν B. ἐν Ἀθήναις Lb. 2. ὡς om. A. ὅς P. Θεόκριτος] VII, v. 23. 3. κορυδαλίδις B. Κορυδαλὸς ὄρνεον· ὃ μυθεύονται πρὸ τῆς γῆς εἶναι· ἀποθανόντα δὴ τὸν αὐτοῦ πατέρα ταφῆναι ἐν τῇ αὐτοῦ κεφαλῇ. διὸ καὶ τύμβος λέγεται εἶναι ὁ τοῦδε λόφος, Exc. Guelf. ex altera notatione Mofchopuli l. c.

4. ποιῶ BEdd., Mofch. Syll. f. 148. b. τὸ ποιῶ AG. ἐπὶ τῶν GBEdd., Mosch. καὶ ἐπὶ τῶν RR. 5. ἐκ τοῦτο B. ἀπὸ τούτου Mofch. 7. δὲ om. A. 8. ἡ om. B. 9. ἐπὶ λόγου AGB. ἐπιλόγοο C. ἐπίλογος LaDP. ἐπιλόγου FO. σκευωρῶ et σκευωρία vitiose Mosch. 10. συσκευὴ ALaRRGBOxO, Mosch., E π. ῥ. σκευὴ CDPF, Phavor. p. 684. a. 16. οἰκονομεῖ καὶ τὸ οἰκονομεῖται Ra. 17. ἐν τῷ περὶ Ἁλοννήσου BEdd. om. ALaRbG. Est p. 80, 19. 19. νεωσοίκους GO. νεωσήκους ARRB.

καὶ *Λιβάνιος*· τί μαθὼν, ὦ βασιλεῦ, τὰς δυνάμεις συνέχεις καὶ ὅπλα κατασκευάζῃ;

Κλάσις ἐπὶ ὀστῶν ἢ τοιούτων τινῶν, καὶ τὸ κλᾶν ἐπὶ τούτων λέγεται· θραύειν δὲ καὶ συντρίβειν ἐπὶ ξηρῶν. ἔστι δὲ συντρίβειν κυρίως τὸ εἰς χνοῦν λεπτύνειν.

Καταθέω οὐ μόνον τὸ κατατρέχω, ἀλλὰ καὶ τὸ κατέρχομαι. *Ἀριστείδης* ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· οἱ δ' εἰς αὐτὴν καταθέουσί τε καὶ ἀναθέουσι.

Καιρός οὐ μόνον ἐπὶ χρόνου ἁπλῶς τίθεται, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁρμοδίου καὶ πρέποντος, ὡς *Εὐριπίδης* ἐν *Ὀρέστῃ*·

ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμέ.

καὶ *Αἰσχίνης*· οἱ δὲ λόγοι πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς λέγονται, ἤγουν πρὸς τὰ ἁρμόζοντα ἑκάστοτε καὶ πρέποντα. τινὲς δὲ ἐνταῦθα τὸ καιροὺς ἀντὶ τοῦ χρείας φασίν.

---

1. βασιλεῦ A „*MSS*" RRGBO. βαλλεῦ CDPF. 2. κατασκευάζει B. κατασκεάζεις Ox.

3—5. hic inserunt RRB, eademque ab Oudendorpio p. 536. (cum *Add.*) inter *Κλάειν* et *Κλεῖν* voces ex ALa afferuntur. Om. GEdd. τούτων] τούτου B. 4. θραύειν] δράνειν B. δὲ καὶ RRB. δὲ om. La. ἐπὶ — συντρίβειν om. RR. ξηρῶν] ὀστῶν add. B. 5. συντρίβει B. χνοῦν Moschopulus Syll. voc. *Θραύειν*, f. 146. b. χοῦν LaRRB.

7. *Ἀριστείδης*] vol. I, p. 414. (I, 384. Df.) *Κυζίκῳ* RRGB CDP. *Κυζικῷ* FO. 8. οἴδ CFO. οἴδ' DP. αὐτὴν] ἑαυτὴν La. 9. ἀναθέουσιν B.

10—17. hic ponunt RRGBCDP, superiori notationi (p. 206. 207.) adiuncta FO. ἐπὶ χρόνου om. La. ἀλλὰ] δὴ add. B. καὶ om. La. 11. ἁρμοδίου BO. *Ὀρέστῃ*] v. 122.

13. ἐμέ A „*MSS*" (*Ol D.*) RRGBCDPO. ἐμὴν F ex vulgata ante Porsonum Euripidis scriptura. Cf. Pors. ad v. 1263. 14. *Αἰσχίνης*] p. 36. St. 243. Rk. τοὺς om. B. 17. τοῦ om. AE. φασίν LaGB. φασί Edd.

Καὶ κατάσχεσις καὶ κάθεξις. Θουκυδίδης ἐν τῇ τρίτῃ· καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν τῆς ἀρχῆς.

Καθίσταμαι ἄρχων ἤτοι γίνομαι, καὶ καθίσταμαι τὴν ἀρχὴν ἤτοι οἰκονομῶ. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· τῶν πόλεων ἄρχοντας καθιστάναι. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἅ τε εἶχε τῶν χωρίων καθίστατο.

Τὸ καταφρονῶ ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσσεται· ἔστι δ᾽ ὅπου καὶ αἰτιατικῇ, ὡς ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· τὸ μὲν καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι.

Οὐ μόνον κέκλεισμαι, ἀλλὰ καὶ κέκλειμαι ἄνευ τοῦ σ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ. καὶ ὑπὸ τῶν ὀρῶν συγκέκλειται.

Κληρονομῶ ὡς ἐπιτοπλεῖστον μὲν γενικῇ συντάσσεται, ἅπαξ δὲ καὶ αἰτιατικῇ. Ἀριστείδης ἐν Λευκτρικῷ πέμπτῳ·

---

1. *Καὶ κατάσχεσις* ALaG. *καὶ* om. BEdd. *ἐν τῇ τρίτῃ*] *ἐν τῇ ϛ'* ARb. Est III, cap. 47. 2. *ἐς* ARbG. *εἰς* Edd. *σοὶ* B.

4. *ἀρχὴν*] *καὶ καθίστημι* add. Edd. om. ARRGB. 5. *ἤτοι* AG. *ἤγουν* BEdd. *οἰκοδομῶ* A. *τετάρτῃ*] cap. 132. extr. 7. *αὐτῇ*] cap. 116. extr.

8. Prioribus continuant DP. *ἐπιτοπλεῖστον* LbGBCDP. *ἐπὶ τὸ πλεῖστον* FO. 9. *αἰτιοτικῇ* P. *ὡς ὁ αὐτὸς* ARRGO. *ὡς αὐτὸς* LaB. *ὁ αὐτὸς* CDP. *ἕκτῃ*] cap. 34. extr. 10. *ἐν* LaRaBO. om. ARb. *ἐκ* GCDPF, aliquot libri Thucydidis. 11. *δείκνησθαι* P.

12. *Κέκλεισμαι οὐ μόνον, ἀλλὰ καὶ κέκλημαι* B. 13. *Αἰγυπτίῳ*] vol. III, p. 594. (II, 470. Df.) *ὀρῶν* AO, Aristides. *ὁρῶν* LaRRG. *ορῶν* B. *ὡρῶν* CDPF. 14. *συγκέκλειται*] *οὐ κέγκλειται* B.

15. *ἐπιτοπλεῖστον* G. *ἐπὶ τὸ πλεῖστον* BEdd. 16. *δὲ*] *ἐστὶ* B. *Ἀριστείδης* GBFO. *ὁ αὐτὸς* CDP. *Λευκτρικῷ* ALaRRGB. *Λευκτρικῶν* Edd. Vid. ad p. 190, 2. *πέμπτῳ*] vol. II, p. 216. (I, 708. Df.)

πῶς ἀλλοτρίων γε κακῶν ἄξιον κληρονομῆσαι. Λουκιανὸς ἐν τοῖς νεκρικοῖς· ὡς κληρονομήσαιμι τῆς βακτηρίας αὐτοῦ. ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· κληρονομεῖν ἀποθανόντος ἐμοῦ τὰ κτήματα.

Οὐ μόνον καταλύομαι [ἐγὼ] ὑπό τινος, ἀλλὰ καὶ καταλύομαι τὸν δεῖνα ἤγουν καταλύω. Θουκυδίδης ἐν τῇ ἕκτῃ· τὸν ἐκεῖ πόλεμον μήπω βεβαίως καταλελυμένους.

Κομίζομαι οὐ μόνον τὸ φέρομαι, ἀλλὰ καὶ τὸ ἀπολαμβάνω. Λιβάνιος ἐν ἐπιστολῇ· καὶ ἔδοξεν οὐ φαύλους κεκομίσθαι μισθούς.

Κάτοπτα λέγε καὶ μὴ ὀπτά, ἤτοι θεατά. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· ὥστε τὰ ἐν τῷ ἐπέκεινα αὐτοῦ μὴ κάτοπτα εἶναι. [καὶ] Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· καὶ πάντ' ἦν κάτοπτα ἀπὸ τῆς γεφύρας. ἄποπτα δὲ τὰ ὑψηλὰ καὶ περίβλεπτα, ἢ ἐφ' ὧν τις ἱστάμενος δύναται μακρὰν βλέπειν.

Καθάπαξ ἀντὶ τοῦ παντελῶς· εἰσάπαξ δὲ καὶ ἀντὶ τοῦ ἅπαξ

---

1. γε ALaRRBO, Aristides. om. G. σε CDPF. ἄξιων κλυρονομῆσαι P. 2. νεκρικοῖς] XI, 3. vol. I, p. 378. ὡς ALaRRBO, Luc. πῶς CDPF. κλυρονομήσαιμι P. 3. τῆς] καὶ τῆς Rb. 4. αὐτοῖς] ibidem.

6. ἐγὼ Edd. om. AGB. 8. ἕκτῃ] cap. 36. μήπω] μῦπο B. 9. καταλελημένους CDP.

10. ἀπολαμβάνω ALLRRGBO. ὑπολαμβάνω CDPF. λαμβάνω Phavor. p. 440. c. 11. ἐπιστολῇ] 407. p. 208. ἔδοξεν] ἔδοξέ μ' Phav., „*Liban. ed. Richard.*" 12. μισθούς ALaRRO, Phav., Liban. μιθούς B. καρπούς GCDPF.

14. ὀγδόῃ] cap. 104. extr. ἐπ' ἐκεῖνα B. αὐτοῦ] γιγνόμενα add. Thucyd. 15. καὶ BEdd. om. ALLG. δευτέρῳ] vol. I, p. 520. (I, 470. Df.) 16. γεφύρας] φύρας B.
17. ἐφ' ᾧ τις B.

19. καὶ ἀντὶ τοῦ ἅπαξ om. B.

καὶ ἀντὶ τοῦ παντελῶς καὶ διόλου. Δημοσθένης· ἀλλ' εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει. Λουκιανὸς ἐν Τίμωνι· τὸ κεχηνὸς τοῦτο καὶ ἐς τὸ ἅπαξ ἀναπεπταμένον. Λιβάνιος ἐν μελέτῃ τῇ "Οτε πρῶτον ὑμᾶς εἶδον· τῆς Ἀγαμέμνονος βδελυρίας εἰσάπαξ κατεγνωκότας.

Κατέσχημαι· κατίσχημαι δὲ βάρβαρον. οὐ γάρ ἐστιν ἰσχέω ἰσχῶ, ἀλλὰ σχέω σχῶ. ὡσαύτως καὶ κατεσχημένος καὶ συνεσχημένος καὶ ἐνεσχημένος καὶ περιεσχημένος. Λουκιανὸς ἐν Τίμωνι· πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον.

Καὶ Κεγχρεαί καὶ Κεγχρειαί. Λουκιανὸς ἐν τῷ περὶ τοῦ πῶς δεῖ ἱστορίαν συγγράφειν· οὐδ' ἄχρι Κεγχρεῶν ἀποδημήσας. καὶ Θουκυδίδης ἐν τῇ ὀγδόῃ· πλέων ἐκ τῶν Κεγχρειῶν.

Οὐ μόνον κέκτημαι, ἀλλὰ καὶ ἔκτημαι χωρὶς τοῦ κ γράφουσιν. Αἰσχύλος ἐν Προμηθεῖ·

κοινὸν ὄμμ' ἐκτημέναι.

Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ· ὁ τὴν ἀρχὴν

---

1. *Δημοσθένης*] Olynth. II, p. 21. init. *ἀλλ'*] *ἀλλὰ τὰ τοιαῦτα* Demosthenes. 2. *ἅπαξ καὶ* GB, Demosth. *καὶ* om. Edd. *βραχὴν* B. 3. *Τίμωνι*] §. 19. vol. I, p. 129. *ἐς* AGB. *εἰς* Edd. 4. *ἀναπεμπταμένον* B. *Λιβάνιος*] *καὶ Λιβάνιος* B. *μελέτῃ*] vol. I, p. 228. (IV, 47. Rk.) 5. *εἶδον* LaRR, Liban. om. G. *εἶδου* B. *οἶδα* Edd. 6. *κατεγνωκότος* B.

7. *Κατέσχημαι.* RRO, sine interpunctionis nota BF.

8. *ἀλλὰ*] *ἀλλὰ καὶ* B. 9. *καὶ συνεσχημένος καὶ ἐνεσχημένος* ALLG. *καὶ συν καὶ ἐν* B. „*συνεσχημένος καὶ ἀνεσχημένος* RR." *καὶ ἐνεσχημένος καὶ συνεσχημένος* Edd. 10. *Τίμωνι*] §. 31. vol. I, p. 144. *πρὸς*] *ὁ πρὸς* B.

12. *Κεγχρειαί*] *κεγχρειέ* C. *Λουκιανὸς*] §. 29. vol. II, p. 38. 14. *ὀγδόῃ*] cap. 23. 15. *Κεγχριῶν* B.

16. *Κέκτημαι οὐ μόνον* B. *γράφουσιν* GB. *γράφουσι* Edd. 17. *Προμηθεῖ*] v. 794. 19. *βίῳ*] V, 27. p. 211. *ὁ τὴν*] *τὴν μὲν* Philostratus.

ἀπολωλυῖαν ἀνεκτημένος. καὶ ἐν πολλοῖς δὲ ἄλλοις τῶν λογοποιῶν ζητῶν εὑρήσεις.

Καπνοδόκη, οὐ καπνοδόχη. Λουκιανὸς ἐν τῷ Ἰκαρομενίππῳ· *σπένδειν τέ σοι ἐπὶ τῆς καπνοδόκης*.

Κατεύχομαι τὸ καταρῶμαι· παρ' Ἡροδότῳ δὲ τὸ ἐπιπόνως εὔχομαι, ὡς ἐν τῇ πρώτῃ· *πᾶσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι*.

Οὐ μόνον καταστρέφομαι παρ' ἄλλον, ἀλλὰ καὶ καταστρέφομαι τὸν δεῖνα. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· *ἅτε δὴ Μίνω τε κατεστραμμένου γῆν πολλήν*.

Οὐ μόνον καθάπτομαι τοῦ δεῖνος, ἀλλὰ καὶ ἅπτομαι ἐπὶ τοῦ αὐτοῦ. ὁ αὐτὸς ἐν τῇ πέμπτῃ· *ἀλλήλων ἅπτοντο καταιτιώμενοι*.

Οὐ μόνον κοινωνῶ σοι τοῦ δεῖνος ἀντὶ τοῦ συμμετέχω σοι, ἀλλὰ καὶ κοινωνῶ σοι ὧν ἔχω ἀντὶ τοῦ μεταδίδωμι.

---

1. *ἀπολωλυῖαν* LLGBOxEdd. om. Philostr. *ἀπολλωλυῖαν* Ra. *ἀνεκτημένος* ALLRaCDPO. *ἀνεκτημένοις* Rb. *ἐκτημένος* GF, Philostr. *ἐκτημένοις* B. 2. *ζητῶν* ALLRRGBCDPO. om. F.

3. *οὐκαπνοδόχη* CD. *σὺ καπνοδοχὴ* B. *Ἰκαρομενίππῳ* CD P. *Ἰκαρομένιππος* B. Est §. 13. vol. II, p. 767. 4. *σπένδειν τέ σοι* ALaRRGBO, Lucian. *σπένδεταί σοι* CDPF. *καπνοδόχης* editum ap. Lucianum.

5. „*τὸ ἐπιπόνως*] *καὶ τὸ ἐπ.* *Lb*," probatum Oudendorpio. *καὶ* om. GBEdd. 6. *πρώτῃ*] cap. 132. *πᾶσι*] *τοῖσι* add. Herodotus.

8. *Καταστρέφομαι παρ' ἄλλον οὐ μόνον* B. 9. *ὁ αὐτὸς — αὐτῇ* GBCDP. *Ἡρόδοτος ἐν τῇ πρώτῃ* FO. Est cap. 171. *ἅτε δὴ* cod. Ask. Herodoti, apud quem nunc *ἅτε δὲ δὴ*, olim *ἅτε δὲ* editum, omisso simul *τε*. *Μίνω*] *μόνω* P.

12. *ὁ αὐτὸς* GBCDP. *Ἡρόδοτος* FO. *πέμπτῃ*] cap. 92. *ἅπτοντο*] *ἥπτοντο* A. 13. *καταιδιώμενοι* B.

14. *κοινωνῶ σοι* ALLRRGO. *κοινονῶ σοι* B, transponens simul *οὐ μόνον* post *συμμετέχωσι* (sic.) *κοινῶ σοι* CDPF.

15. *καὶ κοινωνῶ*] *καὶ κοινονῶ* B. *καὶ κοινῶ* G. *μεταδίδομαι* B.

Πλάτων ἐν δευτέρᾳ τῶν πολιτειῶν· τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ καὶ ἄλλοις κοινωνεῖν, ἤγουν μεταδιδόναι τούτου. καὶ πάλιν ἐν τῇ αὐτῇ· καὶ μὴ ἄλλοις κοινωνοῦντα πράγματα ἔχειν. καὶ κοινωνῶ ἁπλῶς τὸ μετέχω, πρὸς γενικὴν μόνον συντασσόμενον.

Λ.

Λαμπρὰ ἐσθὴς κάλλιον λέγειν ἢ λευκή. λαμπρὰ ἡμέρα, οὐ καθαρά.

Λαγχάνω δίκην τῷ δεῖνι ἤγουν κρίσιν Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω· διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ λαγχάνει Ποσειδῶν Ἄρει τὴν ὑπὲρ τοῦ παιδός.

Λοῦμαι πάντες Ἀττικοὶ καὶ λούμενος καὶ λοῦσθαι.

Λυσιτελές καὶ λυσιτελεῖν, οὐ λυσιτέλεια· ὠφέλεια δέ.

Λαισήιον, οὐκ ἀσπιδίσκιον· ἀσπίς δέ.

---

1. δευτέρᾳ τῶν πολιτειῶν reposui, ut p. 114, 6. δευτέρῳ τῶν πολιτειῶν GBEdd. „δευτέρᾳ π. Λ." Est p. 369. e. 2. σίτον B. 3. παρασκευῆς La. ἄλλος B. 4. τῇ αὐτῇ] Legebatur τῷ αὐτῷ. Est p. 370. a. ἄλλος B. 5. πράγματ' B. 6. μόνην Lb.

7. λευκή· καὶ λαμπρὰ E.

9. τῷ — κρίσιν] ἤγουν κρίσιν. τὸ δεῖνι B. ἤγουν κρίσιν om. RaOx. 10. διακλήρου CDP. 11. τῷ om. G. Παναθηναϊκῷ] vol. I, p. 185. (I, 170. Df.) 12. Ἄρει CDP. Ἀρεῖ RR.

13. λούσθαι O.

14. Λυσιτελεῖς B. λυσιτελεῖν] λυσιτελεῖον Rb. ὠφελεία Rb. ὠφέλεια δὲ om. Ox.

15. Λαισήϊον ALLRRGBO. λεσήιον CDPF. ἀσπιδίσκιον] ἀσπίδιον Rb.

Λευκόχρως λευκοχρῶτος, οὐ λευκόχρους λευκόχρου.

Λεώς, οὐ λαός.

Λατόμος καὶ λιθουργός, καὶ λατομία καὶ λιθουργία, καὶ λατομῶ καὶ λίθον ξέω καὶ λαξεύω καὶ λαξευτής καὶ λίθων ἐργάτης καὶ λιθολόγος. Θουκυδίδης· ἔχουσαι καὶ λιθολόγους καὶ τέκτονας. τὸ δὲ λιθοκόπος ἀδόκιμον, εἰ καὶ Ἀντιφῶν λέγει.

Λοιμὸς ἀνὴρ καὶ φθόρος. Ἀριστείδης· λοιμοὶ καὶ φθόροι πόλεως. οὐ λυμεὼν οὐδὲ φθορεύς.

Ληρῶ καὶ φλυαρῶ καὶ φλυαρία, οὐ ληρῳδία.

Λοπάδιον, οὐχὶ λοπάς. Ἀριστοφάνης ἐν Πλούτῳ·

ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον καὶ χύτρα.

Λεπάς ὀξυτόνως ὄστρεόν τι μονόπτυχον ταῖς πέτραις προσπεφυκός· λέπας δὲ ἀπόσπασμα ὄρους.

Λέμφος ἡ κόρυζα, ὡς τὸ κορύζης καὶ λέμφου ἔμπλεως παρὰ Λιβανίῳ. καὶ λέμφος ἀρσενικῶς ὁ κορυζώδης καὶ μυξώδης.

---

1. *λευκοχρῶτος*] Immo *λευκόχρωτος*: addebatur autem in B OxCDP *Λυκόφρων*, in F *λευκόχρων*, omissum in ALLRRGO. *οὐ* om. La. *λεκόχρου* B.

2. *λαός*] *λαοὶ* La.

3. *λιτουργία* P. 5. *Θουκυδίδης*] VI, cap. 44. init.

7. *Ἀντιφῶν*] vid. Piers. ad Moer. p. 254.

8. *Ἀριστείδης*] „*Liban. I, p.* 906. *a. et II, p.* 500. *b. ubi citantur Aristidis verba φθόροι καὶ λίμη πόλεως, ad quae etiam respexisse Noster videtur.*“ WITTERUS. *λοιμοὶ*] *ἐν λοιμοὶ* B. 9. „*οὐ λυμεὼν*] *δὲ add. A.*“

10. Scribebatur *ληρωδία.*

11. *οὐχὶ λοπάς*] *οὐ λέπας* E. *Πλούτῳ*] v. 812.

13. Priori notationi continuant EEdd. *ὀξυτόνως*] *δὲ* E.

15. *Λέμφος*] *οὐδετέρως* add. Phavor. p. 472. b. *καὶ λεμφος* (ου supra) B. 16. *Λιβανίῳ*] vol. I, p. 808. (IV, p. 630, 20. Rk.) *λέμφος*] *λεμφὸς* corr. Oudendorpius. 17. *μιξόδης* (υ supra) B.

Λέχος ἡ κλίνη· εὐνὴ δὲ ἡ ἐπὶ ταύτης στρωμνή.

Λίβανος καὶ τὸ δένδρον καὶ τὸ θυμιώμενον· λιβανωτός δὲ μόνον τὸ θυμιώμενον.

Λυχνοῦχον [οἱ ῥήτορες] καὶ λαμπτῆρά φασι, φανὸν δὲ τὴν λαμπάδα· καὶ οἱ μὲν κωμικοὶ διὰ τοῦ φ̄, οἱ δὲ τραγικοὶ διὰ τοῦ π̄ πανόν. λυχνεῖον δὲ τὴν λυχνίαν.

Λαγώς διὰ τοῦ ω̄ μεγάλου Ἀττικοί· οἱ δὲ Ἴωνες μικρογραφοῦσιν.

Ἡ λιμός οἱ λυρικοί· σὺ δὲ τὸν λιμὸν λέγε.

Λύτρον, οὐχὶ λυτήριον.

Λήθαργος καὶ ἡ ληθώδης νόσος καὶ ὁ ταύτην νοσῶν. Ἀττικοὶ μὲν οὖν λήθαργον ἐπὶ τῆς νόσου φασὶν, ἐπὶ δὲ τοῦ ταύτην νοσοῦντος ἐπιλήσμων· Μένανδρος δὲ καὶ τὸν νοσοῦντα λήθαργον λέγει.

Λιθίδιον λέγε, ἀλλὰ μὴ λιθάριον.

Τὸν λάρυγγα ἀρσενικῶς Ἀττικοὶ, τὴν φάρυγγα δὲ θηλυκῶς,

---

1. ἐπὶ ταύτης] ἐπ' αὐτὴν Phav. p. 473. c.

3. θυμηώμενον B.

4. Λυχοῦχον B. οἱ ῥήτορες accessit ex E. λαμπτῆρα BFO. φασι] τὸν λύχνον add. Hemsterhusius ad Polluc. VII, 178. p. 816., τὸν νῦν φανὸν Oudendorpius cum Valckenario Animadv. ad Ammon. p. 146. 5. οἱ μὲν] εἰ μὲν B. 6. πανόν „MSS“ (*OUD.*) RRGO. πάνον F. πανον B. λυχνεῖον — λυχνίαν om. RbE. λυχνεῖον ALLRaGB. λυχνίον Edd., Hemsterhusius, Valckenarius ad Ammon. p. 90. λυχνίαν GBEdd. λυχνείαν A.

9. Ἡ λιμός] ὁ λιμὸς A. λυρικοί] Δωριεῖς (ut ap. Phryn. p. 188.) vel Δωρικὸν coni. Sallierus, Δωρικοὶ Witterus. τὸν λιμὸν LaG, Phryn. τὴν λιμὸν A. ὁ λιμὸς BEdd.

10. Λύτρον] λέτρας B.

11. λωθώδης B. νόσων B. 12. λίθαργον CDP. φασὶν LaGBO. φασὶ CDPF. 13. Μένανδρος] ap. Phryn. p. 416. Praetermisit Meinekius.

15. Λυθίδιον P.

16. οἱ Ἀττικοὶ G. φάρυγγει δὲ θηλυκοῦ B.

εἰ καὶ Ἐπίχαρμος ἀρσενικῶς λέγει, καὶ Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν ἅπαξ· ἦν δὲ τὸν χρόνον τοῦτον ἐργώδη τὰ περὶ τὸν φάρυγγα. Ἀριστοφάνης ἐν βατράχοις·

ὅσον χανδάνῃ ἡμῶν ἡ φάρυγξ.

ἔστι δὲ φάρυγξ μὲν ἡ τῆς φωνῆς διέξοδος, λάρυγξ δὲ ἡ τῶν σιτίων εἴσοδος. ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι·

ἐγὼ δὲ τὸν λάρυγγ' ἂν ἐκτέμοιμί σου,
. . . . ᾧ τοὺς κόλικας κατήσθιες.

καὶ θαῦμα, πῶς ἐκεῖ μὲν οὐ ποιοῦμεν ῥῆμα, ἐπὶ δὲ τοῦ λάρυγγος ποιοῦμεν, οὐ τὸ τούτου, ἀλλὰ τὸ τῆς φάρυγγος σημαινόμενον ἔχον· λαρυγγίζω γάρ φαμεν οὐ τὸ ἐσθίω, ἀλλὰ τὸ εὐήχως λέγω.

Λευκὴν ἡμέραν διαγαγεῖν λέγουσιν, ἤγουν ἡδεῖαν καὶ ἱλαράν.

Λειμών τόπος δίυγρος, ἀνθηρὰν πόαν ἔχων, τὸ κοινῶς λεγόμενον λιβάδιον. κῆπος ὁ τῶν λαχάνων καὶ τῶν δένδρων. παράδεισος ὁ δένδρα ἥμερα ἔχων. ἄλσος δὲ καὶ δρυμὼν καὶ λόχμη ἐπὶ ἀγρίων δένδρων ἱσταμένων ἐπὶ ξηρᾶς· ἕλος δὲ τόπος λιμνώδης καὶ καλαμώδης.

---

1. Ἐπίχαρμος] ap. Phryn. p. 65. 2. πέμπτῳ] vol. I, p. 621. (I, 536. Df.) 3. τοῦτον ἐργώδη GB, Aristides. ἐργώδη τοῦτον Edd. τὸν φάρυγγα] τὴν φάρυγγα apud Aristidem editur.

4. βατράχοις] v. 259.: ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν Χανδάνῃ ....., intrusa in FO. 5. ὅσων P. χανδάνῃ ARR. χανδάνει LaGB CD. χανδάνειν P. ἡμῶν ALaGB. ὑμῶν CDP. φάρυγξ ALa GBP. φάρυξ CD. 7. τῷ] τῶν B. δράματι] v. 575.

8. ἂν om. ARb. 9. κόλικας FO ex Aristophane, cui nunc tribuitur χόλικας. κολίκας A. κόλικας GB. κόληκας Ra. κώληκας CDP. „κόληκας vel κώληκας LLOx.“ Cf. Schaefer. ad Greg. Cor. p. 550. κατήσθιες ALLRRGBOxCDP. κατέσπασας FO ex Aristophane. 11. τῆς ALaGBO. τοῦ CDPF. 12. λαρυγγίζειν δὲ τὸ ἀήχως φωνεῖν E.

15. ἀνθηρὰν ALLRRGBO, Phav. p. 470. b. τρυφερὰν CDPF. 16. κῆπος] Δῆπος B, novam §. inchoans. 17. ἥμερα] ἡ μέρα B. δρυμῶν P, Moschop. Syll. f. 150. a. extr., unde sua Thomas transscripsit.

Λαλιά καὶ προσλαλιά καὶ προλαλιά δόκιμα· καταλαλιά δὲ οὐδεὶς εἶπε τῶν ἀρχαίων, ἀλλ' ἀντὶ τούτου κατηγορία. ὡσαύτως καὶ ῥητέον, οὐ λαλητέον.

Ληστρικὸν πλοῖον, ληστικὸν δὲ σύνταγμα. Θουκυδίδης· τό τε ληστικὸν ὡς εἰκὸς καθῄρει.

Λογογράφος οὐ μόνον ὁ λόγους γράφων, ἀλλὰ καὶ ἐπὶ διαβολῆς εὕρηται, οἱονεὶ ψευδογράφος. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν καὶ τοιαῦθ' ὑβρίζων. καὶ Αἰσχίνης περὶ Δημοσθένους λέγων· τῷ λογογράφῳ τῷδε καὶ Σκύθῃ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ λογοποιός· καὶ γὰρ καὶ λογοποιός ὁ λόγους τε γράφων καὶ ὁ ψεύδη συντιθείς. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ὥσπερ ἄλλοτε πολλάκις· ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφανοῦς.

Οὐ μόνον λειποτάξιον καὶ λειποταξία φαμὲν, ἀλλὰ καὶ λειποστρατεία καὶ λειποστράτιον. Θουκυδίδης· λειποστράτιον εἴ τῳ ἐγένετο.

Λε-

---

1. *Λαλιά καὶ*] *καὶ* om. B. 2. *ἀλλ'* LLGBOxO. *ἀλλὰ* CDPF. 3. *ὡσαύτως καὶ κατηγορητέον, οὐ καταλαλητέον* coni. Abreschius. *οὐ* ALLRRGBOxO. *καὶ* CDPF.

4. *Θουκυδίδης*] I, cap. 4.

7. *εὕρηται*] *εἴρηται* coni. Sallierus. 8. *τοῦ στεφάνου*] immo *τῆς παραπρεσβείας* p. 417. extr. 9. *σοφιστὰς* LaO, Demosthenes. *ὑβριστὰς* GBCDPF. *καὶ τοιαῦθ' ὑβρίζων*] *τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος* Demosthenes. 10. *Αἰσχίνης*] de falsa leg. p. 52. St. 343. Rk. 11. *τῷδε* om. Aeschines. *ἐπὶ τοῦ* LLRRGBCDPO. *τοῦ* om. F. 12. *καὶ γὰρ καὶ* ALLRRGBO. *καὶ γὰρ* CDPF. 13. *ψευδῆ* G. *ἐπιστολῇ*] 44. p. 184. c. *τῇ καὶ ὥσπερ* B. *ὥσπερ ἄλλοτε* om. Ra. *ἐπὶ τῶν* add. Rb. 14. *ἐξ ἀφωνάνου σ ῶ ν: —*] B (sic.)

16. *οὐ μόνον* ante *φαμὲν* collocat B. *λειποταξία*] *λειποταξίου* Rb. 17. *λειποστρατεία* ALaRRGB. *λειποστρατία* Edd. *λειποστράτειον* bis G. *λειποστρατίον* B. *Θουκυδίδης*] I, cap. 99. 18. *εἴτω* CDP.

Λεπτὸν κυρίως τὸ μὴ πάχους μετέχον ξύλον, ἀλλ᾽ ἄγαν περιεξεσμένον, ἀπὸ τοῦ λέπω λέψω λέλεφα λέλεμμαι λέλεψαι λέλεπται. ἐκεῖθεν δὲ εἰς διαφόρους σημασίας ἐξῆκται. λεπτὸν γὰρ νόημα λέγομεν τὸ μὴ τοῖς πολλοῖς εὔληπτον· καὶ λεπτότητα φρενὸς καὶ ὅσα τοιαῦτα. λεπτὸν καὶ τὸ μικρὸν καὶ ἀσθενὲς, ὡς Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· οἱ ἐν τοῖς λεπτοῖς πλοίοις περιπλέοντες. Ἀριστείδης ἐν Θεμιστοκλεῖ· ὥστε καὶ περὶ τοῦ μέλλοντος λεπτὰς ἔχειν ἐλπίδας. καὶ Λιβάνιος ἐν ἐπιστολῇ· εἰ τῇ σῇ δυνάμει χρησαίμην· ἡ γὰρ ἐμὴ λεπτή τις. λεπτὸν καὶ τὸ δυσμεταχείριστον καὶ οὐκ εὐάγωγον. Φιλόστρατος· τὸ δὲ ἔθνος τοῦτο ἀγέρωχοι καὶ λεπτοὶ ἀρχθῆναι.

Λύζω τὸ τῷ κοινῶς λεγομένῳ κλώξῳ κατέχομαι, ὡς Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· οὔτε λύζων ἄνθρωπος οὔτε χρεμπτόμενος. ὃ δὴ προερχόμενον εἰς παθητικὸν παρακείμενον ἀπὸ μὲν τοῦ πρώτου προσώπου τὸν λυγμὸν ποιεῖ, ἀπὸ δὲ τοῦ δευτέρου τὴν λύγγα· ἀπὸ

---

1. *μέτεχον* B. *μέτοχον* G. 5. *λεπτὸν καὶ τὸ* LLRRG BCDPO. „*λέπτον καὶ τὸ Λ.*“ *λεπτὸν γὰρ τὸ* F. 6. *ἐν τῇ ζ* CDP. *ἐν τῇ β* Rb. Est VII, cap. 40. 7. *περιπλέοντες* ALL RRGBO. om. CDPF. 8. *Θεμιστοκλεῖ*] vol. III, p. 318. (II, 257. Df.) haec leguntur: *τὸ μὲν γὰρ μέλλον — λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα.* 10. *ἐπιστολῇ*] „60. *p.* 178. *Liban. Epist. Cent. Wolf.*“ 11. *λεπτή τις*] *λεπτότις* Ra. *καὶ οὐκ*] *καὶ* om. DP. 12. *Φιλόστρατος*] vit. soph. II, 16. p. 596. *δὲ* om. RaB. 13. *ἀγέρωχο* BP. *λεπτοὶ*] *χαλεποὶ* ed. Olearii ex cod. Schenk.

14. *κλώξῳ* ARaGCDPO. *κλωξῷ* La. *κλύξῳ* B, ut *κλέξος* ap. Moschop. π. σχ. p. 179. *κλίξῳ* Rb. *κλωγμῷ* F. *κλώζω* Phav. p. 483. a. *κλωσμῷ* vel *κλωζῷ* nescio quis ap. Oudendorpium. *κατέχομαι* ante *κλώξῳ* collocat A. 15. *περὶ* ALaGBO. om. CD PF. *μελέτῃ*] vol. I, p. 302. (IV, p. 137, 2. Rk.) 16. *ἄνθρωπος οὔτε*] *ἄνθρωπος οὐ* Rb. *χρεμπτόμενος* ALaRRGBO. *χρεπτόμενος* CDPF. 18. *δευτέρου* scripsimus pro *β'*.

γὰρ τοῦ λέλυξαι λύγξ, ὅπερ ἐστὶ κάλλιον τοῦ λυγμός. Θουκυδίδης ἐν τῇ πρώτῃ· λύγξ τε τοῖς πλείοσιν ἐνέπεσε καινή.

Ἡ λαῖλαψ, οὐχ ὁ λαῖλαψ. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· λαίλαπι ἀγρίᾳ.

Λοιδοροῦμαί σοι καὶ διαλοιδοροῦμαι· λοιδοροῦμαι δὲ μόνον ὑπὸ σοῦ.

Λωφᾷ τις κυρίως, ὅταν διαλίπῃ λυπούμενος καὶ λωφᾷ τὸ πάθος. λέγεται δὲ καταχρηστικῶς καὶ ἐπὶ θυμοῦ καὶ νόσου καὶ τῶν ἄλλων. ὄντι δὲ ἀμεταβάτῳ μεταβατικῶς Αἰσχύλος χρῆται ἐν Προμηθεῖ·

ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω.

Λυδίον πεδίον παροξυτόνως Ἀττικοὶ λέγουσιν, οὐχὶ Λύδιον· Λύδιον δὲ ἅρμα.

Λινοπάξ ὡς ἀκανθοπλήξ, οὐ λινόπαξ.

Λαμυρία ἡ εὐτραπελία. Πλούταρχος ἐν τῷ πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου· ἂν ἔγγιστα φαίνων-

---

1. λέλυγξαι B. 2. πρώτῃ] δευτέρᾳ Stoeberus: est enim II, cap. 49. 3. ἐνέπεσε ALaRRGBOxCDPO, pars librorum Thucydidis. ἐνέπιπτε F, Thuc. vulgo. καινή ALaRROxCDP, B in marg. κοινή GB. κενή FO ex Thucydide.

4. λαῖλαψ bis G. λαίλαψ BEdd. ἐν τετάρτῳ] ἐν δευτέρῳ Ra. ἐν δ^ω B. Est vol. I, p. 584. (I, 512. Df.) 5. λαίλαπι ἀγρίᾳ] ante ἐν collocat B. καὶ λαίλαπι ἀγρίᾳ Ra.

6. λοιδοροῦμαί σοι] λιδοροῦμαι σοι D.

8. καὶ λωφᾷ] καὶ λοφᾷ CDP. 10. ἄλλων] λοιπῶν ARa. ὄντι δὲ] ὄν τινα δὲ Ra. ἀμεταβάτῳ A,, MSS^a (OUD.) RRGB CDPO. μέταβάτῳ F. 11. Προμηθεῖ] v. 27. 12. πω] πον Ox.

14. Λύδιον δὲ] λίδιον δὲ CDP. ἅρμα] δὲ ἅρπαξ add. B.

15. Λινοπάξ] λινοπλήξ coni. Sallierus, Stoeberus, Heinsius, Oudendorpius, Abreschius. λινόπληξ B. ὡς] ὁ Ra. λινόπληξ] λινόπαξ GBEdd.

17. διακρίνει Rb. διακρίνοι G. φίλου] vol. II, p. 66. c. ἂν ἔγγιστα LaGBO. ἀνέγγιστα CDPF. φαίνωνται AGB. φαί-

ται λαμυρίας καὶ θρασύτητος. λέγεται δὲ λαμυρία καὶ ἡ κατάπληξις· καὶ ἡ ἡδύτης δὲ καὶ ἡ καθαρότης, ὅθεν καὶ λαμυρὰ πηγὴ ἡ καθαρὰ καὶ ἡδεῖα παρὰ Θουκυδίδῃ· ἕτεροι δὲ καὶ λαμπρὰ γραφὴ λέγουσιν. [οὐδεὶς μέντοι τῶν ῥητορικῶν τῷ ὀνόματι τούτῳ ὅλως ἐχρήσατο.]

Λογίους τοὺς πολυΐστορας οἱ ἀρχαίως ἀττικίζοντες, ὡς καὶ Ἡρόδοτος· λογίους δὲ τοὺς διαλεκτικοὺς οἱ ὕστερον. ἔστι δὲ καὶ λόγιος ὁ λόγου ἔφορος. Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς πρώτῳ· καλῶ δ᾽ ἐπὶ τούτῳ τῷ τολμήματι καὶ Ἑρμῆν λόγιον. καὶ λογεῖον ὁ τόπος τοῦ θεάτρου. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· μικρὸν ἀπερυθριάσασιν ἐν τῷ λογίῳ ἀποδοῦναι. καὶ λόγιμον καὶ ἐλλόγιμον τὸ λόγου ἄξιον. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πόλισμα λόγιμον.

Ὡσαύτως οἱ μὲν λητουργός διὰ τοῦ η, ἤτοι ὁ τὰ λήιτα

νονται Edd. 2. *ἡδύπης* B. *δὲ* ARbGB. om. Edd.

4. *Θουκυδίδῃ*] Vid. Dukerum Praef. p. XIII. et Lobeckium ad Phryn. p. 292. *λέγουσι* GB. *οὐδεὶς — ἐχρήσατο* Edd. om. A „*Leid.*" RRGB.

ους ους
7. *Λογίος* B. *οἱ — λογίος* B habet in marg.

8. *Ἡρόδοτος*] I, cap. 1. *διαλεκτικοὺς*] *λεκτικοὺς* coni. Piersonus ad Moer. p. 249. 9. *ἔφορος*] *εὔφορος* Ra. 10. *πρώτῳ*] vol. III, p. 10. (II, 5. Df.) *τούτῳ*] *τοῦτο* B. 11. *Καὶ λογεῖον*] *καὶ* om. F., proxima dirimens ab hac §. *καὶ λογεῖος* G.
ς
καὶ λογεῖον B. 12. *Συνέσιος*] p. 78. a. 13. *ἀπεριθριάσασιν* CDP. *λογείῳ* ALaGBO. *λογίῳ* CDPF, Synes. vulg.

14. *καὶ λόγιμον*] Continuavi cum EDP propter *ὡσαύτως* v. 17., quod, si nova *hic* §. cum GBFO constitueretur, non haberet quo commode referretur. 15. *πρώτῃ*] cap. 143. *οὐδὲ ἄλλο* Rb.

17. *Ὡσαύτως* hic collocat G, in fine antecedentis § BEdd. om. ARR. *λητουργός*] *λητουργὸς* ALaRbOxO: cf. Phav. p. 476.

ἔργον ἔχων· λήιτα γὰρ λέγεται τὰ δημόσια· οἱ δὲ διὰ διφθόγγου.

Καὶ λαμπάς καὶ λαμπάδιον.

Λοιδορισμός μὴ εἴπῃς, ἀλλὰ λοιδορία.

Λύτρα καὶ σῶστρα λογογράφοι, ἄποινα δὲ ποιηταί· εἰσὶ δὲ ταῦτα τὰ ἐπὶ ἐλευθερίᾳ διδόμενα· ὑποφόνια δὲ, ἅπερ διδόασιν οἱ φονεῖς εἰς λύσιν τοῦ ἐγκλήματος. Ἀριστείδης ἐν τῷ πρεσβευτικῷ πρὸς Ἀχιλλέα· πόσα τὰ ὑποφόνια καταθέντα εὐμενοῦς τυχεῖν.

M.

Μέλλω ποιεῖν καὶ μέλλω ποιήσειν· οὐ μέλλω ποιῆσαι, ἀλλὰ μετὰ τοῦ ἄν, ἤγουν μέλλω ποιῆσαι ἄν. προστιθέαμεν δὲ τὸ ἄν, ἵνα τὸν παρῳχημένον διὰ τούτου ὡς μέλλοντα δεξώμεθα. οἱ δὲ μὴ οὕτω γράφοντες ἁμαρτάνουσιν· εἰ καὶ Αἰσχύλος ἐν Προμηθεῖ διὰ τὸ μέτρον ἀναγκασθεὶς ἐπὶ παρῳχημένου ἅπαξ εἶπε λέγων·

μήτι με κρύψῃς τοῦθ' ὅπερ μέλλω
παθεῖν,

ει
a. λειτουργός CDPF. λητουργὸς G. λη̈τουργὸς Ra. λητουργὸς B sed p. sq. al. man. ληιτουργός. ὁ — ἔχων] τὸν τὰ λήτια ἔργον ἔχοντα B.

3. Καὶ prius om. B.

4. Λοιδορισμός] λοιδορησμὸς G.

5. ποιῆται O. εἴσι P. 7. διδόασιν GBEdd. διδοῦσιν A. φονεῖς RaGBDPO. φωνεῖς CF. Ἀριστείδης] Ἀριστοφάνης B. 8. πρεσβευτικῷ] vol. II, p. 436. Iebb. (II, 605. Df.)

11. προστιθέαμεν — ἄν om. Ra. 13. μὴ om. B. 14. Αἰσχύλλος P. διὰ τὸ μέτρον ἐν Προμηθεῖ collocant GB. Est v. 626. 15. εἶπε om. A. λέγων] ἐν Προμηθεῖ repetit B. 16. μή τί P. μήτι pro μήτοι etiam codd. Aeschylii. τοῦθ'] τοῦ B.

νοουμένου ἔξωθεν τοῦ ἄν. εὕρηται δὲ καὶ παρὰ Πλάτωνι ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· οὐδ' εἰ πολλάκις μέλλω τεθνάναι, ὅπερ μοι δοκεῖ ἁμάρτημα τῶν γραφέων εἶναι διὰ τὸ μηδαμοῦ ἑτέρωθι τῶν αὐτοῦ λόγων τοῦτο εὑρίσκεσθαι. ὤφειλε γὰρ μετὰ τοῦ ἄν εἶναι, οἷον οὐδ' εἰ πολλάκις ἂν μέλλω τεθνάναι.

Μαιεύεται, οὐχὶ μαιοῦται.

Μνήσεται κάλλιον ἢ μνηθήσεται· καὶ μαχοῦμαι ἢ μαχήσομαι.

Μελίπηκτον καὶ πόπανον, οὐ μελίτωμα. μελίπηκτα δέ ἐστιν ἄλφιτα ἀναδεδευμένα μέλιτι, ὃ μελιτοῦττάν φασιν· ἀλλὰ σὺ τὸ μελίπηκτα ἀφεὶς τοῖς ποιηταῖς μελιτοῦτταν λέγε. τινὲς δὲ μελιτοῦττάν φασιν οὐ τὸ ἐξ ἀλεύρου καὶ μέλιτος

---

1. νοουμένων ALLRRGBCDPO. νοομένου F. ἔξοθεν B. εὕρητε B. καὶ om. B. 2. ἀπολογίᾳ] p. 30. b. 3. μέλλω πολλάκις Plato. δοκῶ ἁμαρτημάτων B. 4. τὸ GBFO. τοῦ CDP. 5. τοῦτο ALbRRGBCDP. om. FO. εὑρίσκεται ALb. 6. πολάκις C. μέλλων Ra.

7. Μαιεύεται GBPFO. μαιεύλεται CD.

8. μνηθήσεται =: Μαχοῦμαι B (sic, omisso καὶ). καὶ μαχοῦμαι] Continuant „MSS“ (OUD.) G, disparant et κάλλιον ante ἢ repetunt CDP et deleto simul καὶ FO: κάλλιον om. LbGB.

9. πόπανον B. μελίτωμα ALLRRGO. μελίττωμα CPDF. μελήτομα B. μελίπηκτα OxEdd. μελίπριτα ALLRRG et sine accentu B. Nec aliter paullo post v. 11. Ad quam scripturam aliis inventis propius accedit μελίκρητα, quanquam μελίκρατον scio non esse μελιτοῦτταν. 10. ἀναδεδευγμένα Rb. μελιτοῦτταν] μελιττοῦταν BCDPF. μελιτοῦταν LLRRGOxO. Notavit iam Valckenarius ad Herod. VIII, cap. 41. φασιν — ποιηταῖς μελιτοῦτταν ALaRRGBOx. om. LbEdd. φασὶν RRGB. φαὸὶ ALaOx. 11. σὺ] οὐ B. τὸ μελίπηκτα] τὸ μελίπριτα ALaRRGB. τὸ μελίπηκτον OxEdd. Vid. ad v. 9. Ego certe pluralem numerum reposui. μελιτοῦτταν] μελιττοῦταν RR. μελιτοῦταν ALaGBOx. λέγε] λέγει B. λέγε. τινὲς δὲ μελιτοῦτταν om. Lb. 12. μελιττοῦταν Edd μελιτοῦταν ALaGBOx. ἐξ om. G.

φύραμα, ἀλλὰ τὸ ἁπλῶς πόπανον, ὡς Ἀριστοφάνης ἐν νεφέλαις·

δός μοι μελιτοῦτταν ἐς τὼ χεῖρε.

Μίνθη, οὐχ ἡδύοσμον.

Μοιχᾶται ὁ ἀνὴρ, μοιχεύεται δὲ ἡ γυνή.

Μεταπέμπομαι, οὐ μεταπέμπω, εἰ καὶ Θουκυδίδης ἐχρήσατο ἐν τῇ ἕκτῃ· αὐτῶν τῶν Λακεδαιμονίων μεταπεμψάντων. καὶ ἐν τῇ ἑβδόμῃ· ἢν μὴ ὡς τάχιστα ἢ σφᾶς μεταπέμψωσιν.

Μηκύνω τὸν λόγον κάλλιον ἢ ἐκτείνω· ἐκτείνω δὲ τὴν χεῖρα. καὶ Ἀριστείδης ἐν Περικλεῖ· τὴν χεῖρα ἐκτετακώς.

Μεσέγγυος, οὐ μεσίτης.

Μύλη, οὐ μύλος.

Μεθύση γυνὴ Ἀττικὸν, ὡς Ἀριστοφάνης ἐν νεφέλαις·

γραῦν μεθύσην τοῦ κόρδακος εἵνεκα.

μέθυσος δὲ ἐπὶ μὲν ἀρσενικοῦ οὐδεὶς τῶν δοκίμων εἶπεν, ἐπὶ δὲ θηλυκοῦ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ·

---

1. φύρραμα B. φυράματα A. πότανον B. 2. νεφέλαις] v. 507.: ἐς τὼ χεῖρέ νυν Δός μοι μελιτοῦτταν —. 3. μελιττοῦταν CDPF. μελιτοῦταν GBO. ἐς „MSS" (OUD.) GO. εἰς CDPF. χεῖρε] τινὲς δὲ μελιτοῦταν φασὶν hic add. Lb.

5. λωιχεύεται B.

7. ἕκτῃ] cap. 88. extr. 8. ἑβδόμῃ] cap. 8. ἢν — μεταπέμψωσι Edd., Thucydides ante Bekkerum, apud quem est εἰ — μεταπέμψουσιν. εἰ etiam B, et mox τάχυστα ἧς φᾶς. 9. μεταπέμψωσιν LaG.

10. δὲ „MSS" (OUD.) RRGB. μὲν Edd. 11. καὶ „MSS" (OUD.) RbGB. om. Phav. p. 505. b. ὡς Edd. Aliud quoddam exemplum videtur intercidisse. Περικλεῖ] imo Μιλτιάδῃ, vol. III, p. 287. (II, 232. Df.)

13. οὐ ALaRRGBO. ὁ CDPF.

15. Ἀττικῶν B. νεφέλαις] v. 555. 16. γροῦν P. μεθύσιν B. εἵνεκα D. οὕνεκ' Aristophanes. 17. μέθυσος] Non continuant DP. δοκίμων F. 18. τῇ περὶ τῆς λάλου

οὐκ ἔστιν ἡ γυνή μοι μέθυσος. σὺ τοίνυν Ἀττικοῖς ἑπόμενος ἐπὶ μὲν ἀρσενικοῦ μεθύων λέγε καὶ μεθυστικός, ὡς Φιλόστρατος· ἑώρα δὲ αὐτὸν καὶ μεθυστικὸν καὶ ἀνοήτως ἐρῶντα· ἐπὶ δὲ θηλυκοῦ μεθύουσα καὶ μεθύσῃ. οὐ μόνον δὲ ἐπὶ οἴνου τὸ μεθύω λέγουσιν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς ὑβρίζειν καὶ μὴ ἐθέλειν σωφρονεῖν ὑπό τινος τυχὸν ἐξουσίας ἢ πλούτου ἢ τοιούτου τινὸς ἄλλου, ὡς Δημοσθένης περὶ Φιλίππου λέγει· μεθύει τῷ μεγέθει τῶν πεπραγμένων. καὶ Λιβάνιος ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ· κατὰ στρατηγοῦ μεθύειν.

Μεθύω ἐγὼ ἀμεταβάτως, καταμεθύω δὲ ἕτερον. Πλάτων ἐν Γοργίᾳ· ξενίσας αὐτὸν καὶ καταμεθύσας.

Μαχλάς οὐδεὶς τῶν Ἀττικῶν, μάχλη δὲ Λουκιανός· ὑπὸ μάχλης γυναικὸς ἐπιβεβουλευμένος.

Μεῖραξ καὶ μειρακίσκος ἀδόκιμα· μειράκιον δὲ οὐδετέρως πάντες οἱ ῥήτορες. μεῖραξ μέντοι ἐπὶ θηλυκοῦ καὶ μειρακίσκη μόνος Ἀριστοφάνης ἐν Πλούτῳ·

Edd. om. AGB. Est vol. I, p. 308. (IV, p. 143, 8. Rk.) 3. Φιλόστρατος] vit. soph. II, 1, 10. p. 558. 7. τινὸς τύχον B. 8. ἢ πλούτου] ἢ om. A. Δημοσθένης] Philipp. I, p. 54, 9. 10. πεπραγμένον B. ἀπολογίᾳ] vol. I, p. 230. (IV, p. 49, 13.) 11. κατὰ] καὶ κατὰ CDPF. καὶ om. LaRRGBO.

12. Novam §. constitui cum GBCDP, prioribus annectunt FO. 13. Γοργίᾳ] p. 471. b. hoc ordine: ξενίσας καὶ καταμεθύσας αὐτόν.

14. Λουκιανός] Calumn. non tem. cred. §. 26. vol. III, p. 157. 15. μάχλης Luciani Aug. 8.: vulgatum μάχλου. ἐπιβεβολούμενος B.

16. Μεῖραξ] Scribebatur μείραξ: cf. Spohnium de extr. part. Odyss. p. 120. μειράκιον RRGBO. μειράκειον CDPF. 17. οἱ om. AB. μεῖραξ DP. μείραξ GBCFO. 18. μειρακίσκη, μόνος F. Mirum Pauwii commentum ad Phryn. p. 213 Lob. Πλούτῳ] v. 1080.

σὺ δ' ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.

καὶ πάλιν·

ὦ μειρακίσκη, πυνθάνῃ γὰρ ὡρικῶς.
σὺ δὲ μειράκιον θῆλυ λέγε.

Μελάγχρως μελαγχρῶτος. Εὐριπίδης ἐν Ὀρέστῃ·

μελαγχρῶτες Εὐμενίδες.

οὐ μελάγχρους μελάγχρου.

Μαίνεται περὶ λόγους κρεῖττον καὶ βακχεύει ἢ ἐνθουσιᾷ.

Μελαίνεσθαι τὰς τρίχας λέγε, μὴ βάπτεσθαι.

Μαθητρίς ὡς αὐλητρίς, οὐ μαθήτρια.

Μύρου ὄζει Ἀττικοὶ, οὐ μύρον.

Μύκης μύκητος, οὐκ ἀμανίτης.

Μυρρίνη Ἀττικοὶ, οὐ μυρσίνη.

Μεταβολεύς, οὐ μετάβολος.

Μαστός ἐπὶ γυναικός. Εὐριπίδης ἐν Ἑκάβῃ·

ὦ στέρνα μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.

μαζός δὲ ἐπὶ ἀνδρός, ὡς τὸ

---

1. σὺ δ'] σὺ δὲ B. νῦν δ' Aristophanes, et statim ξυλλαβών.
3. πάλιν] v. 964., ubi πυνθάνει. 4. ὡρικῶς F. 5. θῆλυ LaG. θῆλυ A. καὶ ἐπὶ θῆλυ Lb. καὶ ἐπὶ θήλεος Edd. καὶ ἐπὶ θηλυκοῦ B.

6. μαλαγχρῶτος C. Vid. ad p. 221, 1. Ὀρέστῃ] v. 315. Pors.
8. οὐ μελάγχρος B.

9. ἢ ἐνθουσιᾷ] ἢ ἐκθρυσιᾷ B. μαίνεται κάλλιον ἢ μαινοῦται add. Ox.

10. Μελένεσθαι Ra. μὴ] καὶ μὴ G.

11. Μαθητὴς ἡ Ox.

12. Μύρου] μύρον B. μύρον] μῦρον scribebatur. μύρον B.

13. ἀμανίτης] ἀμαμανίτης GB.

14. Μυρρίνη] μυρίνη Rb. μυρσίνη] μυρσηξ B.

15. μετάβολος „MSS“ (Ol. D.) RRGBCDPO. μεθάβολος L.

16. Ἑκάβῃ] v. 424. Cf. Pors. ad v. 141.

νευρὴν μὲν μαζῷ πέλασε

παρ᾽ Ὁμήρῳ [ἐν τῷ γ' Ἰλιάδος.] εὕρηται δὲ καὶ μαζὸς ἐπὶ θήλεος καταχρηστικῶς. Θεόκριτος·

.... ἦ ῥα λεαίνης
μαζὸν θήλασδε.

φασὶ μέντοι οἱ τεχνικοὶ, ἐπὶ μὲν θήλεος διὰ τοῦ $\overline{\sigma\tau}$ μαστός ἐκφέρεται, οἱονεὶ μασητός, ἐπὶ δὲ ἀνδρὸς διὰ τοῦ $\overline{\sigma\vartheta}$, ὁ μὴ ἐσθιόμενος.

Μεγαλαυχῶ οὐδεὶς τῶν ἀρχαίων, ἀλλὰ μεγαλαυχοῦμαι. Λιβάνιος ἐν ἐπιστολῇ· καὶ μεγαλαυχούμεθά γε Σύροι Ῥωμαίοις διδόντες ἄνδρα.

Τὸ μή ἀπαγορευτικόν ἐστι, καὶ ἐπὶ μὲν ἐνεστῶτος προστακτικῷ συντάσσεται, ἐπὶ δὲ ἀορίστου καὶ τῶν ἄλλων ὑποτακτικῷ. οὐκ ἐρεῖς ἐπὶ ἐνεστῶτος μὴ τύπτῃς, ἀλλὰ μὴ τύπτε· μὴ τύψῃς δὲ ἐπὶ ἀορίστου καὶ τῶν ἄλλων χρόνων. ἔδειξε δὲ ἀμφότερα Ἀριστείδης ἐν τῷ πρὸς Ἀχιλλέα πρεσβευτικῷ εἰπών· μὴ δὲ ἀπέχου μὲν ὡς

1. νευρὴν] εὐρὴν B. 2. ἐν τῷ γ' Ἰλιάδος B. om. LLG. ἐν τῷ γάμμα Ἰλιάδος Edd. Est autem lib. IV, v. 123. 3. θήλεος] θηλυκοῦ A. Θεόκριτος] III, v. 16. 5. μαζὸν] μασδὸν Theocritus. θήλασδε ALaG. θήλας δὲ RRB. θήλασε Edd. ἐθήλαξε olim, ἐθήλασδε in Valckenarii ed. 1., ἐθήλαξε nunc scriptum apud Theocritum. 6. τεχνικοὶ] ὅτι videtur inserendum esse.

θήλεος AB. τοῦ θήλεος GEdd. τοῦ $\overline{\sigma\tau}$ ALaCDPO. τοῦ om. GF. τοῦ $\overline{\sigma}$. $\overline{\tau}$. B. 7. ἐκφέρεσθαι Lb. τοῦ] τὸ F. 8. $\overline{\sigma}$. $\overline{\vartheta}$. B.

9. Μεγαλαυχνῶ et μεγαλαύχνοῦμαι B. 10. ἐπιστολῇ] 594. a. p. 201. μεγαλαυχούμεθά γε] μεγαυχοῦ μεθαγε B.

11. ῥωμαίως B.

12. Τὸ μή — τῶν ἄλλων ὑποτακτικῷ om. RbG. ἀπαγορευτικόν ἐστι, καὶ] τὸ ἀπαγορευτικὸν B. 14. ὑποτακτικῷ] ἐπὶ ὑποτακτικοῦ B. οὐκ ἐρεῖς ALLG. οὐ γὰρ ἐρεῖς BEdd. Additicia videntur priora, eorumque cum proximis ligandorum caussa γὰρ insertum. τύπτῃς ALLRRGBO. τύψῃς CDPF.

17. πρεσβευτικῷ] vol. II, p. 426. Iebb. (II, 587. Df.) μὴ δὲ „MSS" (OUD.) RRGB. μηδ' Edd. ἀπέχουμεν B.

φίλων, πρόῃ δὲ ὡς πολεμίους, ἐπὶ τοῦ ἐνεστῶτος μὲν προστακτικὸν θεὶς τὸ ἀπέχου, ἐπὶ παρῳχημένου δὲ ὑποτακτικὸν ἐπενεγκὼν τὸ πρόῃ. εἰ δὲ καὶ εὕρηται τὸ μή ἐπὶ ὑποτακτικοῦ ἐπὶ ἐνεστῶτος, ὡς τὸ

μὴ δοκῶμεν δρῶντες

παρὰ Σοφοκλεῖ ἐν Αἴαντι, καὶ παρὰ Λιβανίῳ ἐν τῇ εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος μονῳδίᾳ· μήτε καλὴν μήτε μεγάλην καλῶμεν ἔτι τήνδε τὴν πόλιν, ἀλλὰ τούτου χάριν γέγονε τοῦτο· ἐπειδὴ ὁ μὲν ἀπαγορεύων ἐπὶ ἐνεστῶτος προστακτικῷ ἐξ ἀνάγκης χρῆται, (ἑτέρῳ γὰρ ἀπαγορεύει,) ὁ δὲ πρὸς ἑαυτὸν τὴν ἀπαγόρευσιν ποιούμενος ἀδυνάτως ἔχει προστακτικῷ χρῆσθαι. οὗτοι τοίνυν ἐφ᾽ ἑαυτῶν τὴν ἀπαγόρευσιν ποιούμενοι καὶ κατὰ τοῦτο μὴ δυνάμενοι προστακτικοῖς χρῆσθαι, διὰ τὸ ἐν τοῖς προστακτικοῖς ἐπὶ παντὸς ἀριθμοῦ πρῶτον πρόσωπον μὴ εὑρίσκεσθαι, (οὐδεὶς γὰρ ἑαυτῷ προστάσσει,) ἐξ ἀνάγκης ὑποτακτικοῖς ἐνεστῶσιν ἐχρήσαντο λέγοντες μὴ δοκῶμεν καὶ μὴ καλῶμεν. Γίνωσκε δὲ καὶ τοῦτο, ὅτι ἐπὶ τῶν ἑνικῶν πρώτων προσώπων τοῦ ὑποτακτικοῦ ἀορίστου καὶ παρακειμένου καὶ τῶν καθεξῆς χρόνων οὐ χρώμεθα μόνῳ τῷ μή, οἷον μὴ τύψω καὶ μὴ

---

1. *φιλίων* nunc legitur ap. Aristidem. *πρόῃ* ALLRRGBOxO. *πρόην* F. *πρώην* CDP. *ἐπὶ τοῦ ἐνεστῶτος μὲν* et *ἐπὶ παρῳχημένου δὲ* „*MSS*" (*OUD.*) G. *ἐπὶ μὲν τ. ἐ.* et *ἐπὶ δὲ π.* BEdd. 2. *προστακτικοῦ* B. 3. *πρόῃ* iidem qui v. 1., praeter Rb, in quo *πρώῳ* est. *πρώην* CDPF. 4. *ἐπὶ ἐνεστῶτος*] *ἐπὶ* om. RbB. *ὡς τὸ*] *ὡς καὶ τὸ* B. 5. *δρῶντα* B. 6. *Αἴαντι*] v. 1085. 7. *ναὸν* ALLRRGB. *νεὼν* Edd. *μονῳδίᾳ*] vol. II, p. 185. (III, 333. Rk.) 8. *τήνδε*] *τὴν δὲ* B. 11. *ἀπογαρεύει* B. 13. *ἀπογόρευσιν* BCDP. *ποιοῦμενος* et *δυνάμενος* B. 15. *πρώσωπον* C, et B sed correctum. 16. *γὰρ* „*MSS*" (*OUD.*) RRGBO. om. CDPF. *προστάσσει* „*MSS*" (*OUD.*) RRGO. *προστάσσεις* B. *προστάσει* CDPF. 17. *ἐξανάγκης* B. 20. *καθεξῆς*] *ἑξῆς* B. 21. *μόνον* Ra. *τῷ*] *τὸ* Rb.

τυπῶ καὶ μὴ τετύφω, ἀλλὰ μετὰ τῆς προσθήκης τοῦ οὐ, οἷον οὐ μὴ τυπῶ. ἰστέον δὲ ὅτι καὶ τὸ μὴ καὶ τὸ οὐ μὴ οὐ μόνον ἐπὶ ὑποτακτικῶν τίθενται, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ μελλόντων ἁπλῶς, οἷον παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ·

ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε.

καὶ παρ' Ἀριστοφάνει ἐν βατράχοις·

[ἀλλ'] ἐκεῖνο ὅπως μὴ 'ρεῖς.

καὶ Πλάτων ἐν πρώτῃ τῶν πολιτειῶν· ἔπειτα, εἴ τι καὶ οἴεται περὶ τούτων, ἀπειρημένον αὐτῷ εἴη, ὅπως μηδὲν τούτων ἐρεῖ. καὶ παρὰ Συνεσίῳ ἐν ἐπιστολῇ· οὐ μὴ ἐρεῖς, ὡς ἔλαθεν ὑμᾶς. τὸ τοιοῦτον δὲ μὴ οὐ μόνον ἐπὶ ὑποτακτικοῦ τίθεται, ἀλλὰ καὶ ἐπὶ εὐκτικοῦ. Ἀριστείδης ἐν πρώτῳ τῶν ἱερῶν· καὶ σφόδρα δεῖσαι, μὴ ἐπιθεῖντό μοι. εὕρηται δὲ παρὰ Λουκιανῷ ἅπαξ καὶ ἐπὶ ὁριστικοῦ ἐνεστῶτος ἐν τοῖς νεκρικοῖς· ὅρα γοῦν, μὴ τὸ ἐναντίον ἐστί.

Μεγαλοψυχία καὶ ἡ γενναιότης καὶ ἡ ἐν ταῖς μεταδόσεσι

---

1. τυπῶ P. 3. τίθενται GEdd. τίθεται RRB. Cf. ad p. 89, 15., alibi. 4. ἁπλῶν P. 5. Προμηθεῖ] v. 68. 6. ποτέ ALaRRGBO. om. CDPF. 7. παρὰ Ἀριστοφάνῃ B. βατράχοις] v. 7. 8. ἀλλ' ἐκεῖνο RRGCDP. ἀλλ' ἐκεῖν' B. ἐκεῖνο μόνον, omisso ἀλλ', FO ex Aristophane. μόνον om. LLRRGB Ox. μὴ 'ρεῖς GCO. μὴ ῥεῖς F. μὴ ῥεῖς BD. μὴ 'ῥεῖς P. 9. πρώτῃ G. ᾱ. B. πρώτῳ Edd. vid. ad p. 220, 1. Est p. 337. e. πολιτειῶν ALaRRGBO. πολιτικῶν CDPF. ἔπειτα] ἐπὶ τὰ B. εἴ τι] ἔτι P. 11. εἴη ALaRRGBO. εἶναι CDPF. τούτων om. Plato. παρὰ om. LaB. 12. ἐν ἐπιστολῇ om. Ra. Est 8. init. p. 171. d. 13. 14. ὑποτακτικῷ et εὐκτικῷ RR. 14. ἐν πρώτῳ] ἐν τῇ ᾱ. B. Est vol. I, p. 489. (I, 451. Df.) 15. δῆσαι B. ἐπιθεῖντό μοι ALaGO. ἐπιθοῖντό μοι CDPF. ἐπὶ θεῖνι τίμοι B. 16. Λουκιανοῦ B. ὁριστικῷ B. 17. νεκρικοῖς] XVI, 2. vol. I, p. 403.

19. μεταδόσεσι GB. μεταδόσεσιν ἕτοιμος Edd. ἕτοιμος om. ALLRRGB.

δαψίλεια. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἐλευθερίας ἐφόδιον καὶ μεγαλοψυχίας.

Μεσονύκτιον καὶ μεσονύκτιος ποιητικόν. Εὐριπίδης ἐν Ἑκάβῃ·

μεσονύκτιος ὠλύμαν.

σὺ δὲ μεσούσης νυκτός λέγε καὶ μέσης νυκτός καὶ μέσων νυκτῶν.

Μάλη ἐπ᾽ εὐθείας οὐχ εὕρηται, ἀλλ᾽ ἐπὶ γενικῆς μόνον, ὡς τὸ ὑπὸ μάλης ἔκρυπτον τὰς ἀσπίδας παρὰ Συνεσίῳ ἐν τῷ περὶ προνοίας, ἤτοι μασχάλης. τὸ δὲ μασχάλη κοινὸν, ἀφ᾽ ἧς καὶ τὸ μασχαλιστὴρ κατ᾽ Αἰσχύλον.

Μεγιστᾶνες ἀδόκιμον· σὺ οὖν μέγα δυνάμενοι λέγε.

Μάγειρος καὶ σιτοποιός καὶ ὀψοποιός δόκιμα, μαγειρεῖον δὲ ἀδόκιμον· καὶ τὸ ὀπτανεῖον μέντοι οὐδεὶς τῶν ῥητόρων εἶπε.

Μιαρός καὶ παμμίαρος καὶ μιαρώτατος, ὡς Ἀριστοφάνης ἐν βατράχοις· οὐ μιαρία δὲ, ἀλλὰ βδελυρία.

---

1. *Παναθηναϊκῷ*] vol. I, p. 175. (I, 162. Df.)

4. *Ἑκάβῃ*] v. 902. Pors. 5. *ὠλύμαν* „*MSS*“ (*OUD.*) RR GBCDP. *ὠλλύμαν* FO ex Euripide. 6. *μέσων* GBCDPO. *μέσον* F.

8. *ἐπ᾽*] *ἐπὶ* G. *ἀλλὰ* B. 9. *ἔκρυπτον* RRGBCDPO. *ἔχρυπτον* F. 10. *Συνεσίῳ*] immo Themist. orat. VII, p. 87. b. Hard. *ἤτοι*] *ἢ τῆς* B. *μασχάλη* LaGB. *μασχάλης* Edd. *μασχαλίς* coni. Oudendorpius. 11. *ἧς*] *οὗ* G. *καὶ τὸ* RRGBO. *τὸ* om. CDPF. *μασχαλιστὴρ* AGO. *μασχαληστὴρ* La. *μασχαλιστὴρ* B. *μασχαλιστὴς* RREdd. 12. *Αἰσχύλον*] Prom. v. 71.

13. *Μεγιστάνες* GB. *δυναμένοι* B.

15. *τὸ ὀπτανεῖον* ALaRaGB. *τὸ* om. Edd. *ἀντὶ τὸ* vel *τοῦ ὀπταν.* coni. Oudendorpius. 16. *εἶπεν* B.

18. *βατράχοις*] v. 466.: *ὦ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε.* *βδελλυρία* B.

Μάτην λέγε, μὴ ματαίως. Ἀριστοφάνης ἐν νεφέλαις·

μάτην ἐμοὶ κεκλαύσεται.

καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

μάτην ἄρ᾽ ἡμεῖς ὡς ἔοικεν ἥκομεν.

Μαχαιρίδες αἱ τῶν κουρέων, *μάχαιραι* αἱ τῶν μαγείρων καὶ τῶν ἄλλων.

Μέσον ἡμέρας καὶ *μεσημβρία* καὶ *μεσοῦσα ἡμέρα*· *μέση* δὲ *ἡμέρα* κοινόν.

Μάρτυς καὶ ἐπὶ ἀγαθοῦ καὶ ἐπὶ κακοῦ· *ἔλεγχος* δὲ ἐπὶ κακοῦ μόνον.

Μνήμη κυρίως τῶν ἀπελθόντων, καταχρηστικῶς δὲ καὶ τῶν ζώντων· *μνεία* δὲ μόνον τῶν ζώντων.

Μισθὸς ἀδιάβλητον, διαβεβλημένον δὲ τὸ *μίσθωμα*· ἐπὶ πόρνης γὰρ λέγεται, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τοῖς τετραστίχοις·

μίσθωμα πόρνης ἁγνὸς οὐ μερίζεται.

Οὐ λογογράφων τὸ λέγειν *μᾶλλον πλουσιώτερος* καὶ *μᾶλλον ἀνδρειότερος*, οὐ μὴν οὐδὲ *μάλιστα πλουσιώτατος*· πε-

---

1. *λέγε* om. B. *νεφέλαις*] v. 1436. 3. *Ἠλέκτρᾳ*] v. 772.

5. *μάχαιραι*] *μάχαιρε* B.

7. *μεσιμβρία* P. *μεσυμβρίας* B. 8. *κονὸν* F.

9. *ἐπὶ κακοῦ*] *ἐπὶ* om. B. „*ἔλεγχος*] *om haec Rb.*“ 10. *μόνου* AG.

11. *ἀπελθόντων* RRGBEdd. *ἀποθανόντων* coni. Stoeberus. *καταχρηστικῶς δὲ καὶ τῶν ζώντων* om. La. 12. *Μνεῖά δὲ τῶν ζώντων μόνον* B. *μνεία — ζώντων* om. ARROx. Fraudi fuit duplex *ζώντων*, ne quid gravius suspicere.

13. *ἀδιάβλητον* ALLRRGB. *ἀδιάβλητος* Edd. *διαβεβλημένον* B. *τὸ μίσθωμα* „*MSS*“(*OUD.*)GBCDPO. *τὸ* om. F. 14. *γὰρ* „*MSS*“(*OUD.*)RRGBO. om. CDPF. *Γρηγορίῳ* om. Ox. 15. *τετραστίχοις*] vol. II, p. 156. c. 16. *μίσθωνα* D. *ἁγνὸς* BDP.

17. *Οὐ — λέγειν*] *τῶν εὐλογράφων λέγειν ἐστιν*, transposita post *ἀνδρειότερος*, B.

ριτταὶ γὰρ καὶ ἄκαιροι αἱ τοιαῦται προσθῆκαι. τὸ γὰρ πλουσιώτερος συγκριτικὸν ὂν οὐ δεῖται ἑτέρου συγκριτικοῦ τοῦ μᾶλλον. ὡσαύτως καὶ τὸ πλουσιώτατος ὑπερθετικὸν ὂν οὐ δεῖται ἑτέρου ὑπερθετικοῦ τοῦ μάλιστα. ποιηταὶ δὲ ὥσπερ καὶ ἕτερ' ἄττα καινοτομοῦσι, καὶ τοῦτο ἔστιν ὅτε ποιοῦσιν. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

> *καλῶς τεθνάναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι.*

καὶ Ἀριστοφάνης·

> *τόδ' ἂν γένοιτο μᾶλλον ὀλβιώτερον.*

οὐδεὶς δὲ τῶν δοκίμων ῥητόρων οὕτως εἶπε.

Μαρτύριον κρεῖττον ἢ μαρτυρία. Θουκυδίδης· μετὰ ἀειμνήστου μαρτυρίου.

Μενετός ὁ δυνάμενος μένειν, ὡς ὁ αὐτός· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί.

Μαίνομαι τὸ τὸν νοῦν βεβλαμμένον ἔχω καὶ μὴ καθεστηκότα· καὶ μανία τὸ πάθος. μαίνομαι καὶ τὸ ἐνθουσιῶ· καὶ μανία. καὶ μανικὸς ἐραστὴς ὁ πρὸς τὸν ἔρωτα

---

2. *πλουσιώτερος*] *πλούσιωτατος* B, item v. sq. 3. *ὡς αὔτως* B. 4. *δειταὶ* B. 5. *ἕτερ' ἄττα*] vid. ad p. 20, 2. *ἑτεράττα* CDP. *ἑτεράτα* G. *ἑτεράττα* FO. *ἑτερὰ τα* B.

6. *τουτό ἐστιν* legebatur. *ἐντοῖς τοῖς ἕπτα* B. 7. *Θήβαις*] Fallitur magister. Cf. Abresch. ad Sept. v. 679. 8. *τεθνᾶναι* G. *τεθνᾶνε* B. 10. *Ἀριστοφάνης*] Ecclesiaz. v. 1131. (1176.) 11. *τόδ' ἂν* GCDP. *τὸ δ' ἂν* FO. *τοδ' ἂν* B. *τί ἂν* ARb. *τίς γὰρ* Aristophanes, cum scripturae diversitate *τί γάρ*.

Deinde *γένοιτ' ἂν* et *ὀλβιώτερος* Aristophanes. 12. *οὐδεὶς — εἶπε* „*Leid.*" RRGBOxCDPO. om. F. *δοκίμων — οὕτως*] *δοκιμῶν οὕτως ἀν ῥητορικῶν* B. *ῥητορικῶν* pro *ῥητόρων* etiam G.

13. *Θουκυδίδης*] I, cap. 33., ubi est *μετ'*.

15. *ὁ αὐτός* GBCDP. *Θουκυδίδης* FO. Est I, cap. 142. init.

17. *τὸ* ALaRRGBO. om. CDPF. *χαθεστηκότα* F.

18. *μαίνομαι*] Novam §. inchoat B. 19. *καὶ μανία* om. F,

ἐξιστάμενος καὶ τοῦ ἐρᾶν ὅλος γινόμενος· καὶ μανικὸς ἁπλῶς ὁ ἔνθεος, ὡς ἔχει τὸ τοῦ Ἀριστείδου ἐν τῷ εἰς Δία· δότε μοι μανικὸν γενέσθαι τὸν λόγον. μαίνομαι δὲ καὶ τὸ δίχα νόσου ἁπλῶς μωραίνω· καὶ μανιώδης ὁ μωρός. Θουκυδίδης ἐν τῇ τετάρτῃ· καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη.

Μάττω τὸ ζυμῶ, μάξω μέμαχα μέμαγμαι μεμαγμένος. Ἀριστοφάνης ἐν Πλούτῳ·

μεμαγμένον σκῶρ ἐσθίειν.

καὶ Θουκυδίδης ἐν τῇ τετάρτῃ· σῖτον ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον.

Καὶ μεταχειρίζομαι καὶ μεταχειρίζω.

Μεταξὺ ἀντὶ τοῦ διαμέσου· καὶ μεταξὺ ἀντὶ τοῦ ἐν ὅσῳ. Λιβάνιος ἐν τῷ Ἦλθες Τηλέμαχε· καί σου δέομαι μὴ μεταξὺ λέγοντος ἀπαντᾶν.

Μόλις ἀντὶ τοῦ βραδέως, μόγις δὲ ἀντὶ τοῦ μετὰ βίας.

---

habent ALaRRGBOxCDPO, non distincta a proximis. 1. ὅλος ALaGBO. ὅλως CDPF. 2. ἔνθιος B. τὸ τοῦ Ἀριστείδης B. Est vol. I, p. 5. (2. Df.) 3. μοι LaRRGBO. om. CDPF. τὸν om. Rb. λόγον] λέγον C. 4. δὲ ALaRRGB. om. Edd. 5. ἐν τῇ δ' Θουκυδίδης transponit B. Est cap. 39. 6. ἡ om. B.

7. ζυμῶ] ζημῶ DP. 8. Πλούτῳ] v. 305. 9. μεμαγμένος B. 10. τῇ om. GB. τετάρτῃ] cap. 16. σῖτον] Interiecta quaedam apud Thucydidem. 11. τακτὸν] τάτα B.

12. Καὶ μεταχειρίζομαι CDP. καὶ om. GBFO. καὶ μεταχειρίζω ALLRRGBOxCDPO. οὐ μεταχειρίζω F.

13. διαμέσου GCFO. διὰ μέσου DP. διὰ μεσοῦ B. ὅσῳ] ὀξῶ B. 14. Λιβάνιος] vol. II, p. 154 (I, p. 455, 10. Rk.), ubi est σοῦ. Ἦλθες] ἦλθεν B. 15. ἀπαντᾷ Rb.

16. μόγις] Haec in novam §. coniecit F. δὲ „MSS" (OUD.)RRGBO. om. CDPF. ἀντὶ om. B.

Μονώτατος παρὰ ποιηταῖς· μονώτερος δὲ οὐκέτι. Ἀριστοφάνης ἐν Πλούτῳ·

μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος.

Τὸ μήν παρὰ μὲν ποιηταῖς ἀργὸν, παρὰ δὲ ῥήτορσιν ἀντὶ τοῦ δέ, καὶ ἰδίᾳ τιθέμενον καὶ μετὰ τοῦ γέ ἢ προηγουμένου ἢ ἑπομένου· οἷον, τό γε μὴν εἰς πατέρας ἧκον, καὶ, οὐ μήν γε τόδε ἐγένετο.

Μύσταξ, οὐχὶ μάσταξ.

Μύχθηρος οὐ μόνον ὁ γεωργὸς, ἀλλὰ καὶ ὁ φαύλους ἔχων τρόπους, οὐ μοχθηρός.

Μισητή ἡ μίσους ἀξία γυνή· μισήτη δὲ βαρυτόνως ἡ καταφερής.

Μεδίμνος παροξυτόνως οἱ κυρίως Ἀττικοὶ λέγουσιν, οὐ μέδιμνος.

Μανοῦμαι κάλλιον ἢ μανήσομαι.

Μίγνυται ὁ ἀνὴρ τῇ γυναικὶ, οὐχ ἡ γυνὴ τῷ ἀνδρί.

Ὅταν τεθῇ τὸ μά, ἢ προσκειμένην ἔχει τὴν ἄρνησιν ἢ νοου-μέ-

---

1. *παρὰ*] *τοῖς* add. La. om. GBEdd. 2. *Πλούτῳ*] v. 182. Cf. p. 25, 12.

4. *μὲν* LaGB. om. Edd. *ποιηταῖς* GBEdd. *τοῖς ποιηταῖς* La. *ῥήτορσιν* BEdd. *τοῖς ῥήτορσιν* G. 6. *τό γε μὴν — ἐγένετο* hoc ordine GB. *οὐ μήν γε τόδε ἐγένετο, καὶ, τό γε μὴν εἰς πατέρας ἧκον* Edd. *πατέρας — τόδε*] *πασας ἧκων καὶ μὴ γε τὸ δὲ* B.

8. Accesserunt haec ex „*MSS. O.*"(p. 621. Bern.) RRGB, omissa in Edd. *οὐχ* B.

9. *γεοργος* B. *ἀπὸ τοῦ μοχθῆ καὶ τοῦ ἔρα ἡ γῆ* add. E. *καὶ ὁ φαύλους*] *ὁ φαύλος* B.

11. *βαρυτόνος* B. *κατωφερής* Phav. p. 509. b. Cf. p. 203, 10.

13. *οὐ μέδιμνος*] *οὐ μέδυμνος* B.

15. *μανήσομαι* ALaRRGBO. *μανίσομαι* CDPF.

16. *οὐχ*] *οὐ μὴν ἐρεῖς καὶ* Ε π. ῥ.

17. *τεθῇ*] *τε θεῖῃ* B. *προσκειμένην* ALaRR. Hemsterhusius. *πρὸσκειμένην* B. *προκειμένην* Edd.

μένην· καὶ τοῦτο μὲν εὕρηται διόλου. Λιβάνιος δὲ ἅπαξ ἐχρήσατο ἐπὶ συγκαταθέσεως ἐν τῇ περὶ τῆς λάλου γυναικὸς μελέτῃ λέγων· ὀνείρατα διηγουμένη πλάττουσα κἀκεῖνα μὰ τοὺς θεούς. καὶ πάλιν· πλειστάκις ὡρακίασα μὰ τὸν Ἀπόλλω. καὶ Λουκιανὸς ἐν τῷ περὶ ἀγνοίας· μὰ Δί᾽ ἐχλεύασέ σου Φιλόξενος τὰ ἔπη. ὅταν μέντοι προηγούμενον ἔχῃ τὸ ναί, τὴν ἰσχὺν ἅπασαν ἔχει τὸ ναί. Συνέσιος ἐν ἐπιστολῇ· ναὶ μὰ τοὺς λόγους τἀμὰ καὶ σὰ παιδικά.

Ἐπὶ ἀνδρὸς τὸ μνᾶται, οἷον μνᾶται γυναῖκα· ἐπὶ δὲ γυναικὸς τὸ μνηστεύεται, οἷον μνηστεύεται ἀνδρί.

Μεῖζον φόβου πρόσωπον τὸ ἄφοβον καὶ μὴ ὑποπίπτον φόβῳ· μεῖζον δὲ φόβου πρᾶγμα τὸ ὑπερβολικὸν φόβον ποιοῦν.

---

1. *Λιβάνιος*] vol. I, p. 306. (IV, p. 141, 13. Rk.) 2. *τῆς* om. B. 3. *μελέτῃ*] *μελέτει* B. Hic, non post *λέγων*, orationem interpungit F. Addunt autem *τοῦ δυσκόλου* praeter constantem scriptoris consuetudinem Edd., om. LaRRGB. *λέγον* P. *διηγουμένη*] *διηγεῖται* Libanius. 4. *πλαττοῦσα* O. *πλαττοῦσα* B. *μὰ*] *νὴ* ex Guelferbytano suo posuit Reiskius. *πάλιν*] Ibid. p. 308. (143, 19. Rk.) 5. *πλειστάκις* Libanii Guelf. et marg. Mor. pro vulgato *πολλάκις*. *ὡρακίασα* ALaRRGO. *ὡρακίασα* Liban. *ὡρακιάσασα* CDPF. *ὡρακίσσα* B. *ὡράκισα* Lib. marg. Mor. *Ἀπόλλωνα* Libanius. 6. *ἀγνοίας*] immo *Calumn. non tem. cred.* §. 14. vol. III, p. 144. *Δί᾽* G, Lucianus. *Δι᾽* ALaBO. *Δία* CDPF. 8. *ἔχῃ*] *ἔχει* GB. 9. *ἐπιστολῇ*] 90. p. 231. c. *τἀμὰ* GB. *τὰ μὰ* LaEdd. *καὶ σὰ* LaGBO, Synesius: *καὶ τὰ σὰ* CDPF.

11. *Μνᾶται ἐπὶ ἀνδρὸς* transponit B. *οἷον μνᾶτε* B. *δὲ* om. B. *γυναικὸς* P. 12. *τὸ* om. B. *οἷον μνηστεύσται* ALaRRGO. om. CDPF. *οἷον μνησθεύετε* B.

13. *πρόσοπον* B. *ἄφοβον καὶ* om. B. *ὑποπίπτω* Ra. *ὑπολίπτον* (π superscr.) B e corr. Nescio an non scripserit *ὑποπῖπτον*.

14. *ποιοῦν*] *ἐποιοῦν* B. *ἐμποιοῦν* Ra, Phavor. p. 494. a. Cf. ad p. 180, 5.

Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ οὐκ ἠπείλησε μὲν οὕτως ἀήθη καὶ ὑπερόρια καὶ φόβου μείζω. δύναιτο δ' ἂν καὶ ἐπὶ προσώπου τοῦτο λέγεσθαι.

Ἀρσενικῶς οἱ Ἀττικοὶ τὸν Μαραθῶνα λέγουσιν. Ἀριστείδης ἐν τῷ αὐτῷ· οὐ γάρ ἐστιν ὅστις ἀκούσας τὸ τοῦ Μαραθῶνος ὄνομα. Ἴωνες δὲ θηλυκῶς.

Μνηστήρ, οὐ μνήστωρ.

Μαρτυρία, ὅταν περὶ παρόντος τινὸς μαρτυρῇ· ἐκμαρτυρία δὲ, ὅταν περὶ ἀπόντος καὶ ἀποδήμου. ὡσαύτως καὶ μαρτυρῶ καὶ ἐκμαρτυρῶ. Αἰσχίνης· τὴν ἐκμαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστοδήμου, καὶ κάλει πρὸς οὓς ἐξεμαρτύρησεν. ἔδειξε γὰρ διὰ τοῦ εἰπεῖν κάλει, ὅτι ἀπῆσαν.

Μισθοφορῶ τὸ μισθὸν φέρω· καταμισθοφορῶ δὲ τόδε ἀντὶ τοῦ εἰς μισθὸν στρατιωτῶν καταδαπανῶ. ὁ αὐτός· ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα.

Μήνυτρα ὁ διδόμενος μισθὸς τοῖς μηνύουσί τι, οὗ ζήτησις ἦν.

---

1. *Παναθηναϊκῷ*] vol. I, p. 222. (I, 208. Df.) *οὐχ ἤπαλησε* B. *οὐκ ἠπείλει* Aristides. 2. *ἀήθι* P. 3. *δύναιτο — λέγεσθαι* A „*MSS*" (*OUD.*) RRGBCDPO. om. F.

5. *Μαραθῶν ἀρσενικῶς Ἀττικοὶ* B, omisso *λέγουσιν*.

6. *αὐτῷ*] *Παναθηναϊκῷ* FO. Est p. 217. (208. Df.) *οὐ γάρ ἐστιν ὅς τις* Edd. *οὔκουν ἔστι γε οὐδεὶς ὅστις* Aristides. *ἀγούσας* P. 7. *Ἰόνες* B.

10. *ὅταν — μαρτυρῇ*] *τὸ — μαρτυρεῖν* B. 11. *ὅταν*] *τὸ* B. *περὶ*] *τις* G. 12. *Αἰσχίνης*] de fals leg. p. 30. St. (203. Rk.) *ἐκμαρτυρίαν* RRGB, Aeschines. *μαρτυρίαν* „*MSS*" (*OUD.*) Edd. 13. *Ἀριστοδήμῳ* B. 14. *οὓς*] *τοὺς* B. *ἐξεμάρτυρισεν* B. *διὰ* om. B.

17. *ὁ αὐτός* GBCDP. *Αἰσχίνης* FO. Est p. 45. (300. Rk.) 18. *κατεμισθοφορήθησαν* B.

19. *δηδομένος* CD. *οὗ*] *οὐ ἡ* B.

Θουκυδίδης ἐν τῇ ἕκτῃ· μεγάλοις μηνύτροις δημοσίᾳ οὗτοί τε ἐζητοῦντο.

Μερίτης, οὐ συμμεριστής. Ἀριστείδης ἐν δευτέρῳ τῶν Λευκτρικῶν· καλοῦ καὶ λαμπροῦ σχήματος ἡγεῖται μερίτης ἔσεσθαι.

Ὥσπερ μέλει μοι τοῦδε καὶ μέλει μοι τόδε φαμὲν, οὕτω καὶ μέτεστί μοι τοῦδε καὶ μέτεστί μοι τόδε. Ἀριστείδης ἐν τῷ εἰς Ῥώμην· ἔτι δὲ καὶ μέτεστιν αὐτῇ πᾶσιν ἄδεια τοῖς πλήθεσι. καὶ Θουκυδίδης ἐν τῇ δευτέρᾳ· μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον.

Μιμοῦμαι τὸν δεῖνα ἀντὶ τοῦ μιμητής εἰμι τούτου, καὶ μιμοῦμαι ὑπὸ τοῦ δεῖνος ἀντὶ τοῦ μιμητὴν ἐμοῦ τοῦτον ἔχω. Πλάτων ἐν Γοργίᾳ· οὐκ οἶσθα, ὅτι οὗτος ὁ μιμούμενος τὸν μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται;

---

1. ἕκτῃ D. Est cap. 27.

3. δευτέρῳ] vol. II, p. 154. 55. (I, 664. Df.) 4. ἡγεῖται] ἡγεῖ B. 5. ἔσεσθαι ALaRRGBO. ἔσται CDPF.

6. Continuant DP. μέλειμος τοῦ δὲ B. 7. Ἀριστείδης GB. ὡς ὁ αὐτὸς Edd. ὡς om. ALa (et GB.) 8. Ῥώμην] vol. I, p. 375. (I, 348. Df.) ἔτι] ἐπὶ B. 9. Θουκυδίδης] II, cap. 37.

13. ἀντὶ τοῦ „Codd. mei“ (OUD.) GO. τοῦ om. BCDPF. μιμητὴν] μιμητὴς B. 14. Γοργίᾳ] p. 511. a. οὗτος] τοῦτος B. 15. τὸν μὴ μιμούμενον Plato: abest tamen μὴ a parte librorum.

N.

Νεοττός, νεόττιον καὶ νεοττία Ἀττικοί, οὐ νεοσσός, οὐδὲ νοσσίον καὶ νοσσία.

Νῆσαι πυρὰν λέγουσιν, οὐ συναγαγεῖν οὐδὲ συνθεῖναι.

Νεῖν καὶ νήχεσθαι, οὐ κολυμβᾶν. Ἀριστείδης ἐν τῷ ὑπὲρ ῥητορικῆς· καὶ τάς γ' ἐλάφους νεῖν φασιν ἐχομένας ἀλλήλων.

Νικᾷ τὴν δίκην, οὐ νικᾷ ἐν τῇ δίκῃ.

Νήτη χορδή, οὐκ ἐσχάτη.

Ἐνειμάμην κάλλιον ἢ ἐμέρισα. Ἀριστείδης ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ· πρὸς δὲ τοὺς στρατιώτας τοὺς χιτῶνας ἐνείμαντο. καὶ νομὴ ὁ στρατιωτικὸς μισθός. Συνέσιος ἐν ἐπιστολῇ· νομὴν στρατιώταις κομίζοντα.

---

1. νεόττιον RRGB. νεοττίον Edd. Ἀττικοὶ om. B.

2. νοσσίον LL. νόσσιον GB. νεοσσίον AEdd. De accentibus vid. Eustath. et Etymol. M. ap. Spohn. d. extr. p. Od. p. 153. καὶ ALLGEdd. οὐδὲ B. νοσσία LLRR. νοσσιά GB, probatum Lobeckio ad Phryn. p. 207. νεοσσιά CDP. νεοσσία AFO.

3. Νῆσαι] νεῖσε B. συναγεῖν B.

4. κολυμβοῦν B. ὑπὲρ pro περὶ suscepimus ex solo La, ut supra aliquoties. 5. ῥητορικῆς] vol. III, p. 158. (II, 126. Df.) τάς γ'] τοὺς γ' B. τάς γε Aristides. νεῖν φασιν] φασὶν ἐπινεῖν ἐπὶ πλεῖστον τῆς θαλάττης Aristides. 6. ἐχομένας „*MSS*“ (*OLD.*) GEdd. ἐχομένους B. ἐχομένας Rb. ἐχομέναις Aristides ante Dindorfium.

8. Sic ALbRRGB. νήτη, χορδίον, οὐκ ἐσχάτη LaO. Prorsus om. CDPF.

9. Superioribus continuant DP. κάλλιον om. B, collocans ante στρατιώτας. τῇ] τῷ B. τοὺς om. B. 10. ἐπιστολῇ] vol. II, p. 295. (I, 766. Df.) 11. ἐνείμαντο RRO, Aristides, ipse Thomas voc. Χιτών. ἐνείματο GBEdd. καὶ νομὴ — κομίζοντα hic annectunt „*MSS*“ (*OLD.*) RRGBCDP, posteriori notationi (p. 250, 2.) FO. ὁ στρατιωτοῖς B. 12. ἐπιστολῇ] 18. p. 176. a.

Νῆες ἐπὶ εὐθείας, οὐ ναῦς· ἐπὶ δὲ αἰτιατικῆς ναῦς, οὐ νῆας.

Τὸ νῶτον, οὐχ ὁ νῶτος, ὡς τὸ νῶτα τοῖς πολεμίοις ἔδωκε· τὸ μέντοι ῥάχις κοινόν.

Νωδός, οὐκ ἀνόδους.

Νουθέτησις, οὐ νουθεσία.

Νάπυ, οὐ σίνηπι.

Νενηφότως καὶ ἐγρηγορότως, οὐκ ἐγρηγόρως. οὐ γάρ ἐστιν ὁ ἐγρήγορος, ἀλλ' ὁ γρήγορος, εἰ καὶ ἀσύνηθες· ἀντὶ γὰρ τούτου ὁ γρηγορῶν καὶ ὁ νήφων. Δίων οὖν ἐγρηγόρως λέγων ἁμαρτάνει. ἐγρήγορσις μέντοι γράφεται. Ἀριστείδης· μέσως ἔχειν ὕπνου καὶ ἐγρηγόρσεως.

Νεομηνία μὴ λέγε, τοῦτο γὰρ Ἰώνων, ἀλλὰ νουμηνία. Ἀριστοφάνης ἐν νεφέλαις·

ἵν' αἱ θέσεις γίγνοιντο τῇ νουμηνίᾳ.

Νέμω νεμῶ, καὶ νέμω νεμήσω ὡς ἐθέλω ἐθελήσω. ἔστι δὲ τὸ νέμω ἀντὶ τοῦ παρέχω καὶ ἀντὶ τοῦ μερίζω καὶ ἀντὶ τοῦ διοικῶ. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· τὰ δὲ ἄλλα

---

3. οὐχ] οὐκ CDP. 4. ῥᾶχις CDP.

5. Νωδός] νοδὸς P.

6. Νουθέτητις B. οὐ] ἢ La. νουθετησία E. νεθεσία B.

7. σύνηπι B.

8. Νενηφότος P. οὐκ ἐγριγόρως B. 10. ὁ γρηγορῶν καὶ ὁ νήφων GB. ὁ νήφων (νήφον P) καὶ ὁ γρηγορῶν Edd.

Δίων] Non repertum, ubi. 11. μέντοι γρ^{αι} λέγεται B.

12. Ἀριστείδης] ἐν δευτέρῳ τῶν ἱερῶν, vol. I, p. 525. (I, 478 Df.)

14. Νουμηνία, οὐ νεομηνία. τοῦτο γὰρ Ἰώνων. B.

15. νεφέλαις] v. 1191. 16. ἵν' αἱ] ἵνα P. ἢ αἱ Ox. νουμενία B.

17. καὶ νέμω] καὶ νεμῶ B. 18. παρέχω καὶ LLGO. καὶ om. BCDPF. 19. δοικῶ P. ὀγδόῃ] cap. 70

ἔνεμον κατὰ κράτος τὴν πόλιν. ἔστι δὲ ἀπὸ μὲν τοῦ νέμω νεμῶ τὸ ἔνειμα καὶ ἐνειμάμην, ἀπὸ δὲ τοῦ νέμω νεμήσω τὸ νεμηθέν. Συνέσιος ἐν ἐπιστολῇ· *εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην.*

Ναός ἐπὶ θεῶν, σηκός ἐπὶ ἡρώων· οὕτω γὰρ καὶ Πολυδεύκης λέγει.

Ναύκληροι ἐπὶ νηῶν· ναύκραροι δὲ παρ' Ἀττικοῖς οἱ εἰσπραττόμενοι τὰ δημόσια χρήματα. καὶ ναυκραρεῖα οἱ τόποι, ἐν οἷς ἀπέκειντο τὰ τοιαῦτα χρήματα ἢ κτήματα. ἐλέγοντο δὲ ὁμοίως ναύκραροι καὶ οἱ μισθωτοί.

Νότιον μέρος τὸ πρὸς τὸν νότον· καὶ νότιον τὸ δίυγρον. νοτίζειν γὰρ τὸ ὕειν φαμὲν καὶ νοτίδα τὴν ὑγρασίαν, ὡς τοῦ νότου ὑετὸν ἐπάγοντος. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· *ὥστ' ἀντὶ νοτίου ταῖς ναυσὶν εἶ-*

---

1. *ἔνεμον*] *ἔλεμον* P. *κατακράτος* G. 2. *ἀπὸ μὲν τοῦ*] *ἀπὸ τοῦ* Ox. *μὲν ἀπὸ* B. *νεμῶ* om. P. 3. *ἐν ἐπιστολῇ* ALLGBO. om. CDPF. Est ep. 11. p. 173. a. 4. *βίου γενέσθαι, καὶ* F. 5. *νεμησθέντος* B.

6. *ἐπιθεῶν* C. *ἡρῷ ὄν* B. *Πολυδεύκης*] I, §. 6.

8. *νηῶν* LaGBCDP, Phav. p. 520. a. *νεῶν* FO. Cf. Popp. ad Thuc. VIII, 23. *ναύκραροι* Valckenarius ad Ammon. p. 97. Legebatur *ναύκαροι*, prorsus ut v. 11. *παρ' Ἀττικοῖς* om. B. *εἰσπραττόμενοι* D. 9. *χρήματα*] *ἢ κτήματα* add. Edd. om. ALaRRGB, Phav. *κτήματα* simpliciter Ammonius. *ναυκραρεῖα*] Legebatur *ναυκαρεῖα*. *ναυκαρία* RaB. *ναυκράρια* ex Ammonio Valckenarius. 10. *ἀπέκειντο* ALaRRGB, Phav. *ἀπέκειτο* Edd. *ἀνέκειντο* Ammon. *ἢ κτήματα* om. Rb. 11. „*Pro ὁμοίως est qui censuit ὁμωνύμως.*" (*Ol. D.*) *ναύκραροι*] *ναύκληροι* coni. Stocberus. Vid. ad Ammon. *οἱ* om. GB. *μισθωτοὶ*] *τῶν συνοικιῶν* ex Ammon. add. Sallierus.

12—15 et p. 247, 1—3. Haec, omissa in CDPF, in O accesserunt ex „*omnibus MSS*" (*OUD.*) RR, quibus addo GB.

13. *ὕειν*] *ὕει* B. 14 *τοῦ*] *ἀπὸ τοῦ* coni. Stocberus.

15. *Παναθηναϊκῷ*] vol. I, p. 216. (I, 203. Df.), ubi haec posita: *ὥστε οἱ τοῦ αἵματος ῥύακες ἦρκουν ἐν νοτίῳ ταῖς ναυσὶν εἶναι.*

ναι, ἤγουν ἀντὶ πλημμύρας εἰς τὸ ὑπανέχειν τὰς ναῦς. καὶ νοτερός ὁ δίυγρος. καὶ Θουκυδίδης· ὁπότε χειμὼν εἴη νοτερός.

Ναυαγία ἡ συντριβὴ τῆς νεώς. Λουκιανὸς ἐν τῷ Ζεὺς τραγῳδός· διὰ τοῦτο αἱ ναυαγίαι μυρίαι. ναυάγια δὲ πληθυντικῶς ἐπὶ οὐδετέρου τὰ ἐξ αὐτῆς ὑπὸ τῆς θαλάττης ἐκβρασθέντα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ῥοθίῳ ζέουσαν καὶ πάντα νεκρῶν καὶ ναυαγίων μεστά. εὕρηται δὲ καὶ ναυάγιον ὁ τῶν νεῶν κίνδυνος.

Νεογόνον, οὐ νεογνόν.

Νυμφεύτρια κυρίως ἡ προμνήστρια. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· ἀναστὰς ἔρχομαι παρὰ τὴν νυμφεύτριαν. καταχρηστικῶς δὲ καὶ ἥν φασι παράνυμφον. τινὲς δὲ καὶ αὐτὴν τὴν νύμφην νυμφεύτριαν λέγουσι.

---

2. *καὶ*] vid. ad p. 198, 15. *Θουκυδίδης*] III, cap. 21.

4. *ἡ συντριβὴ* ALaRRGBO. *ἡ* om. CDPF. *τῆς* C.

5. *τραγῳδός*] §. 49. vol. II, p. 697. *διατοῖτο* GC. *ναυαγίαι*] *ναυγίαι* CD. 6. *δὲ* ALaGBO. om. CDPF. *πλυντικῶς* B. 7. *Παναθηναϊκῷ*] vol. I, p. 246. (I, 230. Df.) 8. *δὲ* libri quidam Aristidis, ubi vulgo *δ'*. 9. *ῥοδίῳ* B. *πάντη* B. *νέκρων* O. 10. *εὕρηται — κίνδυνος* om. Ra. *καὶ ναυάγιον*] *ναυάγιον καὶ* B. *τῶν νηῶν* La, ut p. 246, 8. *τῆς νεὼς* B.

12. Haec post proximam §. collocavit B. *Νεόγονον* coni. Oudendorpius. *Νεογνόν, οὐ νεογόνον* Salliero placuit.

14. *μελέτῃ*] vol. I, p. 303. (IV, p. 138, 1. Rk.) *ἔρχομαι*] *ἄπειμι* Liban. vulg., *εἶμι* cod. Guelf. *παρὰ*] *πρὸς* G. *παρὰ πρὸς* B. (*παρὰ* written above *πρὸς*) 15. *νυμφεύτριαν* etiam Liban. cod. Guelf. et marg. Mor. pro vulgato *προμνήστριαν*. *φασὶ* „MSS" (*Ol. D.*) RRGBO. *φασὶν* CDPF. 16. Immo *νύμφαν*. *λέγουσι* RRGB. *λέγουσιν* Edd.

Συνέσιος ἐν ἐπιστολῇ· οὐδὲ γάρ, οἶμαι, νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ᾽ ἐκφοράν.

Τὸ νῦν ἀντὶ τοῦ ἀρτίως, ὃ καὶ νυνί λέγεται, ἐπὶ ἐνεστῶτος ἀεὶ τίθεται, καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τῷ τέλει τοῦ κώλου, ὅπως ἂν ὁ ῥυθμὸς διδῷ· τότε γὰρ μετὰ παρῳχημένου καὶ μέλλοντος, ὅταν συντομίαν ἔχωσιν ἄμφω οἱ χρόνοι καὶ ὥσπερ ἔμφασιν ἐνεστῶτος, ὡς τὸ νῦν ἔτυψα, καὶ, νῦν ἐλθὼν ὄψομαι. καὶ Πλάτων ἐν Φαίδωνι· ὦ Σώκρατες, ὕστατον δή σε προσεροῦσι νῦν οἱ ἐπιτήδειοι. καὶ Ὅμηρος ἐν πέμπτῃ Ἰλιάδος·

νῦν αὖτ᾽ ἔγχεϊ πειρήσομαι, αἴ κε τύχοιμι.

καὶ πάλιν ἐν τρίτῃ Ἰλιάδος·

νῦν μὲν Μενέλαος ἐνίκησεν σὺν Ἀθήνῃ.

εἰ δὲ παράτασιν δηλοῦσι, τότε τὸ νῦν τιθέμενον σολοικισμὸν ποιεῖ, ὡς τὸ νῦν σοφὸς γενήσομαι· δεῖται γὰρ

---

1. ἐπιστολῇ] 3. p. 160. b. οὐδὲ] οὐ GBEdd., Synesius. οὐ δὲ ALaRR: quod quum non videretur oblitterandum esse, id posuimus, quod reddendum etiam Synesio. 2. νυμφευτρίαις ALLRbG, B e corr., O. νυμφευτρίας CDPF. „ἄγειν *Lb.*"

3. Prioribus continuant DP. 4. καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῳ „*MSS omnes*" (*OLD.*) RRO. om. CDPF. καὶ ἐν ἀρχῇ καὶ ἐν μέσῃ GB. 5. ῥιθμὸς CDP. τότε] τό τε G. γὰρ GB. δὲ Edd. 6. καὶ μέλλοντος] τότε δὲ μετὰ παρεληλυθότα καὶ μέλλοντες B. 7. χρόνος C. ἐνεστῶτος] ἢ μέλλοντος add. Ra. 8. ἐλθὼν BD. Φαίδωνι] p. 60. a. 9. δή] δέ Rb. προσεροῦσι ALLRbGBO. προσεροῦσιν CDPF. „προσφερ. *Ra.*" 10. ἐν πέμπτῃ G. ἐν τῷ ε̄ Edd. τῷ om. LaB. Est v. 279. 11. αὖ τ᾽ F. ἔγχεϊ RRGBCDPF. ἔγχει B. ἐγχείῃ ex Homero O. Phav. p. 529. c. πειρήσομαι GBO. πειράσομαι CDPF. 12. τοίχοιμι B. τύχωμι nunc legitur ap. Homerum. 13. ἐν τρίτῃ G. ἐν τῷ γ' Edd. τῷ om. LaB. Est v. 439. 14. μὲν] μὲν γὰρ O ex Homero. ἐνίκησεν GO. ἐνίκησε BCDPF. 16. παρα παράτασιν διδοῦσι B.

ἡ σοφία χρόνου· τὸ δὲ νῦν, ὅπερ ἀκολουθίαν σώζει προηγουμένου χρόνου καὶ οὐ χρόνον δηλοῖ, ἀεὶ ἐπαγόμενόν ἐστιν, οἷον, ἐγὼ μὲν ἐβουλόμην τὰ καὶ τὰ ποιῆσαι, νῦν δὲ τόδε γέγονε· καὶ, εἰ ἐποίησα τόδε, τόδε ἂν ἀπηντήκει, νῦν δὲ οὐδὲν ὧν ἐχρῆν γέγονεν ἢ γενήσεται ἢ γίνεται. συνάπτεται γὰρ τοῖς τρισὶ χρόνοις, ὅπως ἂν ἀκολουθίας ὁ λόγος ἔχῃ. ἔστι δὲ καὶ νῦν ἀντὶ τοῦ ποτέ, οἷον, νῦν μὲν ἀγαθὸς δοκεῖ, νῦν δὲ πᾶν τοὐναντίον. χρῶνται δὲ οἱ τραγικοί τε καὶ κωμικοὶ καὶ ἑτέρῳ νῦν, λαμβανομένῳ μὲν ἀντὶ τοῦ δή, ἔχοντι δὲ ἔμφασίν τινα χρόνου, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι·

σίγα νυν ἑστὼς [καὶ μέν' ὡς κυρεῖς ἔχων].

καὶ παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ·

σῶσόν νυν αὐτόν.

Νήφει τις, ὅταν ἐκτὸς μέθης ᾖ, σωφρονεῖ, ὅταν ἐκτὸς μανίας ᾖ, γρηγορεῖ, ὅταν ἐκτὸς ὕπνου ᾖ.

Ἀπὸ τοῦ νέμομαι τὸ βόσκω νομὴ ἡ βοσκή, καὶ εὐνομία, ὅταν νομῆς εὖ ἔχωσι τὰ ζῶα· ἀπὸ δὲ τοῦ νέμω τὸ μερίζω

---

3. ἐστι B. 4. τόδε] τὸ δὲ GB constanter. τὸ hic DP. τόδε ἂν] τότε ἂν Rb. ἀπαντήκει F. 5. γέγονεν GB. γέγονε Edd. 6. συνώπτεται B. ὅπως] ὅπερ B. 7. ἀκολουθίας LLRR. ἀκολουθίαν GBEdd. ἔχοι Lb. 8. πᾶν om. Lb. 9. τε om. B. καὶ οἱ κωμικοὶ DP. ἑτέρῳ — μὲν om. B. 10. δὴ νῦν ἔχοντι B. 11. Αἴαντι] v. 87. 12. νυν O. νῦν GBCDPF. καὶ — ἔχων Edd. om. „MSS" (OUD.) GB. 14. παρὰ Εὐριπίδει B. Ἑκάβῃ] v. 990. Pors. 15. σῶσόν νυν] Scribebatur σῶσον νῦν.

16. Νήφει] κυρίως add. RaB. 17. ὕπνου ᾖ] ᾖ om. Mosch. Syll. f. 152. a., unde haec transscripta.

18. Ἀπὸ — βοσκή hoc ordine RRGB. νομὴ ἡ βοσκὴ ἀπὸ τοῦ νέμομαι τὸ βόσκω Edd. et omissis ἡ βοσκή Mosch. l. c. βόσκω] βόσκεσθαι (ut antea νέμεσθαι) Mosch. γίνεται add. Ra. 19. ἀπὸ γὰρ τοῦ νεμῶ B. μερίζω] δίδωμι Mosch.

νόμος, καὶ διανομὴ ἡ πρὸς πολλοὺς δόσις καθ' ἕνα· ὅθεν καὶ εὐνομία, ὅταν πόλις καλῶς ὑπὸ νόμων διοικῆται.

Νυκτὸς καὶ ἡμέρας Ἀττικοὶ λέγουσιν, ἤγουν ἐπὶ τῆς νυκτὸς καὶ ἐπὶ τῆς ἡμέρας ἐλλειπτικῶς ἔξωθεν· ἢ νύκτα καὶ ἡμέραν, ἤγουν κατὰ τὴν νύκτα καὶ τὴν ἡμέραν. τὸ δὲ νύκτωρ καὶ μεθ' ἡμέραν ἁπλῶς Ἕλληνες.

Νοῦς καὶ αἴσθησις οὐ μόνον τὸ νοοῦν καὶ τὸ αἰσθανόμενον, ἀλλὰ καὶ τὸ νοούμενον καὶ τὸ ὑπὸ αἴσθησιν ὄν, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ τὸ νοῦς μὲν ἤδη καὶ αἴσθησις, ἤγουν τὰ νοητὰ καὶ τὰ αἰσθητά. οὐ μόνον δὲ τὸ καθολικὸν ἡ αἴσθησις οὕτω διττῶς λέγεται, ἀλλὰ καὶ ἑκάστη τῶν αἰσθήσεων, οἷον ὅρασις καὶ ἡ ὁρατικὴ δύναμις καὶ τὸ ὁρώμενον, ὡς τὸ ὅρασις ἣν εἶδεν Ἡσαΐας. καὶ ὄσφρησις ἡ ὀσφραντικὴ δύναμις καὶ ἐπὶ τοῦ ὀσφρουμένου, οἷον ἡ τοῦ ῥόδου ὄσφρησις εὐώδης. καὶ γεῦσις ἡ γευστικὴ δύναμις καὶ ἐπὶ τοῦ γευστοῦ, οἷον ἡ γεῦσις τοῦ μέλιτος γλυκεῖα. καὶ ἀκοὴ ἡ ἀκουστικὴ δύναμις καὶ τὸ ἀκουόμενον, ὡς ἐν τῷ· τὰς σὰς ἀγγελίας θείαις μὲν φωναῖς οὐκ ἴσας ἡγοῦμαι, πάσης δ' ἄλλης ἀκοῆς ἀνθρωπίνης νομίζω κρείττους.

---

1. *νόμος* GBFO, Mosch. *νομός* CDP. *καθ' ἕνα* GBFO, Mosch. *καθένα* CDP. 2. *πόλις* ALaGBO. om. CDPF. *διοικῆται* GBEdd. *διοικέηται* Ra. *διοικεῖται* ALaRbO. In FO consequuntur ea, quae suo loco reddidimus p. 244, 11.

3. *ἤγουν*] *καὶ* B. 5. *νύκτα καὶ τὴν* LL. *νύκτα καὶ κατὰ τὴν* Edd. *νύκτα καὶ* GB, Phav. p. 529. b. *ἡμέραν*] *ἡμέρας* B. *τὸ δὲ* om. B. 6. *μεθ'* ALLRRGBOx. *καθ'* Edd.

7. Tota haec notatio, omissa in GEdd., accessit ex ALaRR: priora usque ad *αἴσθησιν ὄν* (v. 8) etiam B tenet: quibuscum confer Phavorinum p. 529. a. et Moschopulum Syll. f. 152. a. 8. *τὸ ὑπὸ*] *τὸ* om. RR. *τὴν* add. B. 9. *Γρηγορίῳ*. *τὸ νοῦν* ALa. 11. *δίττως* ALa. 14. *ὀσφρημένου* Ra, Mosch. *ὀσφρησομένου* Phav. 16. *γευστοῦ*] *γευστικοῦ* RR. 20. *κρεῖττον* La.

καὶ ἁφὴ ἡ ἁπτικὴ δύναμις καὶ τὸ ὑποπίπτον αὐτῇ, οἷον ἡ ἁφὴ τῶν πτερῶν μαλακή, ἡ δὲ πέτρας σκληρά.

Νηρηΐς καὶ Νηρεΐς. Ἀριστείδης ἐν τῷ εἰς Ἀχιλλέα πρεσβευτικῷ· τὰς Νηρηΐδας τὰς πρὸς μητρὸς συγγενεῖς. Λουκιανὸς ἐν τοῖς ἐναλίοις διαλόγοις· τὸ κῆτος ὑμῶν, ὦ Νηρεΐδες.

Οὐ μόνον ὁ ναύσταθμος, ἀλλὰ καὶ τὸ ναύσταθμον. Θουκυδίδης ἐν τῇ τρίτῃ· ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς ἡ Μαλέα.

Ξ.

Ξυρέω ξυρῶ Ἀττικοί, οὐ ξυράω ξυρῶ. Ἀριστείδης ἐν Περικλεῖ· μὴ λέοντα ξυρεῖν δόξωμεν.

Ξενοδόκος, οὐ ξενοδόχος.

Ξυλισμὸς ἡ τῶν ξύλων συλλογή, ὡς Θουκυδίδης καὶ ἕτεροι.

---

1. ὑποπίπτον] ὑπόπιπτον ALa. ὑπερπίπτον RR. Debebat ὑποπῖπτον esse, ut p. 241, 13.

3. Νηρηΐς] νηρηῒς ALaRb. νηρὴς GB. Νηρεΐς] νηρεὶς GB. νερεεὶς P. εἰς] πρὸς Ra, ut inscripsit Aristides. πρεσβευτικῷ] vol. II, p. 434. Iebb. (II, 602. Df.) 5. διαλόγοις] XIV. init. κῆτος ALaRRO. κύτος GCDPF. κύτος B. 6. ὦ] ὧν B. Νηρεΐδες] Νηρηΐδες Lucianus: vid. Hemsterhusium vol. I, p. 321.

7. Ὁ ναύσταθμος οὐ μόνον B. 8. τρίτῃ] cap. 6. πλοίων „MSS" (OL'D.) RRGBO. πλείων CDPF. 9. μαλία Rb.

10. Ἀριστείδης] vol. III, p. 238. (II, 192. Df.) 11. λέοντα] λεοντοὺς B. δόξωμεν] δόξομεν B. δοκῶμεν Rb, probatum Stoebero. ἐπιχειρῶμεν Aristides, apud quem tamen duobus post versibus sequitur δόξωμεν. ὅπερ καὶ παροιμία ἐστί add. Rb.

12. ξενοδόχος] ξενωδόχος C.

13. Ξυσλισμὸς B. συλλὸγὴ B. Θουκυδίδης] Frustra quaeritur.

Ξυστήρ, οὐ ξύστρον.

Ξέναι ξένων, καὶ φίλαι φίλων καὶ ὅσα τριγενῆ, πλὴν τοῦ πόρναι πορνῶν.

Ξένον τὸ ἀλλότριον καὶ τὸ παρηλλαγμένον. Φιλόστρατος ἐν τοῖς βίοις τῶν σοφιστῶν· ξένως ἔχει τῆς λέξεως. καὶ ξενίζω οὐ μόνον τὸ ξένον ὑποδέχομαι, ἀλλὰ καὶ τὸ ἐκπλήττω. ξενίζομαι δέ τινι τὸ εἰς ξενίαν ὑπό τινος δέχομαι. σὺ δὲ ἐπιξενοῦμαι λέγε ἐπὶ τρίτης συζυγίας τῶν περισπωμένων. καὶ ξένισις ἡ ξενοδοκία, ὡς Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἰδίᾳ ξενίσεις ποιούμενοι. καὶ ξενία τὸ αὐτὸ, ὡς Φίλων ἐν τῷ περὶ Ἰωσήφ· τῶν εἰς τὴν ξενίαν ἡκόντων ἀδελφῶν. καὶ ξενία ὄνομα δίκης κατὰ τῶν ξένων τῶν ἐγγραφόντων ἑαυτοὺς εἰς πολίτας ὡς ἔτυχεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὔκουν ξενίαν γέ ἐστι τῶν λόγων καταγνῶναι. ξενία δὲ ἡ ξενιτεία κοινόν.

Ξαίνω τὸ διαλύω, ὡς τὸ ξαίνει ἔρια· καὶ ξαίνω τὸ μαστίζω. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· ξαίνει κατὰ τοῦ νώτου πολλάς.

---

2. πόρναι] πορναὶ B.

4. Φιλόστρατος — σοφιστῶν] „*Immo Plat. Apol. Socr. p.* 17. d. ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέξεως.“ 5. σοφιστῶν P. 6. καὶ ξενίζω] καὶ omisso novam §. inchoant ΓO, servato continuant „*MSS*“ (*OUD.*) GBCDP. 7. ἐκπλήττω] B.

9. ξένησις CD. ξενοδοχία Ra. 10. ἕκτῃ] cap. 46.

11. Φίλων] vol. II, p. 765. b. ed. Francof. 13. τῶν ξένων „*MSS omnes*“ (*OUD.*) RRGBO. τῶν om. CDPF. ἐγγραφότων Rb. ἐγγεγραφότων A. ἑαυτοὺς] αὐτοὺς Lb. 14. πολιτείας B. πολιτείαν Ra. Παναθηναϊκῷ] vol. I, p. 317. (I, 298. Df.) 15. γέ ἐστι etiam Aristidis quidam libri pro γ' ἔστι: γε ἔστι B. κατὰ γνῶναι B.

17. ξαίνει GB, et locupletior Phav. p. 531. b. ξαίνε ALL. ξαίνω Edd. ἔρεια B. 18. περὶ τοῦ] τοῦ om. ALLB. στεφανῶν B. Imme περὶ παραπρεσβείας p. 403. init. Eadem supra allata p. 128, 8 ξαίει B. 19. τοῦ om. LaRa. νώτι B.

Ξέω ἐπὶ ξύλων, ξύω δὲ ἐπὶ σαρκός, ὡς καὶ ἡ παροιμία· τὸν ξύοντα ἀντιξύειν.

Ξυλίφιον, οὐ ξυλάριον.

Γίνωσκε ὡς οἱ Ἀττικοὶ τὴν σύν πρόθεσιν ξύν λέγοντες τῷ σ̄ προστιθέασι τὸ κ̄· τὸ γὰρ κ̄ τῷ σ̄ κραθὲν ξ γίνεται, οἷον συναυλία ξυναυλία, συμφέρει ξυμφέρει καὶ ὅσα τοιαῦτα.

Ο.

Ὁμόδουλος Ἀττικὸν, οὐ σύνδουλος.

Ὀρεικὸν ζεῦγος, οὐχ ἡμιονικόν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρεικόν.

Ὄχλος καὶ τὸ πλῆθος καὶ ἡ ὄχλησις· λέγε οὖν ὄχλον καὶ μὴ ὄχλησιν. Ἡρόδοτος ἐν τῇ πρώτῃ· λιπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρεχόντων. καὶ ὀχλῶ καὶ ἐνοχλῶ.

Ὄνθος ἐπὶ βοῶν, οὐ κόπρος. Ὅμηρος ἐν ψ' ῥαψῳδίᾳ Ἰλιάδος·

---

1. *ἡ παροιμία*] *ἡ* om. B.

3. *Ξιλίφιον* RRGEdd. *ξιλίφων* B. *ξυλήφιον* coni. Heinsius. *ξυλύφιον* Lobeckius praecepit ad Phryn. p. 78.

4. Prioribus continuant FO, secus ac „*MSS*“ (*OUD.*) RR GB. *οἱ Ἀττικοὶ* „*MSS*“ (*OUD.*) GBCDPO. *οἱ* om. F.

5. *τὸ κ̄* „*MSS*“ (*OUD.*) RRBO. *τοῦ κ̄* CDPF. *τῷ σ̄* ALLBO. *καὶ σ̄* CDPF. 6. *ὅσα* om. B.

8. *Ἀττικοὶ* B. *σύνδολος* B.

9. Continuat P. *ἐπιστολῇ*] S. p. 160. c. 10. *Ἀνσχίνῃ* D. 11. *ὀρικόν* scriptum ap. Synesium. *ὀρκὸν* B.

12. *ἡ* om. O. 13. *πρώτῃ*] cap. 86. *λιπαρέον τον* B.

14. *δὲ αὐτῶν* „*MSS*“ (*OUD.*) CDPO. om. F. *δὲ* om. G.

16. *ῥαψῳδίᾳ* „*MSS*“ (*OUD.*) G. om. BEdd. Est. v. 775.

τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων.

Ὄψον, οὐ προσφάγιον.

Ὀπτὴρ ποιητικώτερον, κατάσκοπος δὲ ῥητορικόν. Σοφοκλῆς ἐν Αἴαντι·

καί μοί τις αὐτὸν ὀπτὴρ εἰσιδών.

Λιβάνιος ἐν τῷ εἰς Κωνστάντιον καὶ Κώνσταντα· *κατασκόπων τινῶν κακία.*

Τὸ ὅπως καὶ ἀντὶ τοῦ ἵνα καὶ ἀντὶ τοῦ πῶς, οἷον, ὅπως ἔχει σοι τὸ σῶμα; καὶ ἀντὶ τοῦ ἐπεὶ, οἷον, ὅπως δ' εἰς ταὐτὸν ἥκομεν· καὶ ἀντὶ τοῦ ὥσπερ, οἷον, ὅπως ἂν ἐξείη· καὶ ἀντὶ τοῦ οὕτως· Εὐριπίδης ἐν Ἑκάβῃ·

ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι.

Οἶς τὸ πρόβατον. Ἀριστείδης ἐν δευτέρῳ τῶν ἱερῶν· *εὑρίσκει τετοκυῖαν ὄϊν αὐτονυχί.* καὶ οἶς μονοσυλλάβως ἐπὶ θηλυκοῦ.

Ὀμοῦμαι, οὐκ ὀμόσω.

---

1. *κέχυτ'* GBFO. *κέχυτο* CDP. *ὄνθος*] *ὄντος* DP. 2. *ἐριμύκων* BFO. om. G. *ἐρηύκων* CDP.

3. *προσφάγιον*] *προσφάγων* B.

4. *ποιητικῶς* B. *ὡς Σοφοκλῆς* B. 5. *ἐν Αἴαντι* om. B. Est v. 29. 6. *αὐτὸν ὀπτὴρ* G. *ἀντὸν ὀπτὴρ* B. *ὀπτὴρ αὐτὸν* Edd. *εἰσιδὼν* Edd. *ἐσιδὼν* GB. 7. *καὶ Λιβάνιος* B. *ἐν τῷ ε. Κ. κ. Κ.*] Immo vol. II, p. 129. (III, p. 307, 23. Rk.): *τῶν δὲ κατασκόπων ὄψει τὸ πρᾶγμα λαβόντων.* 8. *τινῶν* om. La. Sequuntur in B aliquot Moschopuli notationes.

9. *ὤπως* B. 10. *ταὐτὸν*] *ταυτὸν* ALbGBO. *τ' αὐτὸν* La. *αὐτὸν* CDPF. 12. *Εὐριπίδης ἐν Ἑκάβῃ* „*MSS*“ (*OUD.*) GBO. om. CDPF. Est v. 398. 13. *τῆς δ'* CDPF. *τῆς δὲ* G. *τῆς* B.

15. *δευτέρῳ*] vol. I, p. 518. (I, 469. Df.) 16. *τετεκυῖαν* B. *αὐτὸ νυχὶ* B. *οἷς* P. *μονωσυλλάβως* B.

18. *ὀμόσω* „*MSS*“ (*OUD.*) GBO. *ὀμώσω* CDPF.

Ὄλβιος, οὐ μακάριος.
Ὀψιαίτερον λέγε, μὴ ὀψαίτερον.
Ὄφελον ἀντὶ τοῦ εἴθε, ὅπερ ἀεὶ εὐκτικῷ συντάσσεται ἢ παρεληλυθότι χρόνῳ· εὐκτικῷ μὲν, ὡς τὸ ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου· παρεληλυθότι δὲ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· ὡς ὄφελόν γε μηδὲ ἦν προεδρία. καὶ ἀπαρεμφάτῳ δὲ, ὅτε ἀντὶ τοῦ εἴθε ἔμελλον τίθεται. Ἡρόδοτος ἐν τῇ πρώτῃ· τὸ μήτε ἰδεῖν ὄφελον.
Ὀξίς Ἀττικοὶ, οὐκ ἀγγεῖον ὄξους. Ἀριστοφάνης ἐν Πλούτῳ·

ὀξὶς δὲ πᾶσα καὶ λοπάδιον.

Ὀρθρεύω καὶ ὀρθρεύομαι· Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· ὡς ἔχοις ὀρθρευόμενος προανύειν τὰ πολλὰ τῶν ἔργων· ἔστι δὲ ὄρθρος ὁ πρὸ τοῦ λυκαυγοῦς καιρὸς, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι· Θουκυδίδης ἐν τῇ δευτέρᾳ· τηρήσαντες ἔτι νύκτα

---

2. λέγε om. Lb. μὴ ALLGB. καὶ μὴ Edd. ὀψάτερον B.

3. εὐκτικῷ — εὐκτικῷ μὲν] „MSS“ (OUD.) GB. εὐκτικῷ μὲν συντάσσεται ἢ παρεληλυθότι, omissis reliquis, Edd. 4. τὸ] „*Exemplum est haustum e Psalmo* 119, 5.“ OUD. 5. κατευθυνθεῖσαν P. 6. Γρηγορίῳ „MSS“ (OUD.) GB. om. Edd. Est *Or.* 28. *Tom.* I. *p.* 484. *a.* μηδὲ] Legebatur μὴ δὲ.
7. εἴθ' ἔμελλον B. 8. πρώτῃ] cap. 111. τὸ „MSS“ (OUD.) GBO. om. CDPF.

10. ὄξους om. B. 11. Πλούτῳ] v. 813.

13. ὀρθρεύομαι] οὐκ ὀρθρίζω add. B. Μίκυλλος BPFO. Μίκυλος LaGCD. Est §. 1. vol. II, p. 703. 14. ἔχοις GB, FO ex Luciano. ἔχεις CDP, Luc. Fl. ὀρθρευόμενος olim vulgatum ap. Lucianum, ἐπορθρευόμενος hodie legitur. προανύειν A „*Leid.*“ GBOx, hodie Lucianus, ex quo vulgatum olim διανύειν transiit in FO. καὶ προανύειν CDP. 15. προτοῦ B.
17. δευτέρᾳ] cap. 3. τηρήσαντες] φυλάξαντες Thucydides. Cf. Popp. Prolegom. P. II, vol. 1, p. 82. ἔτι] δὲ ἔτι B.

καὶ αὐτὸ τὸ περίορθρον· οὐκ ὀρθρίζω. ὀρθριοῦμαι δὲ, οὐκ ὀρθρεύσομαι, ἀλλ᾽ οὐδ᾽ ὀρθρισθήσομαι.

Ὀρχηστρίς, οὐκ ὀρχήστρια.

Ὄμνυμι, οὐκ ὀμνύω.

Ὄσφρομαι κάλλιον ἢ ὀσφραίνομαι. Λιβάνιος ἐν τῇ μελέτῃ τοῦ φθονεροῦ· ὄσφρονται τῆς εὐδαιμονίας οἱ κόλακες. ὀσφρόμενος δὲ καὶ ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ὀσφραινόμενος καὶ ἐπὶ μέσου ἀντὶ τοῦ ὀσφρησάμενος. ἔστι γὰρ οὐ μόνον ὄσφρω, ἀλλὰ καὶ ὀσφρέω ὀσφρῶ, οὗ ὁ δεύτερος ἀόριστος ὤσφρον, ὁ μέσος ὠσφρόμην καὶ ὀσφρόμενος· τὸ δὲ ὀσφρησάμενος ἀνάττικον.

Ὄρνιθες ἁπλῶς μὲν πάντα τὰ πετόμενα· ἰδίως δὲ οἱ εἰς μαντείαν συντελοῦντες ὄρνιθες, ἀφ᾽ οὗ καὶ πᾶν τὸ εἰς μαντείαν συντεῖνον ὄρνιν ἔλεγον, οἷον πταρμὸν ἢ παλμὸν ἤ τι τοιοῦτον. καὶ τὴν ἁπλῶς δὲ μαντείαν ὄρνιν ἐκάλουν. Ἀριστοφάνης ἐν Πλούτῳ·

δέ-

---

1. περὶ ὄρθρον B. ὀρθρίζω] ὀρθρίσω c. Abreschius. 2. ὀρθρεύσομαι] ὀρθρεύομαι GB.

Sequuntur hoc loco in CDP duae notationes: Ὄρθριος, οὐκ ὀρθρινός, et Ὄψιος, οὐκ ὀψινός, quas nos infra posuimus, p. 258.

4. Ὀρχηστρὶς et ὀρχήστρια ALLGBO. ὀρχιστρὶς et ὀρχίστρια CDPF.

6. κάλλιον ἢ] οὐκ G. μελέτῃ] vol. I, p. 330. (IV, p. 166, 18. Rk.) 7. ὄσφρονται ALaGBO. ὄσφροντο CDPF. ὀσφρῶνται Libanius. 8. δὲ om. B. 9. ὀσφραινόμενος] ὀσφρονόμενος B. μέσου] ἀορίστου μέσου c. Abreschius. 10. ὄσφρω „MSS“ (OUD.) GBO. ὄσφρω P. ὤσφρω CDF. 11. ὤσφρον B. καὶ] ἡ μετοχὴ ὁ B. 12. ὀσφρώμενος CDP. ἀναττικῶς B.

13. πετόμενα „MSS“ (OUD.) GBO. πεττόμενα CDPF.

15. μαντείαν GBDP. μαντεῖαν CFO. 16. τι om. B. μαντείαν GBFO. μαντεῖαν CDP. 17. Πλούτῳ] v. 63.

δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

ὄρνις καὶ πᾶν τὸ κατὰ τύχην συμβαῖνον. Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

φεῦ τοῦ συναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις.

Οἰδίπουν, οὐκ Οἰδίποδα. ὡσαύτως καὶ ὀξύπουν καὶ ταχύπουν καὶ ὠκύπουν καὶ ἀρτίπουν καὶ ἀντίπουν· πόδα μέντοι, οὐχὶ ποῦν.

Οἶσθα κάλλιον ἢ οἶδας.

Ὀστοῦν, οὐκ ὀστέον.

Ὁσημέραι λέγε· ὅσαι δὲ ὧραι.

Ὄστρεια, οὐκ ὄστρεα.

Οὖς Ἀττικοὶ, οὐκ ὠτίον.

Ὀμόρξασθαι καὶ ἀπομόρξασθαι, οὐκ ἐκμάξασθαι.

---

3. *καὶ τὸ πᾶν* La. 4. *Θήβαις*] v. 597. 5. *συναλλάσσοντος* AGBCDP. *συναλλάσσοντος* La („*pro συναλλάξαντος*" *OUD.*) *ξυναλλάσσοντος* FO ex Aeschylo. 7. *δυσσεβεστέροις* CDP.

8. *οὐκ* ALaGB. *οὐχὶ* Edd. *Οἰδίποδα οὐκ Οἰδίπουν* transponit Phavor. p. 537. c. *καὶ ταχύπουν* ALaGBOxO, et sine *καὶ* Phavorinus, omittens quae post *ὠκύπουν* sequuntur. om. CDPF.

11. Ante hanc §. in CDP collocantur, quae nos posuimus v. 13. *κάλλιον*] *καὶ κάλλιον* B.

12. *οὐκ* ALLGB, Phav. p. 557. b. *κάλλιον, ἢ* Edd.

13. Hoc loco collocant GB: vid. ad v. 11. *Ὁσημέραι — ὧραι* ALLGBOx; item Phav. p. 556. b., sed in quo addita haec: *λέγεται καὶ ὅσαι ἡμέραι.* Contra *Ὅσαι ἡμέραι, καὶ ὁσημέραι λέγε. ὅσαι δὲ ὧραι μόνον* Edd. Vid. interpr. ad Greg. Cor. p. 64. 65. add. Mosch. Syll. f. 153. a. *ὧραι* GBC, Phav. „*ὥραι*" ALLOxDPFO.

15. *Ἀττικοὶ* „*MSS*" (*OUD.*) GBO. *Ἀττικὸς* CDP. *Ἀττικὸν* F.

16. *Ὀμόρξασθαι* CDP. *καὶ ἀπομόρξασθαι* „*MSS*" (*OUD.*) BCDPO. om. G. *οὐκ ἀπορμόξασθαι* F.

Καὶ ὅρος καὶ ὅριον.

Τὸ οὐκ ἐπέχει τὴν γλῶτταν δοκιμώτερον τοῦ ἀθυροστομεῖ.

Οἴκων ἐργάτης καὶ τέκτων κάλλιον ἢ οἰκοδόμος.

Ὄρθριος, οὐκ ὀρθρινός.

Ὄψιος, οὐκ ὀψινός.

Ὀσμὴ Ἀττικὸν, ὀδμὴ δὲ Ἰωνικόν. καὶ Ξενοφῶν τοίνυν Ἰωνικῷ ἔθει ὀδμή λέγει.

Οὐδείς Ἀττικοὶ, οὐθείς Ἕλληνες.

Ὀπωρῶν ὠνήτωρ οἱ ἀγοραῖοι· σὺ δὲ ὀπωρώνης λέγε, ὡς καὶ βοώνης καὶ ὀψώνης. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· ἕωθεν ὀψώνης κάτεισιν.

Ὀνυχίζειν καὶ ἐξονυχίζειν ταυτόν. [Συνέσιος ἐν τῷ Δίων ἢ περὶ τῆς κατ᾽ αὐτὸν διαγωγῆς· ἀνάγκην ἔχων βιβλίον ἐξονυχίζειν.] τίθεται δὲ ἐπὶ τοῦ [πρὸς μνήμην διανίστασθαι ἢ] ἀκριβολογεῖσθαι. τὸ δ᾽ ἀπο-

---

1. Continuat G. *Καὶ* om. B.

2. *γλῶτταν* Edd. *ἄθυρω στομεῖ* B. Cf. p. 41, 1.

3. *κάλλιον ἢ* LaGB. *οὐκ* Edd. *οἰκόδομος* B.

4. Hic ponunt GB, supra p. 256, 3. CDP. *ὅρθρινὸς* B.

5. Hic ponunt GBC, supra DP et iterum C. *Ὄψος* B.

6. *Ὀδμὴ ἰωνικὸν, ὀσμὴ δὲ ἀττικὸν* G. *Ἀττικοὶ* B. *Ξενοφῶν*] Vid. Lobeck. ad Phryn. p. 89. 7. *λέγει*] *δὲ λέγει* B.

8. *Ὀδεὶς* DP. Annexa est in FO inferior notatio p. 261, 15 — 262, 12.

9. *ὠνήτωρ* ALaGBO. *ὠνήτωρες* CDPF. 10. *βώνης* B. 11. *μελέτῃ*] vol. (I, p. 339.?) IV, p. 170, 23. Rk. *ἕωθεν*] *ἕως* G. *ἕω* B. *κάτεισιν*] *πρόεισι* Libanius.

12. *Ὀνυχίζειν καὶ ἐξονυχίζειν* „MSS" (OUD.) GB, E π. ῥ., Phav. p. 518. a., Phryn. p. 289. *ὀνυχίζει καὶ ἐξονυχίζει* Edd. *Συνέσιος — ἐξονυχίζειν* Edd. om. ALLGB. 13. Synesii verba sunt p. 58. b., ubi est *ἔξω* pro *ἔχων*. 14. *δὲ* ALaBEdd. *γὰρ* LbG. *πρὸς — ἢ* Edd. om. ALLGB, Phryn., Phav. 15. *τὸ δ᾽* G, Phryn., Phav. *τὸ δὲ* Edd.

νυχίζειν τὸ τὰς ὑπεραυξήσεις τῶν ὀνύχων ἀφαιρεῖν σημαίνει.

Οἰκίας δεσπότης ἐρεῖς, οὐχ ὡς Ἄλεξις οἰκοδεσπότης.

Οὐδηποτοῦν μὴ λέγε, ἀλλ' οὑτινοσοῦν.

Οἰκοδομὴ οὐ λέγουσιν Ἀττικοὶ, ἀλλ' οἰκοδόμημα καὶ οἰκοδομία.

Οὐ χρὴ κατ' ὄναρ λέγειν, ὥσπερ οὐδὲ καθ' ὕπαρ, ἀλλὰ ὄναρ, ὡς καὶ ὕπαρ· οἷον, ὄναρ εἶδον τὸν δεῖνα· ἢ ἐξ ὄψεως ὀνείρου τόδε λέγει τις.

Τὸ ὀξὺ ἐπὶ μὲν μαχαίρας καὶ ὀφθαλμῶν λεγόμενον ἐναντίον ἔχει τὸ ἀμβλύ· ἐπὶ δὲ τῶν μετεχόντων ὀξώδους ποιότητος, ἔνθα δὴ τὸ ἀρσενικὸν οὐκ ὀξύς, ἀλλὰ ὀξώδης καὶ ὀξίνης, ἐναντίον ἔχει τὸ γλυκύ· ἐπὶ δὲ φωνῆς τὸ βαρύ· τὸ δὲ ὀξέως ἐμηνύθη καὶ ὀξέως ἀφῖκτο ἐναντίον ἔχει τὸ βραδέως.

Τὸ οὐδέποτε καὶ ἐπὶ τῶν τριῶν χρόνων· τὸ [δὲ] οὐδεπώποτε ἐπὶ παρῳχημένου μόνον, οἷον οὐδεπώποτε ἐποίησα. Λουκιανὸς ἐν τοῖς ἐναλίοις· οὐπώποτε πομπὴν ἐγὼ μεγαλοπρεπεστέραν εἶδον ἐν τῇ θαλάσσῃ.

---

1. ὑπὲρ αὐξήσεις B.

3. Ἄλεξις] Phrynicho commemoratus p. 373.

4. Οὐδηποτοῦν edebatur. οὐδεποτοῦν coni. Abreschius. οὑτινοσοῦν „MSS" (OUD.) GBCDP. οὑτινοσοῦν FO. Phavorinus p. 559. b. corrigendus e Phrynicho p. 373.

5. Οἰκοδομοι B. λέγουσι B.

7. Continuat B. κατόναρ B. ὕπερ B. 8. ὡς καὶ ALaG. ὡς om. BEdd. 9. τὸ δὲ B. Cf. Phryn. p. 421.

11. τῶν om. B. 13. ὀξίνης ALaGBO. ὀξοίνης CDPF. 14. ἀφῖκτο GBO. ἀφίκτο CDPF.

16. καὶ ἐπὶ ALLGB. καὶ om. Edd. δὲ BEdd. om. ALLG, quod suspicionem movet vitii alicuius. 17. οὐδεπώποτε B constanter. 18. ἐναλίοις] XV. init. vol. I, p. 325. 20. θαλάττῃ Lucianus.

Ὄφλημα τὸ ἐκ καταδίκης κυρίως· ὀφείλημα τὸ ἐκ δανείου καὶ τὸ ἁπλῶς χρέος. Ἀριστείδης ἐν τῷ εἰς τὸ Αἰγαῖον πέλαγος· τῷ Αἰγαίῳ τὸ ὀφείλημα ἀποδώσομεν.

Καὶ ὄφλω καὶ ὀφλισκάνω δίκην· ὀφείλω δὲ ὀφειλήσω, ὃ ἐδανεισάμην. Αἰσχίνης· ὃς ὠφείλησεν ἐκείνῳ πλείους ἢ τριάκοντα μνᾶς.

Ὄχθη ἐπὶ ποταμοῦ· ὄχθος δὲ ἐπὶ ἁπλῶς ἐπαναστήματος γῆς.

Φασὶν οἱ ἀκριβεῖς τεχνικοὶ τὸ μὲν οἶμαι ἐπὶ ὁμολογουμένου τίθεσθαι, τὸ δὲ οἴομαι ἐπὶ ἀμφιβόλου.

Ὁμώνυμος καὶ τοῦ δεῖνος καὶ τῷ δεῖνι· καὶ ἰσόρροπος ὡσαύτως.

Τὸ ὅστις ἀόριστόν ἐστι, τὸ δὲ ὅστις ποτὲ ἀμφιβόλου λόγου, οἷον, ὅστις ποτὲ ἦν ὁ παράδεισος, ἤγουν εἴτε νοητὸς εἴτε αἰσθητός.

---

1. *κυρίως* om. Ox. *κυρίον* Lb. 2. *χρέως* B. *Ἀριστείδης*] vol. I, p. 433. (I, 401. Df.) 3. *τῷ*] *τῷ δὲ* Aristides. *ὀφείλημα* „*MSS*“ (*OUD.*) GBPO. *ὄφλειμα* CD. *ὄφλημα* F, Aristidis unus Laur. *ἀποδώσομεν* nunc restitutum Aristidi pro vulg. *ἀποδῶμεν*.

5. Prioribus agglutinarunt FO: ego separavi cum GBCDP. *ὀφλησκάνω* CDP. 6. *Αἰσχίνης*] in Timarch. p. 14. St. (120. Rk.), ubi est *ὠφείλησε μὲν*.

8. Haec in O accesserunt ex ALL, quibus adde GB. Om. CDPF. 9. *γῆς*] *φασὶν οἱ ἀκριβεῖς τεχνικοὶ* huic notationi annectit B: quam rationem commendare *τίθεται* videri possit v. 11.

10. *τεχνικοὶ* C. *ὁμολογουμένου* ALaGBCDPO. *ὁμολογούμενον* F: unde *ὁμολογουμένων* coni. Taylor ad Demosth. c. Aristocr. p. 662, 6. Rk. 11. *τίθεσθαι* AGB. *τίθεται* Edd.

12. *Ὁμώνυμος* B. *ἰσώρροπος* P.

14. Totam §. om. G. *ἐστιν* B. *ὅς τίς ποτε* Edd.

15. „*Sunt verba Gregorii Nazianz. Or. 38. Tom. I. p.* 618. *d. et Or.* 42. *Tom. I, p.* 680. *d.*“ (*OUD.*), sed sumpta ex Moschop. Syll. f. 153. a. *πωτε* B. 16. *εἴ τον νοητὶς εἴτεαἴσθητος* B.

Οἰκῶ οὐ μόνον τὸ κατοικῶ, ἤγουν οἰκῶ τόνδε τὸν τόπον ἢ τήνδε τὴν οἰκίαν, ἤγουν ἐν αὐτοῖς κατοικῶ, ἀλλὰ καὶ τὸ ὡσανεὶ διοικῶ. *Αἰσχίνης*· τὸν γὰρ τὴν ἰδίαν οἰκίαν κακῶς οἰκήσαντα καὶ τὰ κοινὰ τῆς πόλεως παραπλησίως ἡγήσατο διαθήσειν. οἰκίζω δὲ τόπον τὸ οἰκεῖσθαι ποιῶ καὶ οἰκίζω τινὰ ἐν αὐτῷ. καὶ οἰκεῖται τόπος ἤγουν κατοικεῖται· οἰκίζεται δὲ ἤγουν εἰς κατοίκησιν ἐνεργεῖται καὶ κατασκευάζεται.

Ὄζος καὶ ὁ κλάδος καὶ ἡ τούτου ἀρχή, ὅθεν φύεται.

Ὀλυμπικός Ἀττικοί, οὐκ Ὀλυμπιακός. *Θουκυδίδης* ἐν τῇ πέμπτῃ· ἣν ἐν τῷ Ὀλυμπικῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν. καὶ αὖθις ἐν τῇ αὐτῇ· ἐν ταῖς Ὀλυμπικαῖς σπονδαῖς ἐσπέμψαι.

Παρὰ τοῖς λογογράφοις μὲν οὐδείς, οὐδ' ὁστισοῦν, καὶ μηδείς, μηδ' ὁστισοῦν· οὐδεμία, οὐδ' ἡτισοῦν, καὶ μη-

---

1. *Οἰκῶ τὸ κατοικῶ καὶ τὸ οἰκωνομῶ* E π. ῥ. *ἤγουν* „*MSS*“ (*OCD.*) G. *οἷον* BEdd. ἢ] ἡ P. 2. *ἤγουν κατοικῶ ἐν αὐτοῖς* G. 3. *Αἰσχίνης*] in Timarch. p. 5. St. (55. Rk.) 4. *καὶ τὰ — ἡγήσατο* om. B. 5. *ἡγήσαιτο* P. 6. *ποιῶ*] Pergunt E π. ῥ.: *οἰκίζω δέ τινα ἐν αὐτῷ ἤγουν κατοικεῖν ποιῶ.* 8. *εἰς*] *τὴν* add. B. 9. Adiungit B inferiorem notationem p. 268, 10.

10. Omittit haec G. ἡ om. B.

11. *Ὀλύμπικος Ἀττικοί, οὐκ ὀλυμπικὸς* B. 12. *ἐν τῇ πέμπτῃ*] *ἐν θ.* B. Est V, cap. 49., ubi praeterquam in duobus libris scriptum *Ὀλυμπιακῷ*. ἣν] ἦν B. *Ἠλεῖοι* CD?. *Ἠλ...* B. 13. *αὐτῇ*] eodem capite, ubi in quattuor tantum libris *Ὀλυμπικαῖς*.

15. De FO vide ad p. 258, 8. *μὲν τοῖς λογογράφοις* B. *καὶ μηδείς* B. *καὶ* om. Edd. 16. *ὅστισοῦν* B. *οὐδεμία, οὐδ' ἡτισοῦν* ALaGOx. om. Edd. et Phavorinus p. 559. a. [illegible] etiam in proximis. *οὐδεμία, μηδ' ἥτισοῦν* B.

δεμία, μηδ᾽ ἡτισοῦν· οὐδέν, οὐδ᾽ ὁτιοῦν, καὶ μηδέν, μηδ᾽ ὁτιοῦν· οὐθέν, οὐθ᾽ ὁτιοῦν, καὶ μηθέν, μηθ᾽ ὁτιοῦν. παρὰ δὲ τοῖς ποιηταῖς οὔτις καὶ μήτις ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ, καὶ οὔτι καὶ μήτι ἐπὶ οὐδετέρου. γίνωσκε μέντοι, ὡς οὐδ᾽ ἂν εἷς καὶ μηδ᾽ ἂν εἷς δοκιμώτερον λέγειν ἢ οὐδεὶς ἂν καὶ μηδεὶς ἄν. Ἀριστοφάνης ἐν Πλούτῳ·

οὐδ᾽ ἂν εἷς ἔτι θύσειεν.

ὡσαύτως καὶ μὴ ἂν ἕνα, μηδένα τῶν πάντων, καὶ εἷς ἂν οὐδεὶς τῶν ἁπάντων, ἢ μηδένα τῶν ἁπάντων, καὶ μηδεὶς τῶν πάντων. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ οὐδετέρου.

Τὸ οὕτως ἐπαγομένου μὲν φωνήεντος μετὰ τοῦ σ̅ ἐκφέρεται, οἷον οὕτως ἔχω δόξης· ἐπαγομένου δὲ συμφώνου χωρὶς τοῦ σ̅, οἷον γέγονεν οὕτω ταῦτα. εἰ δὲ εὕρηται καὶ ἐπαγομένου συμφώνου μετὰ τοῦ σ̅, ἀλλ᾽ ἁμάρτημα τῶν γραφέων ἐστίν. γίνωσκε δὲ ὅτι, ἐὰν μετὰ τοῦ οὕτω [τὸ] τοί ἢ δή τοι θήσεις, ὡραϊσμὸν ἐργάσῃ τοῦ

---

1. μηδ᾽ ἡτισοῦν G. μηδητισοῦν Edd. μηδ᾽ ἥτισοῦν B. οὐδέν, οὐδ᾽ ὁτιοῦν ALaBOx. om. GEdd. καὶ μηδέν, μηδ᾽ ὁτιοῦν om. G. καὶ μηδέν, μηθ᾽ ὁτιοῦν DP. 2. οὐθ᾽ ὁτιοῦν ALaOxO. οὐθετιοῦν CDPF. μηθέν] μηδὲν B. 4. οὐδετέρου] οὐδέπως B. 6. δοκιμώτερον] δοκιμητως B. 7. Πλούτῳ] v. 137.: οὐδ᾽ ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι. 8. οὐδὲ ἂν P. ἔτι θύσειεν] ἐπιθύσειεν Phavor. p. 559. a. 9. μηδ᾽ ἕνα τῶν πάντων coni. Oudendorpius. 10. ἁπάντων] bis πάντων Phav. Postrema sic fortasse restituenda: ὡσαύτως καὶ μηδ᾽ ἂν ἕνα, μηδ᾽ ἕνα τῶν πάντων, καὶ οὐδ᾽ ἂν εἷς, οὐδ᾽ εἷς τῶν πάντων, [καὶ μηδ᾽ ἂν εἷς, μηδ᾽ εἷς τῶν πάντων,] ἢ μηδένα τῶν πάντων, [καὶ οὐδεὶς τῶν πάντων,] καὶ μηδεὶς τῶν πάντων. 11. καὶ ἐπὶ τοῦ LbG. καὶ τοῦ B. καὶ ἐπὶ Edd.

13. σ̅] ο P. 14. χωρὶς] μετὰ Lb. 16. συμφώνος B. ἀλλ᾽ G. om. B. ἀλλὰ Edd. 17. ἐστὶ G. 18. τὸ de coniectura additum.

λόγου. Φιλόστρατος· οὕτω τοι ἔμπνους. Λιβάνιος· οὕτω δὴ κάλλους ἔχων. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· οὕτω δή τοι λαμπρόν.

Τὸ οὔπω ἀναιρεῖ τὸ ἐνεστὸς καὶ ἐπαγγέλλεται τὸ μέλλον, οἷον· οὔπω ἐστὶ καιρός, ἤγουν ἀκμὴν οὐκ ἔστιν, ἀλλὰ ἔσται δηλονότι. τὸ δὲ οὐκέτι ἀναιρεῖ τὸ μέλλον, οἷον, οὐκέτι ἔσται καιρός, ἤγουν ἀπὸ τοῦ νῦν οὐκ ἔσται, ἀλλὰ παρῆλθε δηλονότι.

Ὀψὲ οὐ μόνον ἀντὶ τοῦ μόλις, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐν ὑστέρῳ μετὰ προσθήκης ὀνόματος χρονικοῦ, οἷον, ὀψὲ τῆς ἡμέρας. χωρὶς δὲ προσθήκης ἀντὶ [τοῦ] ἑσπέρας καθαρῶς παρὰ Θουκυδίδῃ, οἷον· καὶ ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Ὀρῶν, οὐκ ὀρέων.

Οὐ μόνον ὅσον οὔπω πάρεστι φαμὲν, ἀλλὰ καὶ ὅσον οὐ πά-

---

1. *Φιλόστρατος*] Exempla Philostratia habes apud Iacobsium ad Imag. p. 294. *Λιβάνιος*] Non potuit investigari. 2. *Συνέσιος*] p. 63. a. *τῷ* „*MSS*“ (*OUD.*) GBCDPO. *λῷ* F.
3. *δή τοι*] *δῆτα* Synesius.

4. *ἐνεστὸς* GCDPF. *ἔνεστος* B. *ἐνεστὼς* ALaRbO. Addunt CDPF *καὶ τὸ παρελθὸς*, eademque sed uncis circumscripta B, *καὶ τὸ παρεληλυθὸς* O, (ut est in Moschop. Syll. f. 153. b., ubi tamen absunt *τὸ ἐνεστὸς καὶ*): omittunt „*MSS*“ (*OUD.*) G.
5. *ἤγουν ἀκμὴν οὐκ ἔστιν* ALaGB (etiam Moschop.). om. Edd., in quibus rursus haec leguntur: *καὶ οὔπω γέγονεν* (ut ap. Mosch.), omissa in „*MSS*“ (*OUD.*) G, et hoc quidem loco in B.
6. *ἀλλὰ ἔσται δηλονότι . τὸ δὲ οὐκέτι* ALaGO, Mosch. *ἀ. ἐ. δῆλον ὅτι . τὸ δὲ οὐκέτι* CDP. *ἀ. ἔ. δῆλον, ὅτι τὸ δὲ οὐκέτι* F. *ἀλλὰ ἔσται καὶ οὔπω γέγονεν ἀλλὰ ἀλλὰ ἔσται . τὸ δὲ οὐκέτι* B. *στὸ μέλλον* B. 7. *ἀποτουνῦν* G.

10. *προστήκης* DP. *χρονικοῦ*] *χρόνου* B. 11. *προστήκης* DP. *τοῦ* Edd. om. GB. 12. *Θουκυδίδῃ*] III, cap. 108
13. *ἐτελεῦτα* DP. *ἕως* Thomae commune est cum paucioribus libris Thucydidis pro *ἐς*. *ὄψε* B.

ῥεστιν, ὡς ὁ αὐτὸς Θουκυδίδης· ἀγγέλλεται αὐτοῖς τὰς ἐκ Πελοποννήσου ναῦς ὅσον οὐ παρεῖναι.

Ἐξοστρακίζομαι καὶ ὀστρακίζομαι, ὡς ὁ αὐτὸς ἐν τῇ δευτέρᾳ· ἔτυχε γὰρ ὠστρακισμένος, καὶ ἔχων δίαιταν ἐν Ἄργει. καὶ ἐν τῇ ἕκτῃ· μοχθηρὸν ἄνθρωπον ὠστρακισμένον. ἐγένετο δὲ ὁ ὀστρακισμὸς οὐκ ἐπὶ τῶν τυχόντων, ἀλλ' ἐπὶ τῶν ἐνδόξων καὶ γένει λαμπρῶν. παρήχθη μέντοι ἡ λέξις ἀπὸ τῶν ὀστράκων, ἐν οἷς γράφοντες ἐδίδουν τὰς καταδίκας τοῖς ὑπευθύνοις.

Ὁρμίζω τὸ ἐλλιμενίζω καὶ ὁρμέω ὁρμῶ· Θουκυδίδης πολλάκις. Εὐριπίδης ἐν Ἑκάβῃ·

ἀκταῖσιν ὁρμεῖ.

Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τοῖς αἰγιαλοῖς ἐφορμούντων. καὶ πάλιν ἐν τῷ αὐτῷ· ἐπὶ δυοῖν ὁρμεῖν ἔδοξαν οἱ Ἕλληνες. ἐντεῦθεν δοκεῖ παρῆχθαι καὶ τὸ ἐφορμῶ ἤγουν ὑποπτεύομαι, ἐκ

---

1. ὡς om. G. ὁ αὐτὸς om. FO. Θουκυδίδης] VIII, cap. 26. init. ἀγγέλεται B. 2. ἐκ] ἀπὸ Thucydides, cuius etiam omissa quaedam.

4. Ἐξοστρακίζομαι καὶ ὀστρακίζομαι ALaGBCDP. ὀστρακίζομαι καὶ ἐξοστρακίζομαι FO. ὡς ὁ αὐτὸς] Θουκυδίδης GB. δευτέρᾳ] immo πρώτῃ, cap. 135. 5. ὠστρακισμένος „MSS" (OUD.) GO. ὠστρακιζομένως B corr. ὀστρακισμένος CDPF. ἔχων „MSS" (OUD) GB. ἔχω CDPF. 6. δίαιταν] μὲν add. Thucydides. ἕκτῃ] immo ὀγδόῃ, cap. 73. 7. ὠστρακισμένον „MSS" (OUD.) GO. ὠστρακιζόμενον B. ὀστρακισμένον CDPF. ἐγένετο LaGB. ἐγίνετο Edd. ὁ „MSS" (OUD.) CDPO. om. GBF. 8. οὐχ B. ἀλλὰ B. 9. λέξης B. 10. ἐδιδόασαν G. ἐδίδοσαν B.

12. ὡρμέω CDP. ὡρμῶ DP. 13. Ἑκάβῃ] immo Ὀρέστῃ, v. 55. 15. Παναθηναϊκῷ] vol. I, p. 174. (I, 161. Df.) 16. αὐτῷ] p. 190. (176. Df.) 17. δοκεῖ] μοι δοκεῖ B.

μεταφορᾶς τῶν ὑπὸ τοῖς ὅρμοις κρυπτομένων πετρῶν καὶ ὑπόπτων οὐσῶν τοῖς καταίρουσιν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Λύσαντες ἐκ Βενδιδείου· καὶ ὑφόρμει δέος οὐκ ἔλαττον. καὶ Λιβάνιος ἐν προθεωρίᾳ μελέτης τῆς Ἔχων τις γυναῖκα καὶ ὢν ὑπὸ πατρὶ ἀπεδήμησε· δεῖ τὸ ὕφορμοῦν θεραπεῦσαι, ἤγουν τὸ ὑποπτευόμενον.

Ομορος ἐπὶ οἰκίας καὶ χωρίου · ἄλλοθι δὲ οὐκ ἐρεῖς.

Ὁμότεχνος, οὐ σύντεχνος.

Οἰκότριψ, οὐκ οἰκοτραφής.

Ὁπωσοῦν Ἕλληνες ἁπλῶς· ὁπηοῦν δὲ καὶ ὁπωστιοιοῦν καὶ ὁπητοιοῦν Ἀττικοί.

Ὁ δεῖνα ἐπὶ τρίτου προσώπου μόνον λαμβάνεται καὶ ἐπὶ τῶν τριῶν γενῶν. Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου· ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλε. Γρηγόριος ὁ θεολόγος· ἐγὼ τοῦ δεῖνος καὶ ἡ δεῖνά μοι μήτηρ. Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολ-

---

1. ὅρμοῖς B. 2. ὑπόπτον B. καταίρουσι G. 3. ἐπιστολῇ — Βενδιδείου GB. τῇ Λύσαντες ἐκ Βενδιδείου ἐπιστολῇ Edd. Est epist. 4. p. 165. c. ὑφόρμει B. 4. Λιβάνιος] vol. I, p. 818. (IV, p. 639, 8. Rk.) 5. γυναῖκα „MSS“ (OUD.) GBCDPO. γυναῖκας F. 6. ὑφορμοῦν ALaBO. ἐφορμοῦν CD PF.

8. Ὅμορος GBO. χωρίων B. ἄλλοθε P. δ' B.

9. Ὁμότεχνος] ὁμότεχνος DP.

10. Οἰκόπριψ P. οἰκότριψω B.

11. ὁπηοῦν „MSS. Leidd.“ GO, Phav. p. 551. a. ὁποιοῦν „La“ BCDPF. ὁπωστοιοῦν „La“ GBCDF. ὁποστοιοῦν P. ὁπωστιοῦν „MSS. Leidd.“, O, Phav. 12. ὁπητοιοῦν „La“ GBC DPF, Phav. ὁπητιοῦν „MSS. Leidd.“, O. Vid. Oudend. p. 655.

13. τρίτου — μόνον] τριῶν προσώπων Phav. p. 535. c. 14. τοῦ om. Lb, Phav. στεφάνου] immo de contribut. p. 167, 24. Rk.

16. Γρηγόριος ὁ θεολόγος ALLGB. καὶ παρὰ τῷ θεολόγῳ Edd. „Est Tom. I, p. 244. c.“ 17. δεῖνα GBFO. δεινα CDP.

λωνίου βίῳ· τὸ δεῖνα γιγνομένη καὶ τὸ δεῖνα αὖ.

Τὸ οὖν καὶ τὸ δή καὶ μόνα καθ' ἑαυτὰ τίθεται καὶ ὁμοῦ ἐκ παραλλήλου, θατέρου τούτων ἢ ἡγουμένου ἢ ἑπομένου· οἷον, ὅσα οὖν γέγονε, καὶ ὅσα δὴ γέγονε. καὶ πάλιν, ὅσα οὖν δὴ γέγονε καὶ ὅσα δὴ οὖν γέγονεν.

Ὅπου καὶ ὅπη διὰ τοῦ η ἐπὶ στάσεως τίθενται, οἷον, ὅπη εὑρίσκομαι, καὶ ὅπου οἰκῶ, καὶ ὅποι διὰ τοῦ ο καὶ ι ἐπὶ κινήσεως, οἷον ὅποι ἔρχομαι. περὶ δὲ τοῦ ποῦ καὶ πῇ διὰ τοῦ η τοῦ τόπον δηλοῦντος (σημαίνει γὰρ καὶ τὸ πῶς) καὶ τοῦ ποῖ διὰ διφθόγγου οὕτω φρόνει· τὸ μὲν γὰρ ἐπὶ κινήσεως, ὡς τὸ

ποῖ ἔβη Ἀνδρομάχη;

παρ' Ὁμήρῳ ἐν ζ' Ἰλιάδος, καὶ

ποῖ τις ἂν φύγοι;

παρ' Εὐριπίδῃ ἐν Ὀρέστῃ· καὶ ποῖ γῆς ἔδυτε παρ' Ἀριστείδῃ ἐν μονῳδίᾳ τῇ ἐπὶ Σμύρνῃ. καὶ τὸ πῇ δὲ διὰ τοῦ η ἐπὶ κινήσεως, ὡς τὸ

πᾷ βῶ;

---

1. *βίῳ*] II, cap. 4. p. 52.

3. *μόνα* om. G. *ἑαυτὰ* P. 4. *παραλείλον* B. 5. *ὅσα οὖν — πάλιν* ALa, Phav. p. 561. b. om. Edd. *ὅσα δὴ οὖν γέγονε καὶ ὅσα* (*δὴ* add. B) *γέγονε* GB. 6. *οὖν δὴ* ALaG, Phav. *οὖν* om. B. *γοῦν δὴ* Edd.

7. *τίθενται* ALaGBO. *τίθεται* CDPF. 8. *εὑρίσκομαι* P. *καὶ ὅποι* GB. *καὶ* omisso novam §. incipiunt Edd. *ὅποι*] *ὅπη* La tum hic tum v. 9. 10. *τοῦ τόπον* GBCDP. *τὸν τόπον* FO. *τοῦ ποῦ* Ox. *τοῦτο ποῦ* ALa. *τοῦ τόπου* B. *γὰρ καὶ*] *μαρ καὶ* B. 11. *πῶς — φρόνει τὸ* om. B. *τοῦ ποῖ* LaGO. *τὸ ποῖ* CDPF, omissis simul parenthesis notis. 14. *Ἰλιάδος*] VI, v. 377., ubi tamen *πῇ* legitur. 16. *Ὀρέστῃ*] v. 590.: *ποῖ τις οὖν ἔτ' ἂν φύγοι.* Scribebatur *τίς*. *ποῖ*] *ποῖ ποτε* Aristides. *παρ'*] *παρὰ* GB. 17. *ἐν*] *ἐν τῇ* B. *μονῳδία*] vol. I, p. 458. (I, 426. Df.) *Σμήρνῃ* CDP. 18. *ὡς τὸ* ALaGBO. *ὡς τῷ* CDPF. 19. *βῷ* F.

παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ. τὸ δὲ ποῦ ἐπὶ στάσεως, ὡς παρ' Ὁμήρῳ·

ποῦ δεῦρο κιὼν λίπες Ἕκτορα;

καὶ ποῦ γῆς μονῳδῶ παρ' Ἀριστείδῃ ἐν τῇ ἐπὶ Σμύρνῃ μονῳδίᾳ.

Ὀρειάλωτον μὴ εἴπῃς, βάρβαρον γάρ, ἀλλ' ἐν ὄρει πλανώμενον. τὸ γὰρ ἁλωτόν οὐ τὸ πλανώμενον δηλοῖ, ἀλλὰ τὸ κρατηθὲν, ὡς ἔχει καὶ τὸ δοριάλωτον.

Οἴαξ [καὶ] τὸ ἄκρον τοῦ πηδαλίου· καὶ ὅλον τὸ πηδάλιον.

Ὥσπερ οὑτοσί, οὕτω καὶ οὑτοιί, ὡς τὸ τρισμύριοι δὲ οὑτοιῒ [παρ' Ἀριστείδῃ] τὸν τῶν ἀνδροφόνων ἀπολώλασι τρόπον. καὶ ἐπὶ θηλυκοῦ καὶ [ἐπὶ] οὐδετέρου ὡσαύτως.

Ὀφθαλμιῶ τὸ τοὺς ὀφθαλμοὺς νοσῶ. Ἀριστοφάνης ἐν βατράχοις·

ἀλλ' ἔτυχον ὀφθαλμιῶν.

καὶ ὀφθαλμία ἡ τοιαύτη νόσος. [Συνέσιος ἐν ἐπιστολῇ

---

1. Ἑκάβῃ] v. 1062. 2. Ὁμήρῳ] Il. X, v. 406.: ποῦ νῦν δεῦρο κιὼν λ. Ἕ. 4. Ἀριστείδῃ] p. 459. (427. Df.): ποῖ γῆς νυνὶ μ. 5. σκύρνῃ D. Σμυηρ B. μονῳδίᾳ om. La.

6. ἐν ὕρει P. 7. ἀλωτὸν BC. 8. δοριάλωτον solus G. Edebatur δορυάλωτον.

9. καὶ BEdd. om. „*MSS*" (*OUD.*) G.

11. οὑτοσί G. οὗτος, οὗτοσι B. οὑτωσὶ Edd. τρισμύριοι] τρισμακάριοι GB. τρισχίλιοι Aristides. 12. παρ' Ἀριστείδῃ Edd. om. ALaGB. Transponenda fortasse post τὸ. Est vol. II, p. 80. (I, 606. Df.) ἀνδροφόνων] ἱεροσύλων Aristides. 14. ἐπὶ οὐδετέρου B. ἐπὶ om. GEdd. ὡσαύτως hoc loco GB, post τρόπον Edd.

16. βατράχοις] v. 192. 17. ἔτυχον P. ὀφθλαμία C. ὀφθαλμίαι B. 18. ἡ τοιαύτη νόσος] ἤτοι αὕτη νόσος ὁρῇς B. Συνέσιος — παλαιοῖς Edd. om. „*omnes MSS.*" (*OUD.*) GB. ἐπιστολῇ] 7. p. 171. b.

τῇ Πῶς δοκεῖτε δέδηγμαι τὴν καρδίαν· ὅτι δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλμίας παλαίεις.] ἔστι δὲ καὶ ὀφθαλμιᾶν τὸ ἀδίκοις ὀφθαλμοῖς γυναῖκα ὁρᾶν· ὁ γὰρ τοιοῦτος οὐκ ἐν τῷ καθεστηκότι τοὺς ὀφθαλμοὺς ἔχει, ἀλλ' οἷον νοσοῦντας ὑπ' ἔρωτος.

Καὶ οἰμώζω καὶ οἰμώττω. Ἀριστοφάνης ἐν Πλούτῳ·

οἴμωζ' ἄρα σύ.

Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· οἰμώττουσι δὴ τοῖς ὧδε πεπραγμένοις.

Οἷον τὸ ὁποῖον· καὶ οἷον ἀντὶ τοῦ ὡσανεί, ὃ καὶ οἱονεὶ λέγεται· καὶ οἷον θαυμαστικὸν καὶ σχετλιαστικόν.

Ὁμιλητής ὁ μαθητής, καὶ ὁμιλητικός. Φιλόστρατος ἐν τῷ τοῦ Ἀπολλωνίου βίῳ· νόμον τοῦτο οἱ ὁμιλητικοὶ ἡγοῦντο καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα.

Ὄψις καὶ ὁ ὀφθαλμὸς καὶ αὐτὴ ἡ θεωρία. Φιλόστρατος· τὰς ὄψεις ἀνακοπείς.

Ὀψοποιός καὶ ὀψοποιικός καὶ ὀψοποιικὸν πρᾶγμα καὶ ὀψο-

---

2. πέρα] παρὰ F. ὀφθαλμίᾳ FO ex Synesio. 3. καὶ om. B. ὀφθαμοῖς C. 5. ἀλλοῖον B.

6. Καὶ οἰμώζω LLG. Καὶ om. BEdd. οἰμώζω καὶ οἰμώττω] οἰμώπτω καὶ οἰμώζω B. Πλούτῳ] v. 877. 7. οἴμοζ' B P. ἄρα] ἆρα Aristophanes. 8. τύχης] vol. I, p. 15. (I, p. 30, 4. Rk.) 9. ὧδε DP. ἤδη Ox.

10—11. Accesserunt haec ex ALaG et, de quo vide ad p. 261, 9., B. Omittunt Edd. Cf. Moschopuli Syllogam f. 152. b., olim integriorem, ut ex Phavorino p. 540. b. intelligitur.

13. τοῦ „MSS“ (OUD.) GBO. om. CDPF. βίῳ] I, cap. 1. p. 2. τοῦτο ALLGBO. τοῦτον CDPF.

16. αὐτὴ ALLGBOxCDPO. ἀντὶ F. Latet Philostrati locus.

18. Ὀψοποιός — ὀψοποιητική sic exhibent A „Leid.“ GBOx O. Mutavimus tamen interpungendi rationem. Praeterea ὀψοποιΐκός] ὀψοποιηκὸς CDPF. ὀψοποιΐκὸν] ὀψοποιητικὸν CD PF.

ποιΐα καὶ ὀψοποιϊκὴ κάλλιον ἢ ὀψοποιητικὸς καὶ ὀψοποιητική. Πλάτων ἐν Γοργίᾳ· ἐν δὲ καὶ ἡ ὀψοποιϊκή, ὃ δοκεῖ μὲν εἶναι τέχνη. καὶ αὖθις ἐν τῷ αὐτῷ· ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιϊκῶν· ὃ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας, ἀντίστροφον ὀψοποιίας ἐν ψυχῇ, ὡς ἐκεῖνο ἐν σώματι.

Οὐ μόνον οὐδείς καὶ μηδείς, ἀλλὰ καὶ οὐδένες καὶ μηδένες καὶ ἐπὶ τῶν ἄλλων πτώσεων τῶν πληθυντικῶν Ἀττικοὶ λέγουσι. τὸ οὐδαμοί δὲ καὶ μηδαμοί Ἡρόδοτος ὡς Ἰωνικὸν, ὡς ἐν τῇ πρώτῃ· ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισιν Ἰώνων, οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν.

Καὶ ὅμοιον τῷ δεῖνι καὶ ὅμοιον τοῦ δεῖνος. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· ἔστι δὲ καὶ ταῦτα ὁμοῖα τοῦ Ἡφαίστου. ὡσαύτως καὶ ἴσον τῷ δεῖνι καὶ ἴσον τοῦ δεῖνος.

---

1. ὀψοποιϊκή] ὀψοποιηκή CDPF. ὀψοποιητικὸς καὶ om. CDPF. ὀψοποιΐτικος καὶ B, itemque ὀψοποιΐτική. 2. Γοργίᾳ] p. 463. b. ἐν δὲ om. B. 3. ὀψοποιϊκὴ „MSS" (OUD.) GBO. ὀψοποιηκὴ CDPF. 4. αὐτῷ] p. 465. d. ἀκίτων B. ἀκρίτων γ' Plato. 5. ὀψοποιϊκῶν „MSS" (OUD.) GBO. ὀψοποιηκῶν CDPF. ὃ P. μὲν οὖν „MSS" (OUD.) GBO, Plato. μὲν CDPF.

9. Priori notationi (p. 261, 15 — 262, 12.) annectunt FO. ἀλλὰ om. B. 10. πτώσεως B. 11. τὰ δὲ οὐδαμοὶ δὲ B. Ἡρόδοτος] λέγει add. B. 12. ὡς ἐν τῇ πρώτῃ „MSS" (OUD.) GBO. ἐν τῇ ἕκτῃ CDPF. Est I, cap. 143. 13. μηδαμοῖσι B. μηδαμοῖσιν GEdd.

15. Καὶ ὅμοιον „MSS" (OUD.) GB. Ὅμοιον Edd. ὁ αὐτὸς] Ἡρόδοτος FO. 16. τρίτῃ] cap. 37. ὁμοῖα GB. ὅμοια Edd. τοῦ pauciores Herodoti codd. pro τοῖσι τοῦ. 17. τῷ] τοῦ D.

Ὅπλα οὐ μόνον τὰ κοινῶς ἄρματα, ἀλλὰ καὶ τὰ εἰς ἑτέραν τινὰ κατασκευὴν συντελοῦντα. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· καὶ ὕπερθε τῶν ὅπλων τοῦ τόνου. καὶ αὖθις ἐν τῇ αὐτῇ· παρεσκευάζοντο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας.

Οἰκέται οὐ μόνον οἱ δοῦλοι, ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ οἴκῳ, γυνὴ καὶ τέκνα. ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· ἣν κομίσας τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ, ὥστε ὑποδεξάμενον τοὺς λόγους τὸν Πανιώνιον κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα.

[Τὸ οὐκ ἂν ἀεὶ ἐπὶ εὐκτικοῦ τίθεται, οὐδέποτε δὲ ἐπὶ ὑποτακτικοῦ, οἷον τὸ τοῦ Σοφοκλέους·

οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν.

τὸ δὲ ὅστις καὶ εἴ τις καὶ εἴ τι μετὰ τοῦ ἂν τιθέμενα καὶ ἐπὶ εὐκτικοῦ [καὶ ἐπὶ ὑποτακτικοῦ] τίθενται. Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας Ῥοδίων ἄμφω δῆλα ποιεῖ λέγων· οἶμαι δὲ ἅπαντας ἂν ὑμᾶς συμφῆσαι, ὥσπερ τῶν ἐν δικαστηρίῳ λόγων τούτους

---

1. τὸ κοινῶς DP. 2. συντελοῦντα P. ἑβδόμῃ GB. ὀγδόῃ Edd. Est VII, cap. 36. 3. καὶ ὕπερθε τῶν GO, libri quidam Herodotii. καὶ ὑπερθετῶν CDP. καὶ ὑπερθετων B. κατύπερθε τῶν Herod. vulg. 4. αὐτῇ] cap. 25. παρεσκευάζοντο pauci libri Herodoti pro παρεσκευάζετο. ἐς τὰς LLGBO. διὰ τὰς A. εἰς CDPF. 5. γέφυρας CDPF.

6. δοῦλοι D. 7. ὁ αὐτὸς] Ἡρόδοτος FO. ὀγδόῃ] cap. 106. ἣν P. κομίσαι B. κομισάμενος nunc editum ap. Herodotum. 8. οἰκίῃ GB. 9. ὑποδεξάμενον] ἀσμενον Herodotus.

11. Haec ad finem usque ō litterae om. ALLGB: habent Edd. 12. Σοφοκλέους] Aiac. v. 477. 16. καὶ ἐπὶ ὑποτακτικοῦ addidi de Wolfii coniectura. 17. περὶ ὁμονοίας Ῥοδίων] Ῥοδίοις περὶ ὁμονοίας Aristides, cuius verba habes vol. II, p. 378. (I, 826. Df.) δῆλα P. 19 et p. 271, 2. ἐν δικαστηρίῳ et εἶεν.

ἀληθεστάτους ἡγεῖσθε, ὧν ἂν πλεῖστοι καὶ γνωριμώτατοι μάρτυρες εἶεν, οὕτως ἂν καὶ τῶν εἰς συμβολὴν ἡκόντων, οἷς ἂν πλεῖστοι καὶ σπουδαιότατοι μάρτυρες ὦσι, τούτοις μάλιστα χρῆναι πιστεύειν.]

Π.

Παῖσαι Ἀττικοὶ, οὐχὶ παῖξαι. Ἀριστοφάνης ἐν Πλούτῳ·

βούλει διὰ χρόνου πρός με παῖσαι.

Προστροπὴ ὁ μολυσμός. Συνέσιος ἐν ἐπιστολῇ· ὁ θίγων ἐναγοῦς ἀπολαύει τῆς προστροπῆς. μίασμα δὲ οἱ ῥήτορες γράφουσι καὶ οὐ προστροπή. τὸ δὲ μολυσμός κοινόν· εἰ καὶ Συνέσιος καὶ τοῦτο λέγει παρὰ τῇ αὐτῇ ἐπιστολῇ· ὁ γὰρ μολυσμὸς διαδόσιμος γίνεται.

Πράττω πράξω πέπραχα ἔπραξα καὶ οἱ ἐξ αὐτῶν χρόνοι μετὰ μὲν τῆς τοῦ εὖ ἢ κακῶς προσθήκης [ἢ τοῦ βέλτιον ἢ τοῦ χεῖρον] ἢ τοιούτου τινὸς ἄλλου πάθος δηλοῖσι, χωρὶς δὲ προσθήκης ἐνέργειαν· τὸ δὲ πέπραγα καὶ οἱ ἐξ αὐ-

---

οὕτως ἂν solus Aristidis Laurentianus Δ pro vulgatis: ἐν τοῖς δικαστηρίοις et ὦσιν, οὕτως. 3. συμβολὴν CDPF. συμβουλὴν O ex Aristide, vere ut videtur.

6. Πλούτῳ] v. 1056.

8. προστροπὴ ALLRRGBEO, Iun. προτροπὴ CDPF. Sic etiam v. 9. 10. ἐπιστολῇ] 58. p. 202. d. θίγων etiam Synesius pro θιγών. 11. καὶ τοῦτο ALa. καὶ om. GBEdd.

12. ἐπιστολῇ] Proxima sunt prioribus. μολισμὸς B. Προστροπὴ ὁ ἐξ ἐμπαθείας ῥύπος ὃ κοινῶς μολυσμὸς λέγεται· ἑλληνικῶς δὲ μίασμα. E.

14. ἐξ αὐτῶν] ἀπ' αὐτου B. 15. ἢ τοῦ — χεῖρον Edd. om. ALLRbG, Phav. p. 621. b., mutilus in proximis. In ἤγουν mutato ἢ priore post ἄλλου collocat B.

τοῦ Χρόνοι καὶ μετὰ προσθήκης καὶ χωρὶς προσθήκης ἀεὶ πάθος ἐμφαίνουσι.

Πεπληγώς καὶ ἀντὶ τοῦ πλήξας καὶ ἀντὶ τοῦ πληγείς . ἔστι δὲ τὸ μὲν ποιητικόν, ὡς τὸ ἀεικέϊ πληγῇ πεπληγώς παρ' Ὁμήρῳ, τὸ δὲ ἀντὶ τοῦ πλήξας λογογραφικόν.

Πτηνόν λέγε · τὸ δὲ πετεινόν ἀδόκιμον.

Πηχέων, οὐ πηχῶν.

Πλέων καὶ κατάπλεων δοκιμώτερον ἢ πλῆρες.

[*Πεπράξομαι ἢ πραχθήσομαι,*] *καὶ πεπράσομαι ἢ πραθήσομαι.*

Πλεῖν ἢ μύριοι Ἀττικώτερον ἢ πλείους ἢ μύριοι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.

Καὶ

---

1. *καὶ χωρὶς προσθήκης* ALLRaGBO, Phav. om. CDPF.

3. *Πεπλεγὼς* P. 4. *ἀεικέϊ* O e coni. Hemsterhusii. *ἀεικίῃ* RbGB, *ἀεικίῃ* Iunius. *ἀεικέῃ* ALa. *ἀεὶ κέει* CDPF. „*πληγῆ τε Ra.*" *πεπηγὼς* CDP. 5. *Ὁμήρῳ*] Il. II, 264.: *πεπληγὼς — ἀεικέσσι πληγῇσιν.* „*Dein cum eodem* (?) *omnino legendum ἀντὶ τοῦ πλήξας . τὸ δὲ λογογραφικόν.*" (*OUDEND.*) Nisi exciderunt quaedam. *δὲ* om B.

6. *πετεινὸν* LaRRGBE. *πετηνὸν* Edd.

7. *οὐ*] *λέγε, οὐ* F. *λέγε* om. „*MSS*" (*OUD.*) GBECDP, Phav. p. 602. c.

8. *πλήρες* DP.

9. *Πεπράξομαι — πραθήσομαι* accesserunt ex Ox, in quo tamen posita sunt post voc. *Πεπολέμωται* (p. 275, 13.) Alteram tantum partem, omissis *πεπράξεται ἢ πραχθήσομαι*, hic collocant ALLGB, itemque antecedenti notationi continuans O, post voc. *Προέδωκεν* (fere exeunte π littera) Ra. *πεπράσομαι ἀττικώτερον, ἢ πραθήσομαι* Phavor. p. 590. b. Nihil servarunt CDPF. *καὶ* om. B, quippe parum apte coire visum cum priore §. *πρασθήσομαι* B.

11. *Ἀττικώτερον*] *ποιητικώτερον* G. 12. *Πλούτῳ*] v. 1184., ubi nunc scriptum *μυρίοι.*

Καὶ πλημμελεῖν καὶ ἐξυβρίζειν ἐρεῖς. λαμβάνεται δὲ τὸ ἐξυβρίζειν καὶ ἐπὶ πλημμυροῦντος ποταμοῦ καὶ τὰ γειτονοῦντα παρασύροντος.

Πιστεύω καὶ πέποιθα καὶ θαρρῶ καὶ θαρσῶ, καὶ θάρρος καὶ θάρσος· πεποίθησις δὲ οὐκέτι, ἀλλὰ πίστις καὶ πεποιθέναι.

Προτέλεια, οὐ προμύησις.

Παροψίδα τὴν ποιὰν μάζαν καὶ τὸ ὄψον Ἀττικοί· ἐπὶ δὲ κύλικος ἢ τρυβλίου μὴ λέγε, ὥς τινες.

Πρωΐ καὶ ὀψέ, οὐ πρωΐας καὶ ὀψίας. Πλάτων ἐν Φαίδωνι· ἀνεῴγετο γὰρ οὐ πρωΐ. ἔστι δὲ πρωΐ καὶ ἀντὶ τοῦ πρὸ τοῦ δέοντος καιροῦ. Θουκυδίδης ἐν τῇ τετάρτῃ· πρωῒ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι

---

1. *Καὶ* om. B. *πλημελεῖν* Ra. *ἐξυβρίζν* P. „*λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἐξυβ. A.*“ 2. *ποταμοῦ*] *τοῦ ποταμοῦ* G, quo spectat etiam *πλιμμεροῦ τοῦ* B. 3. *γειτονοῦντα*] *γείτονα* ARb. „*Thomae Magistri locus haud dubie corruptus est; ultima enim, καὶ ἐπὶ πλημμυροῦντος ποταμοῦ etc. pertinent ad* (voc.) *Πλήμας.*“ *PIERSONUS* ad Moer. p. 295. Sed reputandum erat, non item a Thoma iuxta esse posita, quae a Bernardo p. 719. 720.

5. *πεποίθησις* GBFO. *πεπείθησις* CDP.

7. *οὐ*] *λέγε, οὐ* F. *λέγε* om. „*MSS*“ (*OUD.*) GBCDPO. *Προτέλεια καὶ προμύησις ἡ ἔναρξις τινός.* E.

8. *τὴν* om. A. Cf. Schaeferum ad Schol. Apollon. Rhod. p. 163. 9. *μὴ — τινες*] *παρὰ μόνῃ τῇ θεία γραφῇ* ARb. Pleniorem Thomae codicem cognoscas in Exc. Guelf.: *. αροψὶς ἡ ποιὰ μάζα. καὶ τὸ ὄψον ἀττικῶς. παρὰ δὲ τῇ θεία γραφῇ λέγεται παροψὶς καὶ ἡ κύλιξ καὶ τὸ τρυβλίον. πλὴν οὐ γράφεται παρὰ ῥήτορσι.* *ὡς*] *ὧ* B.

10. *Πρωί*] Constanter *πρωΐ* FO, *πρῷΐ* B. *Φαίδωνι*] p. 59. a. 11. *ἀνεῴγετο*] *ἀνέωγε τὸ* B. *ἀνεῴγνυτο* Plato Bekkeri pro vulgato olim *ἀνεῴγετο*: item *πρῴ* pro *πρωί*. 12. *πρὸ τοῦ*] *προτοῦ* B. 13. *τετάρτῃ*] Scribebatur *τρίτῃ*. Sed *δέ* B, h. e. *δ′*. Est IV, cap. 6.

χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς.

Καὶ παραιροῦμαι καὶ ἀφαιροῦμαι· ἀφαίρεσις δὲ μόνον, οὐ παραίρεσις.

Παραιτοῦμαι τὸ ἀφίημι, ὡς τὸ παρῃτήσατο τὴν ἀρχήν. παραιτοῦμαι τὸ ἀπολύω καὶ ἐλευθερῶ, ὡς τὸ παραιτοῦμαί σε μέμψεως. παραιτοῦμαι τὸ ἀποπέμπω, ὡς τὸ παραιτοῦμαί σε τῆς οἰκίας. παραιτοῦμαι τὸ συγγνώμην αἰτῶ· καὶ τὸ ἀπολογοῦμαι. Ἀριστείδης ἐν τῷ ὑπὲρ τῶν τεσσάρων· παραιτεῖσθαι μὲν οὐκ οἶδ' ὅτι δεῖ περὶ τῶν αὐτῶν πολλάκις. καὶ παραίτησις ἡ συγγνώμης αἴτησις καὶ ἡ ἀπολογία.

Τὸ πόθεν ἐνίοτε μέν ἐστιν ἐρωτηματικὸν καὶ λαμβάνεται ἀντὶ τοῦ ἀπὸ ποίου τόπου ἢ ἀπὸ ποίας αἰτίας· ἐνίοτε δὲ καὶ ἀποφηματικὸν, ὅτε καὶ ἀντὶ τοῦ οὐδαμῶς λαμβάνεται, ὡς παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ·

ὡς μὲν ἀξίαν, πόθεν;

---

3. Καὶ παραιροῦμαι „Codd.“ (OUD.) GCDPO. καὶ om. BF.

5. Παρειτοῦμαι D. ἀφίημι] καὶ ἀποῤῥίπτω add. Phav. p. 574. c. παρητύσατο CD. ἀρχήν.] καὶ add. Edd. om. ALaRb GB, Phav. 6. δὲ post proximum παραιτοῦμαι add. B. παραιτοῦμαι τὸ ἀπολύω — οἰκίας om. Rb. 8. σε om. B.

10. ὑπὲρ] ὑπὸ B. τεσσάρων] vol. III, p. 193. (II, 156. Df.) οἶδα Phav., Moschop. Syll. f. 154. a. 12. συγγνώμης αἴτησις RRGBOxO, Phav. συγγνώμη. αἴτησις ALaCDPF. τε συγγνώμη Επ.ῥ. καὶ ἡ] ἡ om. B.

13. Τὸ πόθεν] Ποποθεν B. 14. ἀντὶ τοῦ om. Phav. p. 610. c. ἢ] ἤγουν Mosch. 156. a. 15. δὲ καὶ RRGB. Mosch, δὲ om. Edd. καὶ om. Phav. ἀπορηματικὸν Mosch. ἀποῤῥηματικὸν GEdd., Phav. ἀπορηματικὸν — οὐδαμῶς om. B. λαμβάνεται ALL RRGBO, Phav., Mosch. om. CDPF. 16. Ἑκάβῃ] v. 611.

17. ἀξίαν in paucis libris Euripidis pro eo quod nunc legitur ἀξία: hoc Phav., illud etiam Mosch. ἀξιοῦν B. πόθεν] ἀντὶ τοῦ οὐδαμῶς add. Phav., Mosch. Sed in Exc. Guelf. haec repperi: Τὸ πόθεν, ποτὲ μὲν σημαίνει ἐρώτησιν· οἷον πόθεν ἥκεις·

Καὶ προὔτρεψε καὶ προὐτρέψατο.

Παρῴκισμαι Ἀττικοί, οὐ παρῳκίσθην.

Πλειστηριάζειν τὸ ὑπερβάλλειν τῇ τιμῇ.

Πύραννος καὶ πύραυγος τὸ περιπετόμενον τοῖς λύχνοις ζωΰφιον.

Προνομεύειν τὸ κατατρέχειν καὶ σκυλεύειν· καὶ προνομεία ἡ σκύλευσις. οὐχ εὑρίσκεται δὲ οὔτε τὸ προνομεύειν οὔτε ἡ προνομεία παρὰ ῥήτορσιν, ἀλλ' ἀντὶ τούτων ληΐζεσθαι καὶ κατασύρειν καὶ καταδρομή· τὰ δὲ πράγματα λεία καὶ σκῦλα πληθυντικῶς καὶ λάφυρα· λαφυραγωγῶ δὲ καὶ λαφυραγωγία ἀδόκιμα.

Πεπολέμωται καὶ ἐκπεπολέμωται ὁ εἰς ἔχθραν προαχθείς τινι καὶ πολέμιος γενόμενος· ἐξεπολέμωσε δὲ ὁ πολέ-

---

ποτὲ δὲ σημαίνει τὸ οὐδαμῶς· ὡς τὸ ἀριστοφάνους· σὺ δ' ὑμέστιος θεοῖς πόθεν. ἤγουν οὐδαμῶς. Quae nec apud poetam exstant, nec apud Phavorinum p. 610. c. vel Moschopulum Syll. f. 156. a.

1. *Καὶ προὔτρεψε* „*MSS*" (*OUD.*) GO. *καὶ* om. BEdd.

3. *τῇ* om. B. *τιμῇ*] *τῶν πιπρασκομένων* add. Phav. p. 607. a.

4. *Πύραννος*] *πύραυστος* coni. Sallierus. „*πύραγος ARb*", puto pro *πύραυγος*, quod ipsum recepi ex E, quum legeretur *πύραυτος*. *περιπετόμενον* ALaRaGO. *περιπετώμενον* RbE. *περὶ πετόμενον* B. *περιπεττόμενον* CDPF. *περιπετάμενον* Sallierus ad Moerid. p. 304.

6. *κατὰ τρέχειν* B. *προνομεία* ALbRRGE π. ῥ., probatum Piersono ad Moer. p. 304. *προνομεία* B. *προνομία* Edd., Phav. p. 627. a. 7. *εὑρίσκεται* „*omnes MSS*" (*OUD.*) B. *εἴρηται* Edd., Phav. 8. *προνομεία* ALb. *προνομία* GBEdd., Phav. 9. *κατὰ δρομὴ* B. 10. *λεία* scripsi ex E π. ῥ. *λεῖα* Edd. *σκῦλα* B. *πληθυντικὸν* B. *λάφιρα . λαμφιραγωγῶ* B. 11. *ἐνδόκιμα* B.

12. *ἐκπεπολέμωται*] *ἐκπολέμωται* Ra. 13. *πολέμονος* B.

Sequuntur hic in Ox, de quibus dictum ad p. 272, 9.

μιόν τινα ἑτέρῳ ποιήσας· πεπολέμηται δὲ ὁ πολεμηθείς.

Πνεύμων οἱ πλεῖστοι· Ἀριστοτέλης δὲ μόνος πλεύμων καὶ πολλαχοῦ.

Πειρῶ ὡς ἐπιτοπολὺ τὸ συννεύω αἰτιατικῇ συντασσόμενον. εὕρηται δὲ καὶ ἀντὶ τοῦ δοκιμάζω αἰτιατικῇ καὶ αὐτὸ, ὡς παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· ἄλλον τινὰ πειρᾶν δεῖ τῶν ἀγενεστέρων. καὶ πρὸς γενικὴν παρὰ Θουκυδίδῃ ἀντὶ τοῦ ἀπόπειραν ποιοῦμαι, ὡς τὸ πειράσαντες τοῦ χωρίου. καὶ ἀντὶ τοῦ δοκιμάζω δὲ παρ' αὐτῷ πολλάκις εὑρίσκεται. πειρῶμαι δὲ ἐπιτοπολὺ μὲν τὸ ἀπόπειραν ποιοῦμαι, ἅπαξ δὲ καὶ τὸ συννεύω, ὡς παρὰ Πινδάρῳ· ἀμφότερα [δὲ] γενικῇ. καὶ πειρῶμαι τὸ συννεύομαι. Θουκυδίδης ἐν τῇ ἕκτῃ· πειραθεὶς δὲ ὁ

---

3. δὲ om. B. μόνον G. πλεύμων] πνεύμων RR. Diversissima E tenent, nec apud Phavorinum reperta nec in Moschopuli Sylloga: *Πνεύμων ὁ ὀργανικὸς τῆς καρδίας τόπος. δι' οὗ ἐξάγεται μὲν οἷον ἐξατμιζόμενον τὸ πολύθερμον τῆς καρδίας. ἀντεισάγεται δὲ πνεῦμα ψυχρόν. εἰς ἀνάκτησιν τοῦ περικαρδίου αἵματος.*

5. ἐπὶ τὸ πολὺ BFO. συνεύω B. 6. δὲ καὶ, quod coniectura Oudendorpius assecutus, RaGB. καὶ om. Edd.

7. Γρηγορίῳ ALLRRGB. om. Edd. 8. ἐπὶ ταφίω C. ἄλλον τινὰ πειρᾶν δεῖ ALLRROxO. ἄλλον δεῖ τινα πειρᾶν G. ἄλλον τινὰ δεῖ πειρᾶν B. ἄλλην τινὰ πεῖραν δεῖ CDPF.

Exc. Guelferb. sic: *Πειρῶμαι ὡς ἐπιτοπολὺ τὸ συννεύω. καὶ πείρασις τὸ αὐτὸ· ἐπιπλεῖον δὲ πειρῶ. καὶ τὸ δοκιμάζω. ὃ καὶ πρὸς γενικὴν συντάσσεται· πειρῶμαι καὶ τὸ ἀπόπειραν ποιοῦμαι*, quae nec Moschopuli Syllogae congruunt f. 155. a.

10. ὡς τὸ] Thuc. 1, cap. 61.: πειράσαντες πρῶτον τ. χ.

12. εὑρίσκεται] εὕρηται B. Vid. ad. p. 275, 7. ἐπὶ τὸ πολὺ FO. 13. δὲ καὶ ALaRaB. καὶ om. RbG. δὲ om. Edd. συνεύω BC, item uno ν v. 14 et p. 277, 2. Πινδάρῳ] Pyth. II, 34. Bkh.: Διὸς ἄκοιτιν ἐπειρᾶτο, non genitivo iunctum. 14. δὲ inserui ex G. πειρῶμαι] πειρεύομαι G. πειρεύμαι B. 15. ἕκτῃ] cap. 54.

Ἁρμόδιος ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου καὶ οὐ πεισθείς. καὶ πείρασις ἡ σύννευσις, ὡς ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἀπαρνηθέντα τὴν πείρασιν.

Πέταμαι οὐδεὶς τῶν ῥητόρων [*εἶπεν*], *ἀλλὰ πέτομαι.*

Πλινθίον οὐδεὶς Ἀττικίζων εἶπεν, ἀλλὰ πλαίσιον. Ἀριστείδης ἐν τῷ περὶ ὁμονοίας ταῖς πόλεσιν· ἀνέχει [*μὲν*] *γὰρ ἐν πλαισίῳ.*

Παρασημαίνομαι καὶ ἐπισφραγίζομαι τὸ σφραγῖδα ἐπιτίθημι καὶ ἀσφαλίζομαι. ἔστι δὲ κάλλιον τὸ ἐπισημαίνομαι τοῦ ἐπισφραγίζομαι.

Παρίσταται ἁπλῶς ἀντὶ τοῦ πλησίον ἵσταται· καὶ παρίσταται ἀντὶ τοῦ ὡς δοῦλος ἵσταται. παρίσταται καὶ ἀντὶ τοῦ συμβαίνει καὶ ἐπέρχεται, ὡς τὸ παρίσταταί μοι θαρρεῖν τε καὶ δεδιέναι παρ' Ἀριστείδῃ ἐν τῇ πρὸς τοὺς βασιλέας ἐπιστολῇ.

---

1. *Ἱππάρχου* ALaRbGBO, Iun. *ἱπάρτου* Ra. *Ὑπάρχου* CDPF. *Πισιστράτου* B. 2. *πισθεὶς* B. 3. *αὐτῇ*] cap. 56. init.

5. *Πέταμαι* et *πέτομαι* ALLRRGOxOE *π. ῥ.*, Phav. p. 599. b., Sallierus ad Moer. p. 312. *πέτταμαι* et *πέττομαι* CDPF. *πέταγμαι* et *πέτομαι* B. *εἶπεν* Edd. om. ALLGB.

6. *Ἀριστείδης*] vol. II, p. 306. (I, 776. Df.) *Ἀριστείδης — πλαισίῳ* om. B. 7. *μὲν* GBEdd. om. Ox., Aristides.

9. *ἐπὶ σφραγίζομαι* B. *σφραγῖδα*] Scribebatur *σφραγίδα. σφραγῆδα* P. 10. *ἐστὶν* B. *τοῦ*] *τὸ* Lb. 11. *ἐπισφαγίσομαι* B. *σφραγίζομαι* Ox. *Παρασημαίνομαι καὶ ἐπισημαίνομαι. ἢ ἐπισφραγίζομαι. ἤγουν τὸ διὰ σφραγῖδος ἀσφαλίζομαι.* E *π. ῥ.*

12. *πλησίου* B. 13. *τοῦ* om. B. 14. *ὡς*] *ὢ* B.

15. *παρὰ* GB. *Ἀριστείδῃ*] vol. II, p. 297. (I, 767. Df.), ubi haec sola exstant: *ἐπέρχεταί μοι δεδιέναι*. Cf. Phavor. p. 582. a.: *Παρίσταται ἀντὶ τοῦ ἐπέρχεται. Δημοσθένης·* (p. 1404. 15.) *ἀλλὰ παρίσταταί μοι τῶν ἀναγνόντων τόνδε τὸν λόγον*: quae nec in Sylloga Moschopuli exstant f. 154. a.

Παράδειγμα ἐπὶ ἐμψύχου· παραβολὴ ἐπὶ ἀψύχου.

Προβολὴ καὶ αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, ὡς Ἑρμογένης φησὶ, καὶ ἡ κατὰ τῶν ἀσεβούντων ἐν τοῖς Διονυσίοις κατηγορία. καταχρηστικῶς δὲ καὶ ἡ περὶ πάσης δίκης κατηγορία, ὡς Αἰσχίνης· δημοσίᾳ προβολὰς ποιούμεθα.

Πωλητήριον, οὐ πρατήριον· πρᾶσις δὲ, οὐ πώλησις. Λιβάνιος ἐν ἐπιστολῇ· ὁρῶν σε μαχόμενον περὶ τῆς πράσεως καὶ τῆς τῶν ῥητόρων φυγῆς.

Πειραιῶς Ἀττικὸν, Πειραιέως κοινόν.

Πλάνος κάλλιον ἢ πλάνη, ὡς ἄλλοι τε πολλοὶ καὶ Ἰσοκράτης· τοὺς φυγαδικοὺς πλάνους.

Παραφρονῶ καὶ τὸ μαίνομαι καὶ τὸ ἀνοηταίνω ἁπλῶς. Ἀριστοφάνης ἐν Πλούτῳ·

δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.

Οὐ μόνον πᾶς ὁστισοῦν, ἀλλὰ καὶ πᾶς τις ὁστισοῦν εὕρηται ἐκ παραλλήλου.

---

1. Cum his FO conglutinarunt, quae in GBECDP infra ponuntur p. 291, 1. παραβολὴ] δὲ add. E.

2. ἀπ' ἀρχῆς GBE. ἀπαρχῆς Edd. ὡς — φησὶ] παρὰ τοῖς ῥητορικοῖς λόγοις E. Ἑρμογένης] p. 60. ed. Sturm.

5. κατηγορία, ὡς erasa sunt in G. Αἰσχίνης] de f. leg. p. 47. St. (311. Rk.)

8. ἐπιστολῇ] 317. p. 152. περὶ τῆς] ὑπέρ τε τῆς Libanius, et ipse Thomas voc. Φυγή.

10. Πειραιέως] παιραιέως B.

11. πλάνη] πλάνης coni. Oudendorpius: assentitur Piersonus ad Moer. p. 315. Πλάνος ἀττικοὶ γράφουσιν ὡς δοκιμώτερον ἀντὶ τῆς πλάνης. E. Illis probabile est τοῦ πλάνης placiturum fuisse. ἄλλοι P. Ἰσοκράτης] Euagor. §. 28.

14. Πλούτῳ] v. 2.

17. Πᾶς ὁστισοῦν οὐ μόνον, ἀλλὰ καὶ B. Καὶ πᾶς ὁτισοῦν καὶ E.

Παιδίσκην καὶ τὴν ἐλευθέραν καὶ τὴν δούλην Ἀττικοί. ὡσαύτως καὶ παιδισκάριον. Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· τίς ἄνευ παιδισκαρίων. ἐπὶ μόνης δὲ τῆς δούλης οἱ ἁπλῶς Ἕλληνες χρῶνται τῇ παιδίσκῃ. ὡσαύτως παιδάριον καὶ τὸ θυγάτριον Ἀττικοί· μόνον δὲ τὸ ἄρρεν Ἕλληνες.

Πάντοτε οὐδεὶς τῶν Ἀττικῶν, ἑκάστοτε δέ.

Παρασχήσομαι κάλλιον ἢ παρέξομαι, παρέξομαι δὲ ἢ παρέξω.

Πανοικὶ οὐδεὶς τῶν δοκίμων, πανοικεσίᾳ δὲ καὶ πανοικησίᾳ. Λιβάνιος ἐν ἐπιστολῇ· ἔρρωσο πανοικεσίᾳ. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες.

Πόρκους Ἀττικοὶ λέγουσιν, οὓς κύρτους Ἕλληνες.

Προστυχὴς ἐγενόμην ἄμεινον ἐρεῖς ἢ ἐνέτυχον.

---

1. ἐλευτέραν B. ὡσαύτως] δὲ add. B. 2. περὶ om. B. 3. μελέτῃ] vol. I, p. 305. (IV, p. 140, 4. Rk.) παιδισκαρίων] παιδίων Libanius vulgo: sed illud in Reiskii Guelferbytano. 4. δουλῆς B. ἅπλως D. ἄπλως P. 5. καὶ παιδάριον τὸ θυγάτριον A, et, inserto ἀττικῶς ante τὸ, E.

7. ἑκάστοτε] ἑκάστοτε P.

8. Παρασχήσομαι — παρέξω „MSS" (OUD.) RRGBO, Phav. p. 577. b. κάλλιον et alterum παρέξομαι om. CDPF. Ut οὐ παρέξομαι δὲ coniecerit Sallierus ad Moer. p. 320. παρέξομαι δὲ] παξέομαι δὲ B.

10. Πανοιχὶ DP. πανοικίοι Lb. καὶ πανοικησίᾳ ALLRR GBO. om. CDPF. 11. ἐν ἐπιστολῇ ALaRRGBO. om. CDPF. Est epist. 759. p. 360., ubi μοι interiectum. ἔρρωσο ALaRR GBCDPO. ἐρρώσω F. 12. δευτέρᾳ] cap. 16. πανοικησίᾳ ALLRRGBO. πανοικεσίᾳ CDPF cum paucissimis libris Thucydidis.

14. λέγουσιν B. Scribebatur λέγουσι. οὓ κυρτοὺς B. Πόρκοι ἀττικῶς αἱ κοινῶς κομβοθηλέαι· ἃς ἕλληνες κύρτους ὀνομάζουσι. E.

15. ἐρεῖς ALLGBO, Phav. p. 631. c. om. CDPF.

Πεντετηρίς καὶ πεντέμηνον Ἀττικοί· πενταετηρίς καὶ πεντάμηνον Ἑλληνικόν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὐδ' εἰς τὴν ἐπιοῦσαν πεντετηρίδα. ὡσαύτως ἔχει καὶ τὸ πεντέκλινον καὶ πεντάκλινον.

Πίομαι καὶ πιόμενος καὶ πῖθι, ἢ πιοῦμαι καὶ πιούμενος καὶ πίε. [Λουκιανὸς ἐν τῷ δευτέρῳ τῶν ἀληθινῶν· νῦν μὲν αὐτὸν πιόμενον τοῦ ἐλλεβόρου.]

Παρασίτους καὶ τοὺς δημοσίᾳ σιτουμένους ἐν τῷ πρυτανείῳ Ἀττικοὶ, οὐ μόνον τοὺς ἐν ταῖς τῶν πλουσίων τραπέζαις παρατρεφομένους κόλακας.

Προσωπεῖα τὰ ὑπὸ τῶν ὑποκριτῶν ἐπιτιθέμενα τοῖς προσώποις. λέγεται δὲ ταῦτα καὶ πρόσωπα.

Πὺξ ἐνάλλεται λέγε καὶ μὴ πυκτικῶς. Συνέσιος ἐν ἐπιστολῇ [τῇ Πολλὰ κἀγαθὰ γένοιτο τοῖς ἱερεῦσιν]· ὥσπερ πὺξ ἐνθορών.

---

1. πενταετηρίς — Ἑλληνικόν ALLRRGO, MS Nunnesii ad Phrynich. p. 406. Lob., et addita δὲ particula B. Om. CDPF. Solum Ἑλληνικὸν servavit Ox. 2. Παναθηναϊκῷ] vol. I. p. 277. (I, 260. Df.) 3. οὐδ' εἰς G. οὐδεὶς RRB. εἰς Edd., Aristides.
Πεντετηρίδας ἀττικοὶ λέγουσι τὴν τῶν πέντε ἐτῶν περίοδον καὶ πεντέμηνον τὴν τῶν πέντε μηνῶν ἃ ἕλληνες πενταετηρίδας καὶ πεντάμηνον λέγουσι. E.

5. πιόμενος] ἐπιόμενος B. πίθι B. ἢ] οὐ Ra, idemque coni. Pauwius ad Phryn. p. 31. Lob. μὴ coni. Sallierus: sed non loquitur ita Thomas. κάλλιον videtur intercidisse, ut 258. 3.
πιοῦμαι καὶ πιούμενος] ποιούμενος καὶ ποιοῦμαι B. 6. πίε] πῖε GB. λέγεται add. Phav. p. 604. a. Luciani exemplum om. „MSS" (OUD.) RbGB. Interpolatorem additum τῷ arguit. δευτέρῳ] §. 7. vol. II, p. 109.

10. παρατρεφομένους] τρεφομένους B.

11. ὑποκριτῶν] ὑποκρίτων DP. ὑποκρυτῶν B. κριτῶν G.
Προσωπεῖον ἡ ὑπόκρισις· καὶ πρόσωπα τὰ ὑπὸ τῶν ὑποκριτῶν τοῖς προσώποις ἐπιτιθέμενα. E.

13. καὶ] ἀλλὰ A. ἐπιστολῇ] 122. p. 259. a. 14. τῇ — ἱερεῦσιν Edd. om. ALLRRGB. 15. ἐνθορῶν CDPF.

Παλίμβολος, οὐκ ἀλλοπρόσαλλος· ποιητικὸν γάρ.

Παρήλλαξα οὐ μόνον τὸ ἐνήλλαξά τι, ἀλλὰ καὶ τὸ παρῆλθον. Συνέσιος ἐν [τῇ Λύσαντες ἐκ Βενδιδείου] ἐπιστολῇ· τὸν Φάριον Μύρμηκα παρηλλάξαμεν.

Οὐ μόνον πολιτεύομαι, ἀλλὰ καὶ πολιτεύω. Θουκυδίδης· κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐπολίτευσαν. πολιτευτὴς δὲ οὐκέτι, ἀλλὰ δημαγωγός. ἔστι δὲ καὶ πολιτεύομαι τὸ μάχομαι. Δημοσθένης· πρότερον μὲν γὰρ εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. καὶ Συνέσιος ἐν ἐπιστολῇ [τῇ Ἄν γράψωμαί σοι φιλίας ἀδικουμένης·] ἐπειδὴ γὰρ ἐκεῖνος οὐδ' ἐμοὶ δοκοῦν ἐπολιτεύετο κατὰ Σαββατείου τῷ μακαρίτῃ Φάῳ.

Ποτνιῶμαι τὸ δυσφορῶ καὶ τὸ μετὰ δεινοπαθήσεως ἱκετεύω.

---

1. *Παλλίμβολος* G. *ἀλλοπρόσαλος* CDP. *ἀλλοπρόσωπος* Rb. *ποιτικὸν* B.

2. *τι*] *τινὶ* B. *καὶ* om. B. 3. *τῇ* — *Βενδιδείου* Edd. om. GB, quorum auctoritatem censeas ex p. 280, 6. 14. 281, 11. 282, 1. 16. 283, 9. 285, 16., collata Oudendorpii annot. p. 731. *ἐπιστολῇ*] 4. p. 161. c.

5. *Πολιτεύομαι οὐ μόνον* B. *Θουκυδίδης*] II, cap. 65. 6. *ἔς τε* Dukerus. *ἔστε* ALaRaGO. *ἔσται* BCDPF. *ἴστε* Rb. *ξυμμάχους* Stoeberus ex Thucydide. 8. *τὸ* om. B. *Δημοσθένης*] Olynth. II, p. 26, 22. Rk. 9. *μὲν* om. Ra. *εἰσεφέρετε* RRGCDPO. *εἰσεφέρητε* F. *εἰσεφέρεται* B. 10. *συμμορίαν* B. *νυνὶ* — *συμμορίας* om. Rb. *νυνὶ* ALaGO. *νῦν* CDPF. *πολιτεύεσθαι* B. 11. *καὶ* om. B. *ἐπιστολῇ*] 60. p. 203. 204. *τῇ* — *ἀδικουμένης* Edd. om. GB. *ἂν* GBCDP, et var. scr. ap. Synesium, ex quo *ἦν* petivere FO. *γράψομαι* P. 12. *σοι* pro *σε* Synesii interpolatorem arguit: vid. ad p. 280, 6. 13. *Σαββατείον* G. Scribebatur ut ap. Synesium, *Σαββατίον*. 14. *Φῳ* B.

15. *Ποπιῶμαι* B. *καὶ τὸ* GB. *τὸ* om. Edd. *δεινοπαθήσεος* P.

Συνέσιος ἐν ἐπιστολῇ [τῇ Τῶν ἐρώτων οἱ μὲν χαμαὶ ἐρχομένας καὶ ἀνθρωπικὰς τὰς ἀρχὰς ἔχοντες.] τί οὖν ποτνιᾷ καὶ ταῖς ἐπιστολαῖς τῶν δακρύων ἐγχεῖς;

Πλυνεύς οἱ ὕστερον λέγουσιν ἀδοκίμως, οἱ δὲ Ἀττικοὶ κναφεύς· πλυνός δὲ ὁ ἄτιμος καὶ ὑβρισμένος ἐκ μεταφορᾶς τῶν ἀγγείων τῶν δεχομένων τὰ τῶν πλυνομένων ῥυπάσματα. Ἀριστοφάνης ἐν Πλούτῳ·

πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.

Πιαίνει λέγε, μὴ σιτεύει· οὐ γὰρ ῥητορικόν.

Πομπή ἡ ἐν ταῖς τῶν θεῶν πανηγύρεσι πρόοδος. καὶ πομπεῖα τὰ θυμιατήρια, οἷς ἐχρῶντο ἐν ταῖς πομπαῖς, καὶ αἱ χέρνιβες, ὡς Θουκυδίδης· πομπὴ καὶ ἡ μετὰ τὴν νίκην ἐν θριάμβῳ πρόοδος. Συνέσιος ἐν ἐπιστολῇ [τῇ Ἔπεμψά σοι δῶρον ἵππον ἀκροφυέστατον· καὶ] ὅταν κατάγῃς ἐπὶ τῷ Λιβυκῷ τρο-

---

1. ἐπιστολῇ] 139. p. 276. b. τῇ — ἔχοντες Edd. om. ALLGB. 3. ποτνία B. 4. ἐγχεῖς] ἔχεις B.

5. κναφεύς] καφεύς B. γναφεύς Rb. 6. ὁ om. B. 8. ἐν Πλούτῳ om. B. Est v. 1062. 10. ἀνδράσιν ALaO. ἀνδράσι GBCDPF.

13. θυμιατήρια] τὰ ἐν τοῖς ναοῖς add. E. ἐχρῶντο] ἐχῶντο B. 14. ὡς Θουκυδίδης om. Phavor. p. 617. a. ὡς Δημοσθένης alii, ὡς Ἀνδοκίδης Valckenarius apud Pierson. ad Moer. p. 333. De Thucydidis II, cap. 13. vel VI, cap. 46. alii cogitarunt: cf. Popp. P. II. vol. 1. p. 91. καὶ πομπεῖα πληθυντικῶς τὰ ἱερὰ σκεύη τὰ προπεμπόμενα τῆς πομπῆς. ὡς ὁ Δημοσθένης (p. 758, 14.)· ἀλλ' Ἀνδροτίων πομπεῖ (i. e. πομπείων) ἐπισκευαστής Moschopulus Syll. f. 156. a., quae ut Thomana Meursius attulit Lect. Att. II, 15. 16. ἐπιστολῇ] 40. p. 180. b. τῇ — ἀκροφυέστατον Edd. om. ALLGB. 17. καὶ Edd., Synes. om. GB et ut conicio ceteri: vid. Oudendorp. p. 731. 5. Bern. Quare ut additicium cum reliquis seclusi. κατάγῃς GFO. κατὰ γῆς ACDP. Λιβυκῷ GO. Λιβικῷ BCDPF.

παίῳ πομπὴν ἐπινίκιον. πομπεία δὲ καὶ ἡ ὕβρις, ὡς Δημοσθένης· τῆς δὲ πομπείας ταύτης ὕστερον. παρῆκται δὲ ἀπὸ τοῦ τοὺς πομπεύοντας χρῆσθαι πρὸς ἀλλήλους σκώμμασι. καὶ πομπεύω τὸ ὑβρίζω. πομπεία καὶ ὁ μετὰ κάλλους καὶ ὡραϊσμοῦ θεατρισμός. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· θέα τὰ κάλλη καὶ τὴν πομπείαν τῆς φύσεως. καὶ πομπεύω τὸ δημοσίᾳ προέρχομαι. ὁ αὐτὸς ἐν ἐπιστολῇ [τῇ Τρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ·] ἅπασι τοῖς παρασήμοις ἐπόμπευεν εὐθὺ Τευχείρων ἐλαύνουσα.

Πομπός ὁ προπέμπων καὶ ὁδηγῶν. Εὐριπίδης ἐν Ἑκάβῃ·

ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης.

καὶ πόμπιμος ὁ δυνάμενος προπέμπειν καὶ ὁδηγεῖν τινα, ὡς ὁ αὐτὸς ποιητὴς ἐν Φοινίσσαις·

πόμπιμος ὁ δαίμων.

Παροινία καὶ ἡ ἁπλῶς ὕβρις καὶ ἡ ἐκ μέθης ἀσχημοσύνη. καὶ Αἰσχίνης· ἀναστῆναι λέγοντες, ὅτι τὸ ὅλον πρᾶγμα παροινία γέγονεν.

---

1. ἐπὶ νίκιον C. πομπεία] Continuant GBFO: novam §. ordiuntur „MSS“ (OUD.) CDP. 2. ὡς — ταύτης om. B. Δημοσθένης] de cor. p. 229, 3. 3. τοῦ τοὺς] τουτοὺς B. 4. σκώμασι BC. 5. καὶ ὁ] δὲ καὶ ὁ B. μετὰ τοῦ κάλλους G. 6. ὑπὲρ] περὶ B. φαλάκρας] p. 70. a., ubi est θ. τὴν πομπείαν καὶ τὰ κάλλη τ. φ. 7. πομπίαν B. 8. ἐπιστολῇ] 3. p. 160. d. 9. τῇ — κειμένῳ Edd. om. ALaRbG B. τρίτῃ DP. 10. ἐπόμπευε B.

12. ὁδηγῶν ALaRRGBCDPO. οἱδηγῶν F. Ἑκάβῃ] v. 222. 13. δὲ ALaRRGBCDPO. δὴ F. 16. ὁ αὐτὸς B. Φοινίσσαις] v. 998.

18. ἡ bis om. B. 19. „καὶ Αἰσχίνης] ὡς Ra.“ Est c. Timarch. p. 9. St. (84. Rk.) 20. ποροινία B. γέγονεν ALa O, Aesch. γέγονε GBCDPF.

[*Παύω ἕτερον, παύομαι δὲ ἐγώ.*] *Παύομαι ποιῶν, οὐ ποιεῖν, τοῦ ποιεῖν δὲ, εἰ καὶ χωρὶς τῆς προσθήκης τοῦ ἄρθρου παρὰ ποιηταῖς εὑρίσκεται διὰ τὴν ἀνάγκην τοῦ μέτρου, ὡς Ὅμηρος ἐν μυοβατραχομαχίᾳ·*

π α υ σ ώ μ ε σ θ α τ ο ύ τ ο ι ς ἀ ρ η γ έ μ ε ν.

Προτέρα ἐπὶ τάξεως, προτεραία δὲ ἐπὶ μόνης ἡμέρας. Πλάτων ἐν τῷ Φαίδωνι· ἔ τ υ χ ε γ ὰ ρ τ ῇ π ρ ο τ ε ρ α ί ᾳ τ ῆ ς δ ί κ η ς.

Πρῶτος ἐπὶ πολλῶν, πρότερος δὲ ἐπὶ δύο · καὶ τῷ μὲν πρώτῳ ἀκόλουθός ἐστιν ὁ ὕστατος, τῷ δὲ προτέρῳ ὁ ὕστερος . οὕτω καὶ ἐπὶ τοῦ πρώτη καὶ προτέρα . καὶ πρότερος μὲν ἐπὶ τάξεως, πρῶτος δὲ οὐ μόνον ἐπὶ ἀριθμοῦ, ἀλλὰ καὶ ἐπὶ ποιότητος, ὡς ὅταν λέγωμεν, πρῶτός ἐστι τὴν τέχνην. σημείωσαι δὲ, ὅτι ἐπὶ μὲν ἀριθμοῦ πρῶτος μόνον ὄνομα εὕρηται, οὐκέτι δὲ καὶ ἐπίρρημα πρώτως, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ πρῶτον, ᾧ ἀκολουθεῖ τὸ ἔπειτα· ἐπὶ δὲ ποιότητος εὕρηται. Πλάτων γοῦν διαιρούμενος τὰς πολιτείας τὴν μὲν π ρ ώ τ ω ς ἔ χ ε ι ν φησὶ, τὴν δὲ ὑ σ τ έ ρ ω ς· δηλονότι ἡ μὲν προηγεῖται τῇ ποιότητι, ἡ δὲ ἕπεται.

---

1. *Παύω — ἐγώ* Edd. om. „*MSS. Leidd. et pr. Burm.*" GB. 2. *τοῦ ποιεῖν* om. P. 3. *τοῦ ἄρθρου* om. ALa. *παρὰ*] *τοῖς* add. A. *τὴν ἀνάγκην* om. A. 4. *μέτερον* C. *μυοβατραχομαχίᾳ* ALLGB. *βατραχομυομαχίᾳ* Edd. Cf. p. 2, 15. Est v. 194.: *π. θεοὶ τούτοισιν ἀρήγειν.* 5. *παυσώμεσθα* „*MSS*" (*OUD.*) GBO. *παυσόμεσθα* CDPF. *τούτοις ἀρηγέμεν*] *τοῦτ᾽ ἀργεμεν* Ox.

6. *προτεραῖα* O. 7. *τῷ* om. B. *Φαίδωνι*] p. 58. a. (c.)

9. *δύω* DP. *τῷ*] *τὸ* B. 11. *πρώτη*] *πρω ε* B. (*τη* supra) 13. 15. *ἀρίθμου* B. *ὡς ὅταν*] *καὶ οὕταν* B. *λέγομεν* B. 15. *οὐκέτι* G. Scribebatur *οὐκ ἔτι.* 16. *πρώτως*] *πρότον* B. 17. *ἐπὶ — εὕρηται* ALaRRGBO. om. CDPF. *Πλάτων*] Cf. Hermann. Praef. ad Aristoph. Nub. p. XXXII. 19. *ὑστέρως*] *ὡς* add. B. *δηλόντι* CD. *δηλονότι — ἕπεται* om. Rb.

Παραπολύ οὐ μόνον ἀντὶ τοῦ καταπολύ, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπ' ἔλαττον, οἱονεὶ ἐκτὸς τοῦ πολλοῦ. Φιλόστρατος· θέατρον παραπολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων. καὶ παρὰ τῷ θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· παραπολὺ τῆς ἀξίας. Συνέσιος δὲ ἐπὶ τῆς αὐτῆς σημασίας καὶ παραπλεῖστον λέγει ἐν τῷ ὑπὲρ φαλάκρας· παραπλεῖστον οὖσαν τῆς ἀκριβείας τοῦ σχήματος. [ὁμοίως ἔχει καὶ τὸ παρὰ τοσοῦτον. ἐπ' ἀμφότερα γὰρ καὶ τοῦτο λαμβάνεται, ὡς ὁ θεολόγος ἐν τῷ Τίς ἡ τυραννίς· μὴ παρὰ τοσοῦτον ἔλθωμεν τῆς θείας ἰσότητος, ἀντὶ τοῦ ἐπ' ἔλαττον.]

Πρόσχημα καὶ ἡ πρόφασις καὶ τὸ οἱονεὶ προκάλυμμα. Θουκυδίδης· τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα. Συνέσιος [ἐν τῇ Ἀγαθὸν πεποιθέναι ἐπὶ κύ-

---

1. *Παραπολύ* LLGB, Phav. p. 576. c. *παρὰ πολὺ* Edd. *καταπολύ* GB. *κατὰ πολὺ* Edd. 2. *ἐπέλαττον* LL. *οἱονεὶ — πολλοῦ* ALLRbGB, Phav. om. Edd. *τοῦ* om. B. *Φιλόστρατος*] vit. soph. II, 1, 5. p. 551. 3. *θεάτρου* B. *παραπολὺ* GB, Phav. *παρὰ πολὺ* Edd. *μὲν τοῦ — παραπολὺ* (v. 6.) om. Phav. *τοῦ*] *τοῖς* Lb. 5. *Γρηγορίῳ* „*MSS*" (*OUD.*) GB. om. Edd. *Orat.* 20. *p.* 373. *a.*: *πόρρω τῆς ἀξίας καὶ παραπολὺ τῆς ἐλπίδος.* 6. *Συνέσιος*] p. 71. d.

7. *ἐπὶ τῆς αὐτῆς — φαλάκρας* „*MSS*" (*OUD.*) GB. *ἐν τῷ ὑπὲρ φαλάκρας ἐπὶ τῆς αὐτῆς σημασίας καὶ παρὰ πλεῖστον* CDP et in fine *λέγει* addens O, omisso autem *λέγει* et post *σημασίας* interpungens F. 8. *ὑπὲρ*] *περὶ* B. *παραπλεῖστον οὖσαν* „*MSS*" (*OUD.*) GBO. *παραπλεῖστον* om. CDPF. 9. *ὁμοίως — ἔλαττον* (v. 13.) BEdd. om. ALLRbG. 10. *τοσοῦτον*] *τὸ σοῦτον* B. 11. *ὁ θεολόγος*] *παρὰ τῷ θεολόγῳ Γρηγορίῳ* B. Est *orat.* 9. *p.* 155. *f.* *τίς ἡ τυρανὶς* BCD. *τίς ἡ τυραννὶ* P. 12. *ἔλθωμεν* O c Gregorio. *ἔλθομεν* BCDPF. 13. *ἐπέλαττον* B.

14. *οἱνεὶ προκαλύμμα* B. *Θουκυδίδης*] III, cap. 82. 16. *Συνέσιος*] epist. 5. p. 169. d. *ἐν τῇ — ἐπιστολῇ* Edd. om.

ριον ἐπιστολῇ·] ἡ γὰρ δίκη πρόσχημα τῆς ἀσεβείας ἐστίν. ἔτι δὲ καὶ τὸ καλλώπισμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

κεῖνος γὰρ ἐλθὼν εἰς τὸ κοινὸν Ἑλλάδος
πρόσχημα.

[καὶ] Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τὸ τῆς Ἑλλάδος πρόσχημα καθαρῶς ἀνῄρηται. ἐχρήσαντο δὲ τούτῳ εἰς τὴν τοιαύτην σημασίαν διὰ τὸ τὸ σχῆμα τῆς ὕλης προέχειν εἰδοποιοῦν αὐτὴν καὶ εἰς κάλλος ἄγον. εἴρηται δὲ πρόσχημα καὶ ἁπλῶς τὸ σχῆμα.

Ποῦ καὶ τοπικὸν καὶ ἐρωτηματικόν [ἐστι] καὶ ἀντὶ τοῦ ἴσως καὶ ἀργόν.

Τὸ πῶς καὶ ἁπλῶς ἐρωτηματικόν ἐστιν, ὡς τὸ πῶς ἔχει

ALaGB. *Contra addit* (post κύριον puto) *Ox.*: ἢ πεποιθέναι ἐπ' ἄνθρωπον, ex ipso Synesio. 1. ἢ γὰρ B. εὐσεβείας B. 2. ἐστίν ALaB. ἐστί GEdd., Synes. ἔτι] ἔστι B. καλλόπισμα B. 3. Ἠλέκτρᾳ] v. 681. 4. κεῖνος BFO. 'κεῖνος G. ἐκεῖνος CDP. κοινὸν ALaRRGB et, quod Porsonum fugit Advers. p. 210., CDP. κλεινὸν e Sophocle FO. 7. καὶ Edd. om. „*MSS*“ (*OUD.*) GB. Παναθηναϊκῷ] vol. I, p. 170. (I, 158. Df.) τῆς Ἑλλάδος] τῶν Ἑλλήνων Aristides: sed illud paullo ante praecesserat. 8. ἐγρήσαντο P. 9. τούτῳ εἰς τὴν ALaGO. τοῦτο εἰς CDPF. τούτω εἰς B. τὸ τὸ] τὸ B.

10. αὐτὴν] ὡς καὶ ἀριστείδης τὸ πρόσχημα πάσης Ἑλλάδος pergunt E. 11. ἄγων Ra.

13. ἐστι Edd. om. ALLGB, Phav. p. 620. b. addens εἴρηται post ἀργόν.

15. Antecedentibus FO continuarunt. Τὸ πῶς ALLRB GB. τὸ om. Edd., Phav. p. 642. b. ἁπλῶς] ἔτως Phav. ὡς τὸ ALLG, Phav. ὡς B. οἷς ἐν τῷ Edd.

τὰ τῶν ἀγρῶν, καὶ ἔμφασιν πρὸς τούτῳ ἔχον τοῦ καταπολύ. Ἀριστοφάνης ἐν Πλούτῳ·

. . ἐγὼ δὲ τούτου τοῦ τρόπου πῶς εἰμ' ἀεί;

ἤγουν λίαν ἐμὸς οὗτος ὁ τρόπος. ἔστι δὲ καὶ ἀντὶ τοῦ κατά τινα τρόπον, ὅπερ καὶ ἀεὶ ἐγκλίνεται. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· δοκῶν γε δή πως εἰς Ἕλληνας τελεῖν. καὶ ἀμφότερα δὲ, τό τε ἁπλῶς ἐρωτηματικὸν καὶ τὸ κατά τινα τρόπον, καὶ πῶς καὶ ὅπως γράφονται καὶ ὅπῃ, ὡς ὁ ῥυθμὸς ἀπαιτεῖ.

Προσήκει μοι τόδε ἀντὶ τοῦ πρέπει καὶ ἁρμόττει μοι, καὶ προσήκει μοι τοῦδε ἀντὶ τοῦ μετοχή ἐστί μοι. Ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· ἦ που ταύτῃ γε λαμπρῶς προσῆκε τῆς προσηγορίας. τὸ δὲ προσῆκεν ἀντὶ τοῦ προσήκει λαμβανόμενον Ἀττικόν ἐστιν, ὥσπερ καὶ τὸ ἔδει ἀντὶ τοῦ δεῖ.

Τοὺς Πέρσας οἱ ὕστερον καὶ Μήδους καὶ Ἀρσακίδας καὶ Ἀχαιμενίδας λέγουσι. Λιβάνιος ἐν τῇ εἰς Ἰουλιανὸν μονῳδίᾳ· ὑπ' Ἀχαιμενίδου τινὸς κατενήνεκται. Συνέσιος ἐν τῷ ὑπὲρ φαλάκρας· οὐ γάρ μοι-

---

1. τὰ τῶν ALLGO, Phav. τὰ πᾶν B. τῶν CDPF. τοῦτο ἔχων B. τοῦτο etiam Phav., ἔχων etiam G. 2. καταπολύ ALLGB, Phav. κατὰ πολύ Edd. Πλούτῳ] v. 246. 3. τούτου om. G. πῶς εἰμ' ἀεί sine interrogatione Aristophanes. 6. ὅπερ] ὥσπερ B. 7. Παναθηναϊκῷ] vol. I, p. 161. (I, 150. Df.) δὴ πῶς O. 10. γράφεται Lb. ὀριθμὸς G. ὀρυθμὸς B.

11. τόδε] τὸ δὲ B. ἀρμώττει B. 12. τοῦδε] τοῦ δὲ B. 13. Κιζύκῳ CD. Κυζικῷ P. ναοῦ] vol. I, p. 415. (I, 385. Df.) 14. ἦ που Aristidi nunc restitutum pro ἦ πού γε. λαμπρῶς „MSS" (OUD.) GBO, et post που collocans Aristides. λαμπρῶν CDPF. προσήκει Aristides. 15. τὸ δὲ — προσήκει om. P.

18. Μήδους] δῆμον B. 20. μονῳδίᾳ] vol. II, p. 258. (I, p. 519, 6.) 21. ὑπὲρ ALaRRGBO. περὶ CDPF. φαλάκρας]

ρίδιον ἦν τοὺς Ἡρακλείδας τοῖς Ἀχαιμενίδαις παραχωρῆσαι τῶν σκήπτρων.

Οὐ μόνον οἱ προσήκοντες τούτῳ, ἀλλὰ καὶ οἱ προσήκοντες τούτου.

Παράδειγμα λέγε, μὴ ὑπόδειγμα.

Προθεσμία ῥητορικὸν, διωρία κοινόν.

Πηνίκα μὴ εἴπῃς ἐπὶ χρόνου· ἔστι γὰρ ὥρας δηλωτικὸν, οἷον εἰπόντος τινὸς πηνίκα ἀποδημήσεις; ἐὰν εἴπῃς μετὰ δύο ἢ τρεῖς ἡμέρας, οὐκ ὀρθῶς ἐρεῖς· ἐὰν δὲ εἴπῃς ἕωθεν ἢ περὶ μεσημβρίαν, ὀρθῶς ἐρεῖς. οὕτω γὰρ ὡς ἔφημεν εὕρηται παρὰ πᾶσι τοῖς δοκίμοις. ὡσαύτως καὶ τὸ τηνικαῦτα καὶ τηνικάδε καὶ ἡνίκα λέγε. Πλάτων ἐν Κρίτωνι· τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωὶ ἔτι ἐστί; πάνυ μὲν οὖν. πηνίκα μάλιστα; ὄρθρος βαθύς. καὶ αὖθις ἐν Φαίδωνι· μὴ αὔριον τηνικάδε οὐκέτι ᾖ ἀνθρώπων οὐδείς.

Ἡ

---

p. 80. a., ubi nunc sic scriptum: νυνὶ δὲ μοιρίδιον γὰρ ἦν ἤδη τοῖς Ἡρακλείδαις τοὺς Ἀχαιμενίδας e. q. s.

1. μοιρίδιον] μοὶ ῥίδιων B. Πέρσαι. οἳ καὶ μῆδοι. καὶ ἀρσακίδαι. καὶ ἀχαιμενίδου καλοῦνται. ἀπό τινῶν παλαιῶν ἰσχυρῶν ἀνδρῶν τῶν προκαταρξάντων αὐτῶν. E.

3. καὶ οἱ] καὶ αἱ B. Προσήκων τούτου ἤγουν ἐξ αἵματός ἐστι· καὶ προσήκων τούτω. E.

5. μὴ] οὐ B. Ceterum vid. ad p. 278, 1.

6. Προθεσμία] προσθεσμία B.

7. Πηνίκα] ὁ πηνίκα Ra. εἴποις ALa. 8. ἀποδημησεις B. δύω C. 9. ἐὰν δὲ — ἐρεῖς (v. 10.) „MSS O.“ (OUD.) RRGBO, Phav. p. 602. a., Phryn. p. 49. om. CDPF. ἕωθεν] „ἕωθην RR.“ 10. ἐρεῖς] φεῖς B. 11. εὕρηται] δ' εὕρηται B. 12. Κρίτωνι] init. 13. τηννικάδε B. ἀφῖξαι O, Mosch. Syll. f. 155. b. ὦ] ὦ δὲ ὦ B. Κρίτον Mosch. πρωὶ] πρῴ Plato. 14. ἐστίν B. 15. ὄρθος B. βατύς P. Φαίδωνι] p. 76. b. 16. οὐκέτι] οὔετι B.

Ἡ πηλός Συρακόσιοι λέγοντες ἁμαρτάνουσιν · ὁ πηλός γὰρ Ἀττικοί.

Ποδαπός ἐπὶ γένους λέγων ὀρθῶς εἴποις, οἷον ποδαπός ἐστι, Θηβαῖος ἢ Ἀθηναῖος; ἔστι γὰρ οἷον ἀπὸ ποίου δαπέδου; καὶ Ἀριστοφάνης ἐν νεφέλαις·

ταυτὶ ποδαπὰ τὰ θηρία;

ἤγουν ἐκ ποίου γένους. γράφεται δὲ καὶ ὁ ποδαπός. Λιβάνιος ἐν ἐπιστολῇ· ἠρόμην τὸν καλὸν Φωσφόρον, ὁ ποδαπός τε εἴης καὶ τίς τοὺς τρόπους. περὶ δὲ [τοῦ] τρόπου ἐρωτῶν οὕτως ἐρεῖς· ποταπὸς τὸν τρόπον Σωκράτης; ἐπιεικής. καὶ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· ποταπὴ τὴν γλῶτταν ἡ παρθένος; κάλλιον δ' ἂν εἴη τὸ οὕτως ἐρωτᾶν, ὁποῖός σοί τις δοκεῖ εἶναι, ἢ ποταπός.

---

1. Συρακόσιοι scripsi. Συρρακόσιοι ALa. Συρακούσιοι Edd. Συρρακούσιοι G. ἁμαρτάνουσι G. Ἡ πηλὸς ἀρσενικῶς ἀττικοί, οἱ δὲ τὴν πελλὸν λέγοντες συρρακοσίως ἁμαρτάνουσι. B. Ἡ πηλὸς Ἀττικοὶ ἀρσενικῶς· συρρακούσιοι δὲ ἡ πηλὸς θηλυκῶς γράφουσι. E.

3. εἴποις „A" LbGB. εἴποις ἂν Phav. p. 610. b. εἴπῃς „A" La. ἐρεῖς Edd. 4. ποίου ALLGBO. Phav. τίνος CDPF, (Phav. p. 619. b. e Phryn. 55.) 5. νεφέλαις] v. 184. 7. ἤγουν ALLGBOx, Phav. οἷον Edd. ὁποδαπὸς BO. ποταπὸς coni. Witterus. ὁ ποδαπὸς, ποταπός Phav. 8. ἐπιστολῇ] 585. a. p. 282. ἠρόμην] ἠρώμην Phav. ῥαμὴν B. ἐδίδαξα Libanius. 9. ὁποδαπός τε O, Liban. ὁποδαπωστε B. ποταπός τε Phav. εἴη Phav. καὶ τίς] om. Phav. καὶ ποταπὸς G. καὶ ποδαπὸς B. τοὺς τρόπους] τὸν τρόπον Libanius: sed sequitur καὶ τίς τοὺς λόγους;

10. τοῦ AB. om. GEdd. τρόπου] προτοῦ B. ἐροτῶν P.

12. μελέτῃ] vol. I, p. 302. (IV, 136. extr. Rk.) ποταπὴ] ποτατὴ B. ποδαπὴ Libanius. γλώτταν CDP. γλῶσσαν B.

13. κάλλιον et quae sequuntur om. Phav. 14. ποτατός B. ποδαπός coni. Heinsius. Ποδαπὸς καὶ ὁ ποδαπὸς ἐπί τε γένους καὶ ἐπὶ τόπου, οἷον ἐν ἱππεῦσιν ἀριστοφάνους (?)· σὺ δ' ἐκ ποίου τελεῖς τοῦ δαπέδου· ἐπὶ δὲ τρόπου καὶ ἤθους. ποταπὸς δεῖ λέγειν οὐ ποδαπός καὶ ὁποῖός σοί τις εἶναι δοκεῖ. E. Nihil eiusmodi apud Moschopulum exstat vel Phavorinum.

Πεινῆν, διψῆν Ἀττικοὶ, οὐ πεινᾶν οὐδὲ διψᾶν.

Προκόπτειν δόκιμον· τὸ δὲ ὄνομα ἡ προκοπὴ ἀδόκιμον.

Πολίτης λέγε τῷ δεῖνι, ἤγουν συμπολίτης· πολίτης δὲ πόλεως.

Παλαιστρικός Ἄλεξις εἶπε· σὺ δὲ παλαιστικός. Λουκιανὸς ἐν τῷ θεῶν κρίσις· γυμνὰς τὰ πολλὰ καὶ παλαιστική.

Προπετῶς δόκιμον· προάλως δὲ μόνος Φαβωρῖνος λέγει [καὶ Συνέσιος] ἀδοκίμως.

Πρόγραμμα λέγε· τὸ δὲ ἔκθεμα ἄχρηστον.

Παλαιστὴ θηλυκῶς τὸ μέτρον· παλαιστὴς δὲ ἀρσενικῶς ὁ ἀθλητής.

Πτώματα νεκρῶν καὶ πτώματα οἴκων ἀρχαῖοι· οἱ δ' ὕστερον πτῶμα ἤτοι νεκρὸν ἄνευ τινὸς προσθήκης.

---

1. *Πινῆν* B. *διψᾶν*] *ἀδόκιμον* add. B.

2. Haec om. B. *Προκόπτειν*] *Τὸ κόπτειν* et in marg. *σκόπτειν* G.

3. *ἤγοαν* P. *συμπολίτις* B. 4. *πόλεως*] Annexuerunt FO, quae nos seiuncta posuimus p. 292, 13. *ἤγουν ἔποικος τινὸς πόλεως* add. E.

5. *Ἄλεξις*] a Phrynicho excitatus p. 242. *παλαιστικός*] *δὲ* add. B. 6. *κρίσις* Edd., ut p. 66, 8. *κρίσεις* LLGB. Est Serm. deor. 20, 14. vol. I, p. 264. *γυμνὰς*] *γυμνὴ* Lb, Luciani Ox.

7. *παλαιστρικὴ*] Lb, Luciani unus Regius. *Παλαιστικὸς ὁ δύναμιν ἔχων παλαίειν οὐ παλαιστρικός· οὐ γὰρ γίνεται ἀπὸ τοῦ παλαίστρα, ἀλλὰ ἀπὸ τοῦ παλαίω.* E.

8. *προάλος* P. *προαλῶς* MS. Nunnesii ad Phryn. p. 245. Lob.

9. *καὶ Συνέσιος* Edd. om. ALaRbGB, MS. Nunnesii. Cogitavit interpolator de epist. 142. p. 279. b.

10. *ἔκθαμα ἄχριστον* B.

11. *ὁ* „*MSS*“ (*OUD.*) RRGBECDPO. *ὡς* F.

13. *καὶ πτῶματα* C. *καὶ πτῶμα* La. *οἱ δ'* GB. *οἱ δὲ* Edd.

14. *τινὸς* om. A. *Πτώματα λέγεται νεκρῶν, τὰ τῆς ψυχῆς ἐστερημένα σώματα· ἀφ' οὗ μεταφορικῶς λέγεται καὶ ἐπὶ οἴκων ἢ ῥειπωμένων, καὶ τῶν ὁμοίων. ἀττικοὶ πτώματα λέγουσι μόνοι, δίχα τῆς τοῦ νεκρῶν προσθήκης.* E.

Περίστασιν τὴν συμφορὰν λέγουσιν οἱ Στωικοὶ φιλόσοφοι· οἱ δ' ἀρχαῖοι τὴν διά τινα τάραχον παρουσίαν πλήθους, ὡς Τηλεκλείδης·

τίς ἥδε κραυγὴ καὶ δόμου περίστασις;

περίστασις καὶ ἡ αἰτία, ὡς δηλοῦσι καὶ τὰ τῶν ῥητόρων ἓξ περιστατικά.

Παρατίλλεσθαι καὶ πιττοῦσθαι ἀρχαῖον· τὸ δὲ δρωπακίζειν ἀδόκιμον.

Περιεσπάσθη τινὲς ἐπὶ τοῦ ἐν ἀσχολίᾳ γενομένου φασὶν ἀμαθῶς, δέον ἄσχολος γέγονε λέγειν. τὸ γὰρ περισπᾶσθαι ἐπὶ τοῦ παραιρεῖν καὶ παραιρεῖσθαι λέγουσιν οἱ ἀρχαῖοι. Λουκιανὸς ἐν τῷ Τόξαρις ἢ φιλία· ἃ εἶχε πιναρὰ καὶ ἐκτετρυχωμένα ῥάκη περισπάσας.

Πορνοκόπος Μένανδρος λέγει, οἱ δ' ἀρχαῖοι πορνότριψ, ὃ καὶ κρεῖττον. τούτοις καὶ Συνέσιος ἑπόμενός φησιν ἐν

---

1. φιλόσοφοι] Addunt E: οἵτινες οὕτω θαυμαστοὶ καὶ γενναῖοι ἦσαν, ὥστε καὶ ηὔχοντο, λέγοντες, ὦ Ζεῦ βρέξον ἡμῖν περιστάσεις. ὡς δ' αὐτῶν καθαιρομένης τῆς ψυχῆς χρυσοῦ δίκην ἐν χωνευτηρίῳ· (sic.) 2. οἱ δ'] οὐδ' P. τάραχον] πάραχον B. 3. Τηλεκλείδης] apud Phrynichum p. 376. τῇ λεκλείδης B. 4. ἥδε κραυγὴ ALaGBO, Phryn. ἥδε ἡ κραυγὴ CDPF. δόμον CF O. δήμου ARRBDP. δάμου G, MS. Nunnesii. δόμων Phrynichi ed. Rom. 5. τὰ om. B. ῥητορικῶν E. 6. ἐξπεριστασις B. ἓξ περιστατικὰ κεφάλαια E.

7. ἀρχαῖοι Rb. ἀρχαίων B.

9. φασὶν] φησὶν ALa. 10. περισπᾶσθαι O, coni. Witterus. περιεσπᾶσθαι GBCDPF. περισπᾶν καὶ περισπᾶσθαι Phavor. p. 593. b. e Phryn. p. 415. 12. οἱ GBCDP. om. FO. Λουκιανὸς] §. 30. vol. II, p. 539. 13. εἶχε] ἔχει B. ἐκτετρυχωμένα ALaGO, Lucianus. ἐκτετρυχομένα B. ἐκτετριχωμένα CDPF.
14. περιφάσας P. περισπάσασθαι B.

15. Μένανδρος] ap. Phryn. p. 415. (p. 297. Mein.) πορνότριξ G.

ἐπιστολῇ [τῇ Ὁ καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν·] ὁ γὰρ ἰδὼν τὸν πορνότριβα σοβοῦντα διὰ τῆς ἀγορᾶς.

Πύλαι ἐπὶ τείχους· θύραι ἐπὶ οἰκίας.

Προσγελῶ αὐτὸν Ἀττικοὶ, οὐκ αὐτῷ· καὶ προσπαίζω τὸν κύνα, οὐ τῷ κυνί. [ὡς Φιλόστρατος ἐν πρώτῃ τῶν ἡρωικῶν.] καὶ Ἀριστείδης· προσπαίζειν γὰρ ἔξεστι δήπου σέ γε [δι᾽ αὐτό.] ἐπὶ μὲν γὰρ ἐμψύχου αἰτιατικῇ· ἐπὶ δὲ ἀψύχου δοτικῇ, ὡς παρὰ τῷ θεολόγῳ Γρηγορίῳ· καὶ προσπαίζει ταῖς ἀκταῖς ἡδύ τι καὶ ἥμερον.

Πάρεδρος, οὐ συγκάθεδρος· σύνεδρος δέ.

Πολίτης, δημότης φυλέτης ἄνευ τῆς σὺν λέγων Ἀττικῶς ἐ-

1—3. τῇ — προαίρεσιν Edd. om. ALLGB., ut p. 45, 14., ubi ex epist. 32. p. 178. b. eadem prolata.

4. οἰκίας] ἐξ ὧν γίνεται ὑποκοριστικῶς θύριον καὶ θυρίδιον ἡ μικρὰ θύρα add. E, ex Mosch. Syll. f. 157. a.

5. Προσγελῶν GB. Ἀττικοὶ] ἀττικόν ἐστιν A. καὶ προσπαίζω — κυνί ALaRRGBOxO, eademque a prioribus seiuncta sine καὶ habet Phav. p. 630. Omittunt CDPF. 6. ὡς Φιλόστρατος — ἡρωϊκῶν BEdd., ita quidem, ut hoc loco collocet B, ante καὶ προσπαίζω O et ut videtur Ra. Omittunt ALaRbGOx. Etiam καὶ proximum mihi suspectum. ἐν πρώτῃ] ἐν τῷ α B. 7. Ἀριστείδης] Thomae exemplum ignoro: Wittero commemorata habes vol. I, 568. (501. Df.) et 594. (519.) 8. δι᾽ αὐτό solus Ra addit. 9. δὲ om. B. ὡς] ὡς τὸ La. 10. Γρηγορίῳ ALLGB. om. Edd. Est or. 28. p. 478. b. προσπαίζε Lb. προσπαίζω Ra. προσπαίζῃ Gregorius. 11. ἡμερὸν F.

12. σύνεδρος δὲ] δὲ om. G.

13. Πολίτης — ὁμοίως (p. 293, 3.) cum antecedente §. conglutinarunt GBCDP, cum superiore quadam (p. 290, 3.) FO. φυλέτης, δημότης transponit B. φιλέτης CD. Haec sic dilatantur in E: Πολίτης γράφεται δίχα τῆς σὺν, οὐ συμπολίτης· ὁμοίως καὶ δημότης, οὐ συνδημότης· καὶ φυλέτης οὐ συμφυλέτης· συνέφηβος δὲ καὶ συνθιασώτης καὶ συμπότης γράφεται. τὸ δ᾽ αἴτιον, ὅτι ἡ σὺν

ρεῖς· συνέφηβος δὲ καὶ συνθιασώτης καὶ συμπότης, ὅτι καὶ πρόσκαιρος αὐτῶν ἡ κοινωνία· ἐπὶ δὲ τῶν προτέρων οὐχ ὁμοίως.

Πλατὺς γέλως ἐρεῖς, οὐχὶ πολύς.

Πίνει τις τοῦ οἴνου, πίνει δὲ τὴν κύλικα· τὸ δὲ προπίνω ἀεὶ αἰτιατικῇ. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας· προὔπιε τὴν Ἑλλάδα. Λιβάνιος ἐν τῷ πρεσβευτικῷ· τὴν μὲν γὰρ φιλοτησίαν προπίνων.

Περιβάλλω τινά ἤγουν περιπλέκομαι. καὶ περιβάλλω τὸ περιτίθημι, ὅπερ οὐ μόνον δοτικῇ, ἀλλὰ καὶ αἰτιατικῇ εὕρηται. Ἡρόδοτος ἐν τῇ πρώτῃ· ἐδίδου σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν. καὶ περιβάλλω τὸν δεῖνα ἤγουν ἐνδύω, ὡς ἔχει καὶ τὸ ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις. ὅθεν καὶ περιβάλλω τὸ περικυκλῶ, ὡς τὸ περιβάλλει κακοῖς τὸ ἄστυ παρὰ Λουκιανῷ. περιβάλλομαι δὲ παθητικῶς τὸ ἐνδύομαι. [καὶ] Ἀριστοφάνης ἐν νεφέλαις· περιβαλοῦ τὸ ἱμάτιον. ὅθεν καὶ πε-

---

πρόσκαιρον σημαίνουσα κοινωνίαν, ἐπ' ἐκείνων μὲν οὐκ ἔστιν ἁρμοδία· ὡς μὴ προσκαίρου οὔσης τῆς κοινωνίας· ἐπὶ τούτων δὲ καὶ μάλιστα ἁρμοδία· ὡς προσκαίρου οὔσης τῆς κοινωνίας.

4. ἐρεῖς, οὐχὶ] ἀττικῶς, οὐ E. πολύς] ὡς τὸ τοῦ θεολόγου, πλατὺν γέλωτα ὤφλισκανε. add. E, quae nec ab Moschopulo sumpta sunt, nec exstant apud Phavorinum.

5. οἴνου] ὄνου C. προσπίνω Rb. 6. τῷ om. ALa. περὶ om. G. παραπρεσβείας] Ibi non exstant. 7. Λιβάνιος] vol. I, p. 229. b. (IV, p. 48, 14. Rk.)

11. τῇ πρώτῃ „MSS" (Ol. D.) GCDPO. πρώτῃ F. τῷ ᾱ B. Est cap. 163. σφὶ Edd. σοι Lb. σφίσι LaB. σφι (σι superscr.) G, alterum correctoris manu scriptum. 12. περιβαλέσθαι ARR, Herodotus. περιβαλλέσθαι GB. περιβάλλεσθαι Edd. 13. ὡς] ὦ B. καὶ τὸ] „Verba sunt Psalm. 146, 8." Stoeberus. 14. περιβάλλον B. 16. Λουκιανῷ] Non repertum, ubi. 17. καὶ Edd. om. AG B. 18. νεφέλαις] Aut aliunde (e v. 14.?) haec irrepsisse aut de-

ριβολή τὸ ἔνδυμα. λέγεται δὲ περιβολὴ καὶ ἐπὶ λόγων τὸ ἐστραμμένως καὶ ποικίλως χρῆσθαι τῇ ἑρμηνείᾳ καὶ τοῖς σχήμασιν.

Παλτόν δόρυ τι· πέλτη δὲ ἡ ἀσπὶς ἡ ἴτυν οὐκ ἔχουσα. καὶ πελτός καὶ πελτάριον· καὶ πελταστὴς ὁ χρώμενος τούτῳ.

Παῖς ὁ ἐν τῇ παιδικῇ ἡλικίᾳ· ἀρτίπαις δὲ ὁ ἐκβεβηκὼς τὴν παιδικὴν ἡλικίαν· βούπαις δὲ ὁ μέγας παῖς.

Παιδεία μέν ἐστι δύναμις θεραπευτικὴ ψυχῆς, ὥς φησι Πλάτων· παίδευσις δὲ παιδείας καὶ ἀρετῆς παράδοσις.

Προστρίβομαι οὐ μόνον ἐπὶ κακοῦ, ἀλλὰ καὶ ἐπὶ καλοῦ. ἐπὶ κακοῦ μὲν [γὰρ] πρὸς τοῖς ἄλλοις καὶ Ἀριστοφάνης ἐν ἱππεῦσι·

---

esse quaedam Oudendorpius iudicat: verba enim citata non apud Aristophanem legi, sed in Lucae Act. Apost. XII. 8. *θαἰμάτια βαλόντες* est in Vesp. v. 408. 1. *ἔνδημα* B. *δὲ* om. A. 2. *ποικίλεως* B. 3. *σχήμασιν* LL. *σχήμασι* GBEdd.

4. *δόρυντι* B. *εἶδος δόρατος· ὡς διὰ παλμοῦ πεμπόμενον ἀπὸ τοῦ πάλω τὸ κινῶ* E. *ἴτυν* GEFO, Phav. p. 587. e. (voc. *πέλτον.*) *ἴτην* RRCDP. *ἴταν* B. *οὐκ* om. E. *μὴ* Phav. 5. *καὶ πελτός*] *ἢ πελτὸς* B. *πελτηριον* B. 6. *τούτῳ* GBE Edd. *ταύτου* Ra. *τούτοις* ARb.

7. *ἀρτίπαις* „*MSS*" (*OUD.*) GBEEdd., Phav. p. 466. b., *ἀντίπαις* coni. Valckenarius ad Ammon. p. 109. et Animadv. p. 53.

8. *παῖς*] Add. E: *σημαίνει δὲ τόν τε υἱὸν, ἀπὸ τοῦ πάϊς τὸ αἰδοῖον, καὶ τὸν δοῦλον, ἀπὸ τοῦ παίω τὸ τύπτω, καὶ τὸν μικρὸν, ἀπὸ τοῦ βαιὸν τὸ μικρόν.* Quae non leguntur in Moschopuli Sylloga.

9. *Παιδία* B. *θεραπευτική*] *τιμὴ* add. CDPF. om. ALaRR GBO, Valckenarius ad Ammon. p. 110. *ψυχῆς*] Pergunt E: *παίδευσις αὐτὴ ἡ πρᾶξις δι' ἧς δίδοται ἥ τε παιδεία καὶ ἡ τῆς ἀρετῆς παράδοσις.* Cf. Ammonium. *ὥς φησιν* B. *Πλάτων*] Definition. p. 416. c. 10. *δὲ* et *καὶ ἀρετῆς* om. Plato.

13. *μὲν* om. B. *γὰρ* om. ALaG. *καὶ Ἀριστοφάνης* „*MSS*" (*OUD.*) RRGBCDFO. *καὶ* om. F. 14. *ἱππεῦσιν* La.

πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις.

ἐπὶ καλοῦ δὲ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος· πλούτου τινὰ δόξαν προσετρίψατο τοῖς κεκτημένοις.

Πατρῷα τὰ ἐκ πατέρων εἰς υἱοὺς χωροῦντα· καὶ πατρῷοι φίλοι. πάτρια δὲ τὰ τῆς πόλεως ἔθη.

Πεῖρα ἡ ἐπιστήμη, ἡ ἐμπειρία καὶ ἡ μετοχὴ καὶ ἡ ἀπόλαυσις· πήρα δὲ ἰατρικὸν ἐγχειρίδιον καὶ δέρμα τι ἀρτοφόρον.

Ἀποπλεῖν τὸ ἐκ τόπου τινὸς ἀπαίρειν· παραπλεῖν δὲ τὸ τόπον τινὰ διέρχεσθαι πλέοντα καὶ τὸ εἴσω τινὸς πλεῖν· καὶ περιπλεῖν τὸ κύκλῳ τινὸς πλεῖν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὥστε καὶ παραπλεῖν καὶ περιπλεῖν καὶ πεζεύειν. καὶ παράπλους καὶ περίπλους καὶ εἴσπλους, ὡς ὁ αὐτὸς ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· καὶ παράπλοι καὶ περίπλοι καὶ εἴσπλοι ναυτῶν ἁπάντων οὔποτε λείπουσι.

Est v. 5., citato iam p. 128, 12. 3. *Ἀνδροτίωνος*] p. 617, 4. Rk. 4. *πλούτον* B.

6. *Πρῷά* et *ἐκ πρῷύ* et *πρῷοι* B pro *πατρῷα*, *ἐκ πατέρων*, *πατρῷοι*. 7. *ἔθη* „*MSS*“ (*OUD.*) GBCDPO. *ἤθη* F.

8. *ἐπιστήμη*] *ἀπὸ τοῦ πειρῶμαι τὸ λαμβάνω τινὸς γνῶσιν* add. E. *ἐμπειρία*] *ἥτις ἐστὶ γνῶσις τινῶν ἄλογος* add. E. *ἡ ἀπόλαυσις* AGBECDP. *ἡ* om. FO. 9. *δὲ*] *δὺ* B.

11. *δὲ* om. G. *τὸ τόπον* „*MSS*“ (*OUD.*) RRGBCDPO *τὸν τόπον* F. 13. *καὶ περιπλεῖν — πλεῖν* om. Rb.

14. *Παναθηναϊκῷ*] vol. I, p. 167. (I, 155. Df.) *καὶ περιπλεῖν καὶ παραπλεῖν* B. 15. *καὶ παράπλους*] *Παράπλους* B novam §. ordiens. 16. *ὡς* om. B. 17. *νάου* B. Est vol. I, p. 414. (I, 384. Df.) *παράπλοι*] *δὲ αὐτὴν* add. Aristides. 18. *καὶ περίπλοι* „*MSS. O.*“ (*OUD.*) RRGBO, Aristides. om. CDPF.

19. *οὔποτε* P. *λείπουσιν* Aristides.

Πλούσιος εὐπόρου, ἀφνειοῦ, ὀλβίου καὶ εὐτυχοῦς διαφέρει. πλούσιος μὲν γὰρ ὁ πολυούσιος ἤγουν ὁ πολλὴν ἔχων οὐσίαν· εὔπορος ὁ πρὸς τὰς ἐπιβαλλούσας χρείας ἀνενδεής· ἀφνειός δὲ ὁ ἀπ᾽ ἐνιαυτοῦ τὴν τροφὴν συλλέγων· ὄλβιος δὲ ὁ λίαν βιούς ἤγουν εὐδαιμόνως καὶ μετὰ δαψιλείας· εὐτυχής δὲ ὁ ζῶν ἡδέως καὶ ἀλύπως.

Πλήμμας τὰς πλημμυρίδας τῶν ποταμῶν ποιηταί· σὺ δὲ πλημμύρας λέγε καὶ πλημμυρίδας. ἀπὸ μὲν γὰρ τοῦ πλημμυρῶ πλημμυρίς· ἀπὸ δὲ τοῦ πλημμύρω πλημμύρα, οὗ τὸ ἐναντίον ἄμπωτις.

Πόλις μὲν καὶ ὁ τόπος καὶ οἱ κατοικοῦντες. *Εὐριπίδης* ἐν *Ὀρέστῃ*·

---

2. γὰρ] λέγεται add. B. 3. ἐπιβαλούσας B. αὐτῷ add. E. 4. ἀφνὸς B. συλλέγων] ἄφενος γὰρ λέγεται τὸ δι᾽ ὅλου τοῦ ἔτους συναγόμενον κέρδος add. E. 5. ὁ] λέγεται ὁ οἱονεὶ E. ἤγουν — ἀλύπως] ἤγουν εὐδαιμόνου καὶ ἄλπως B omissis reliquis. 6. δαψιλείας „*MSS*" (*Ol D.*) RRGO. δαψιλίας CDPF. Pro καὶ μετὰ δαψιλείας — ἀλύπως in E sic est: καὶ εὐτυχῶς, ὅστις καὶ κρείττων τῶν ἄλλων, ὡς ζῶν ἡδέως καὶ ἀλύπως πάντη· ὁ τοιοῦτος γὰρ λέγεται ὄλβιος.

8. *Πλήμμας*] Duplici μ constanter ALaRbE et praeter πλήμμας, πλημμύρω et ultimum πλημμύρα B; uno μ GEdd. praeter prius πλημμυρίδας. ποιηταὶ ALaGBO. om. CDPF. 9. λέγε hic collocant GB, post σὺ δὲ Edd. 11. οὗ] ᾧ E. ἄμπωτις] οἱονεὶ τις οὖσα ἀνάποσις· add. E, sic autem pergunt: πλήμμα δὲ ὥς τινες γράφουσιν, ἀδόκιμον.

12. „*Thomae verba ita fere redintegranda*: Εὐριπίδης ἐν Ὀρέστῃ· *** καὶ ἐν Φοινίσσαις· ὦ πόλις κλύεις ἃ πάσχω. καὶ Ἀριστοφάνης [Plut. 601.]· ὦ πόλις Ἄργους, κλύεθ᾽ οἷα λέγει. *Ex Oreste citare potuit* Ἀργείων πόλις *v.* 49. *vel* ἱκόμην δι᾽ ἄστεος ξύλλογον πόλεως ἀκούσας *v.* 719. 20., *quae imprimis ad eius propositum faciunt. In Phoenissis v.* 620. [615. Valckenar., qui conferendus p. 293. 94.] *suspicor eum pro* πάτερ *legisse* πόλις *ex v.* 622." *DOBREUS* ad Aristoph. Plut. v. 601., in Addendis tamen illo retractato conatu in sola versuum Plut. 601. (cf. Equ. 813.) Phoen. 620. 622. confusione subsistens.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα πάσχω.

ἄστυ δὲ μόνον ὁ τόπος. Ὅμηρος ἐν π' Ἰλιάδος·

φράζεο νῦν ὅπως καὶ πόλιν καὶ ἄστυ σαώσῃς.

Πολύτιμον τὸ πολλοῦ τιμήματος ἠγορασμένον· πολυτίμητον δὲ τὸ πολλῆς τιμῆς ἤγουν δόξης ἀξιωθέν. Ἀριστοφάνης ἐν νεφέλαις·

ὦ πολυτίμητοι νεφέλαι.

Προσδοκῶ ἀπαλλαγήσεσθαι τῆς νόσου καὶ προσδοκῶ ἀπαλλαγὴν τῆς νόσου· καὶ προσδοκῶ δὲ πείσεσθαι κακά καὶ προσδοκῶ κακά. ὡσαύτως καὶ ἐλπίζω ἐλευθερωθήσεσθαι καὶ ἐλπίζω ἐλευθερίαν.

Πάταγος κυρίως ἐπὶ ἀνέμου, ἦχος δὲ ἐπὶ μέλους καὶ βροντῆς.

Προξενῶ οὐ μόνον τὸ αἴτιός τινι τοῦδε γίνομαι, ἀλλὰ καὶ τὸ ξενοδοχῶ γενικῇ συντασσόμενον. Δημοσθένης ἐν τῷ περὶ παραπρεσβείας· παρὰ σοὶ κατέλυον, Αἰ-

---

2. π'] immo XVII, v. 144., notatum iam Valckenario ad Ammon. p. 116. 3. ὅπως καὶ] ὅππως κε Homerus. 4. σαώσῃς GB, Hom. σαώσεις Edd. *Πόλις ὅ τε τόπος, καὶ αὐτοὶ οἱ κατοικοῦντες, καὶ πολιτεία ἡ εἰς αὐτούς τε καὶ πρὸς ἀλλήλους κοινωνία. ἄστυ δὲ σημαίνει μόνον τὴν πόλιν· ἀστικὸν δὲ τὸν πολίτην.* E.

6. ἤγουν AGB. ἢ CDFO. ἡ P. καὶ E. 7. νεφέλαις] v. 269. (293. 328.)

9. ἀπαλλάγης B. 10. δὲ GBEdd. om. ALb, Phav. p. 628. c. Thoma multo locupletior. δεῖ La. πείσεοσθαι P. κακά „*O. MSS*" (*OUD.*) RRGBO, Phav. καλά CDPF.

13. ἀνέμου] καὶ βροντῆς add. Ox, Phav. p. 583. c. om. GBE Edd., Mosch. Syll. f. 154. a. βροντῆς] βροντοῖς B. βρωντής P.

15. τοῦ δὲ DP. 16. ξενοδοκῶ γενηκῇ P. 17. περὶ om. G. παραπρεσβείας] immo τοῦ στεφάνου p. 252, 24. Rk.

σχίνη, καὶ σὺ προὐξένεις αὐτῶν. ὡσαύτως καὶ πρόξενος ὁ ξενοδόχος. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

φίλης γὰρ προξένου κατήνυσαν.

προξενία δὲ ἡ κοινὴ πρὸς πόλιν φιλία. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἔσωζεν αὐτὸν τὸ σχῆμα τῆς προξενίας.

Πρυτανεῖον τὸ κοινὸν ταμιεῖον, ὅθεν αἱ κοιναὶ εὐεργεσίαι καὶ σιτήσεις ἐδίδοντο· πρυτανεῖα δὲ πληθυντικῶς τὰ καταβαλλόμενα ὑπὸ τῶν διωκόντων δίκην, ἦν δὲ τὰ ἐπιδέκατα τοῦ τιμήματος· πρυτανεία δὲ θηλυκῶς ὁ χρόνος. διῄρηται γὰρ παρὰ τοῖς Ἀθηναίοις ὁ χρόνος εἰς δέκα πρυτανείας, ὅσαι καὶ φυλαὶ ἦσαν, καὶ ἐπρυτάνευεν ἑκάστη φυλὴ κατ' ἐνιαυτὸν ἅπαξ· ὅθεν καὶ τοὺς μισθοὺς καὶ τὰ ἐνοίκια κατὰ τὰς πρυτανείας, οὐ κατὰ μῆνα ἐτέλουν.

Οὐ μόνον παράλιος χώρα, ἀλλὰ καὶ πάραλος· Θουκυδίδης. ἦν δὲ Ἀθήνησι καὶ ναῦς ἱερὰ πάραλος καλουμένη, ὅθεν καὶ πάραλοι οἵ τε ἐν τῇ νηὶ τῇ παράλῳ πλέοντες

---

1. ὡσαύτων C. 2. ξενοδόκος E. ξενοχος B. Ἠλέκτρᾳ] v. 1451. 3. γὰρ om. G. 4. „προυξεν. RR.“

5. Παναθηναϊκῷ] vol. I, p. 250. (I, 233. Df.) ἔσωζεν etiam Phav. p. 627. b., Mosch. Syll. f. 156. ἔσωσεν Aristides, et τὸν πρεσβευτὴν pro αὐτὸν.

7. κοινὸν ALaRRGBO. κοινῶς ECDPF. 8. σιτήσεις RRGBEO. αἰτήσεις CDPF. πρυτανεία δὲ πληνθηκῶς B. 9. ἦν δὲ] ἅτινα ἦν E. 10. ἐπιδέκατα] ἐπὶ δὲ κατὰ DP. ἐπὶ δὲ κακὰ B. δέκατα E. τοῦ] ὅλου add. E. τιμήτατος B. πρυτανεία GBEO. πρυτανεῖα CDPF. θηλικῶς DP. 11. διῄρητο E, idemque ex Ammonio Valckenarius p. 119. γὰρ] δὲ Rb. 12. ὅσαι] δήπου add. E. 13. ἐπρυτάνευειν B. 14. τὰς om. E.

16. Παράλιος χώρα οὐ μόνον B. χώρα om. Ox. Θουκυδίδης] II, cap. 55. 17. Ἀθήνησι BCDPF. ἐν Ἀθήνησι ALaG O. 18. ὅθεν καὶ] καὶ om. RaB. νηῒ τῇ παράλῳ ALbRRG BCDO. νιὶ τῇ παράλῳ P. νηῒ παράλῳ F.

καὶ οἱ τὴν πάραλον χώραν οἰκοῦντες. Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· πάραλον Ἑλλήνων στρατὸν εἴημεν ἐκτημένοι.

Πρὸ μοίρας θανὼν ὁ βιαίως ἀποθανὼν, πρὸ ὥρας δὲ ὁ ἐν νεότητι.

Πρεσβεύονται οἱ τοὺς πρέσβεις χειροτονοῦντες καὶ πέμποντες, καὶ διαπρεσβεύονται. Λιβάνιος ἐν τῇ τοῦ Πατρόκλου προθεωρίᾳ· πρεσβεύεται πρὸς αὐτὸν Ἀγαμέμνων. πρεσβεύουσι δὲ καὶ πρεσβεύονται οἱ πεμπόμενοι εἰς πρεσβείαν. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· τοὺς ἐς τὴν Λακεδαίμονα πρεσβευομένους ἔπεμπον. πρεσβεύω καὶ τὸ παρακαλῶ δοτικῇ· καὶ πρεσβεύω τὸ τιμῶ αἰτιατικῇ· πρεσβεύω καὶ τὸ πρεσβύτερός εἰμι γενικῇ. Θουκυδίδης ἐν τῇ ἕκτῃ· διὰ τὸ πρεσβεύειν τε ἀπ' αὐτοῦ καὶ τυραννεῦσαι. καὶ Ἡρόδοτος ἐν τῇ ἑβδόμῃ· τῶν μὲν δὴ προτέρων ἐπρέσβευεν Ἀρταβαζάνης.

Οἱ πρέσβεις καὶ τοὺς πρέσβεις ἐρεῖς, ὁ πρεσβευτὴς δὲ καὶ τὸν πρεσβευτήν. Θουκυδίδης ἐν τῇ πέμπτῃ· πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσεν.

---

1. *χώραν οἰκοῦντες* „*in omnibus*" (*OUD.*) GB. *οἰκοῦντες χώραν* Edd. 2. *ἑβδόμῃ*] cap. 161. *στρατὸν*] *πλεῖστον* add. Herodotus. *εἴημεν*] *εἴη μὲν* B.

7. *Πατρόκλου*] *Πρόκλου* Lb. 8. *προθεωρίᾳ*] vol. I, p. 256. (IV, 80. Rk.) 9. *Ἀγαμέμνον* B. *προβεύουσι* CD. 10. *εἰς*] *πρὸς* ARb. *πρεσβεῖαν* B. *ὀγδόῃ*] cap. 89. 13. *τὸ πρεσβύτερός*] *τὸ* om. B. 14. *ἕκτῃ*] cap. 55. 16. *ἑβδόμῃ*] τ̄. B. Est VII, cap. 2. 17. *ἐπρέσβευεν* „*MSS*" (*OUD.*) RRGB, Phav. p. 621. c. *ἐπρέσβευσεν* CDPO. *ἐπρέσβευσαν* F. *ἐπρέσβευε* Herodotus. *Ἀρταβαζάνης* G, Herodoti Sancroft. *Ἀρτοβαζάνης* BEdd., Phav.; Herod. vulg.

18. Continuat G. *ὁ* ALLRRGBO. *οὐ* CDPF. *πρεσβεύτης δὲ ὦ τὴν πρεσβευτὴν* B 19. *πέμπτῃ*] cap. 4. init. 20. *ἐξέπλευσε* Thucydides.

ὥστε ἁμαρτάνει ὁ λέγων ἐπὶ πληθυντικοῦ πρεσβευταὶ καὶ πρεσβευτάς· οὐδεὶς γὰρ τῶν δοκίμων εἶπε τοῦτο, εἰ καὶ Συνέσιος ἐν ἐπιστολῇ [τῇ Ἀνόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην Πτολεμαίας·] οὓς π ρ ε σ β ε υ τ ὰ ς ᾑ ρ ῆ σ θ α ι π α ρ ὰ τ ο ῦ δ ή μ ο υ π υ ν θ ά ν ο μ α ι. πρέσβυς δὲ καὶ πρεσβύτης ὁ γέρων· πρέσβις μέντοι ὁ παρακλήτωρ παντελῶς ἀδόκιμόν ἐστι.

Πρωτότοκος ὁ πρῶτος τεχθείς, *πρωτοτόκος* δὲ μήτηρ ἡ πρώτως τέξασα.

Παλαμναῖον τὸ μέγα καὶ φρικτόν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Λύσαντες ἐκ Βενδιδείου· ἐ τ ρ α γ ῴ δ ε ι τ ὰ ς π α λ α μ ν α ι ο τ ά τ α ς ἀ ρ ά ς. καὶ παλαμναῖον τὸ φονικόν, ὡς ὁ αὐτὸς ἐν ἑτέρᾳ ἐπιστολῇ [τῇ Οὐδὲν ἐγεγόνει χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ]· π α λ α μ ν α ί ᾳ χ ε ι ρ ὶ κ α ὶ γ ν ώ μ ῃ.

---

1. *πληθυντικοῦ*] *πλην*: B. (sic.)   *προσβευταὶ* P.
3. *ἐπιστολῇ*] 105. p. 249. a.   *τῇ — Πτολεμαίας* Edd. om. ALL GB.   *ἀνόητος* FO. *ἀνοήτος* CDP, Synesius.   4. *Πτολεμαίας* OxCDP. *Πτολεμαίοις* ex Synesio FO.   5. *ᾑρῆσθαι*] *εἱρῆσθαι* La.   6. *πρέσβυς δὲ*] „*RR βὶς male.*“   *πρέσβις* ALLRRGBC D. *πρέσβυς* PFO.   *μέντοι*] *μὲν* B.   7. *παράκλητος* P.

8. *πρώτως τεξάσασα* Lb. *πρώτως τεξάσα* B. *πρώτως ἔτι τέξασα* E. *πρώτως τεκοῦσα* Phav. p. 636. b. *πρῶτον τεκοῦσα* Ammon. p. 121.

10. Hanc notationem om. Lb.   *φρικτόν*] Pergunt E: *λέγεται δὲ παλαμναῖον ἐπὶ κακοῦ, τὸ πλέων φόνου· ἤγουν τὸ φονικόν.*   *ἐπιστολῇ τῇ Λ. ἐ. Β.* GB. *τῇ Λ. ἐ. Β. ἐπιστολῇ* Edd.
11. *Βενδειδίου* CDP. Est ep. 4. p. 163. a.   *ἐτραγῴδει*] *δὲ* add. A.   12. *ὡς* om. F.   13. *τῇ — πρεσβυτέρῳ* Edd. om. ALa (ex quibus tamen, errore ut videtur, *τῇ* illud affertur) RRGB.   *ἐγεγόνει*] *ἐγὼ γέγονα* FO e Synesio.   14. *παλαμναίᾳ χειρὶ καὶ γνώμῃ* ALaGB, item RB, ex quibus simili errore puto *ἔχων* afferri post *παλαμναίᾳ* positum. *παλαμναίαν ἔχων καὶ γνώμην καὶ γλῶτταν* Edd. ex Synesii ep. 79. p. 224. c.

Προσείρηκε καὶ ἀντὶ τοῦ ὠνόμασεν, ὡς τὸ προσείρηκε τοῦτον εὐδαίμονα, καὶ ἀντὶ τοῦ ἐχαιρέτισεν, ὡς τὸ προσείρηκε τοὺς φίλους, καὶ ἀντὶ τοῦ ἐνεκωμίασεν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἐν τοῖς ἐπιταφίοις λόγοις τῶν ἀποθανόντων ἐνίους προσειρήκασιν. οὕτω καὶ περὶ τοῦ προσεῖπε νόει καὶ τοῦ προσεφθέγξατο, καὶ περὶ τοῦ προσρήματος· πάντα γὰρ τὰ τοιαῦτα οὕτως ἔχουσι.

Πανδοκεύς, πανδοκεύτρια, πανδοκεῖον διὰ τοῦ κ̄, καὶ οὐ διὰ τοῦ χ̄.

Παραβάλλω τὸ πλησιάζω, τὸ ἔρχομαι καὶ τὸ παρεξετάζω, ὃ καὶ παραθεωρῶ παρὰ Λουκιανῷ εὕρηται ἐν τῷ Ἡρόδοτος ἢ Ἀετίων· ἀλλ' ἢν μὲν ὑμεῖς Πολυδάμαντι ἢ Γλαύκῳ ἢ Μίλωνι παραθεωρῆτέ με. καὶ παραβάλλομαι τὸ παρεξετάζομαι. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Ἰδοὺ πέπομφα τὸν λόγον ἱδρῶτι περιρρεόμενος·

---

1. ὠνόμαστεν B. προσείρηκεν G. 2. ἐχαιρέτισεν RR GOE π. ῥ., Phav. p. 628. c. ἐχαιρέτησεν BCDPF. 3. ἐνεκωμίασεν ALaRRE π. ῥ. O. ἐγκωμίασεν CDPF. ἐνεγκωμίασεν G. ἐνεγκομίασεν B. ἐνεκόμισεν Phav. 4. Παναθηναϊκῷ] vol. I, p. 163. (I, 152. Df.) ἐπὶ ταφίοις C. ἐπιτάφιος B. 5. τῶν θανόντων B. 6. καὶ „MSS" (OUD.) GBCDPO, Phav. γὰρ F. 7. πάντα] ἐνπάντα B.

9. καὶ πανδοκεύτρια La. πανδοκεῖον ALLRRGB (etiam E, sed mutata paullum notationis forma.) om. Edd. Πανδοκεῖον, πανδοκεὺς καὶ πανδοκεύτρια coni. Oudendorpius, quo minime opus. διὰ τοῦ κ̄ om. G. καὶ B in marg.

11. πλησιάζω] καὶ τὸ παρεικάζω add. Phav. p. 573. a. καὶ τὸ ἔρχομαι A. 13. Ἀετίων] §. 8. vol. I, p. 838. 14. Μίλωνι „MSS" (OUD.) RRO. Μέλωνι GCDP. Μίλονι B. παραθεωρῆτέ με LbRRG, Luc. παρὰ θεωρῆτεμε B. παραθεωρεῖτέ με O. παραθεωρεῖτε F. 15. ἐπιστολῇ] 1597. p. 726. 16. πέμποφα τὸν CDP. πεποιφατὸν BF. ἱδρῶτι] ἱδρῶτ Λο B.

τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. καὶ τὸ κατατολμῶ. Συνέσιος καὶ αὐτὸς ἐν ἐπιστολῇ τῇ Λάπιδα μεγάλην τῶν Αἰγυπτίων· πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενος. παραβάλλεσθαι καὶ τὸ ἐξαπατῆσαι, [ὡς Θουκυδίδης·] ὅθεν καὶ παραβλήδην ἀντὶ τοῦ ἀπατητικῶς καὶ παραλογιστικῶς.

Παράγω τὸ εἰς μέσον ἄγω· καὶ παράγω τὸ μεταπείθω, καὶ παράγομαι τὸ μεταπείθομαι· ὅθεν καὶ εὐπαράγωγος ὁ εὐκόλως μεταπειθόμενος.

Πηγαί λέγονται πληθυντικῶς ἐπὶ τῆς ἀρχῆς τῶν ποταμῶν, οὐ πηγή, οἷον αἱ πηγαὶ τοῦ Ἀχελῴου καὶ αἱ πηγαὶ τοῦ Νείλου· καὶ ἐκβολαί αἱ εἰσελεύσεις αὐτῶν εἰς τὴν θάλασσαν.

Πρόσχωρος [λέγε], οὐ πλησιόχωρος.

Ἐπικουρίαν τῷ δεῖνι καὶ οὐ τοῦ δεῖνος.

---

1. τὸ δὲ ἐμὸν — παραβαλλόμενος ALaRbGBO. om. CDPF.
2. καὶ τὸ] καὶ om. B. 3. ἐπιστολῇ] 61. p. 204. c. αἰγυπτίον D. Αἰγυπτιῶν O. 4. παραβαλλόμενον Synesius.
5. ὡς Θουκυδίδης Edd. om. ALaRbGB. Vide Dukerum ad I, cap. 133.

8. Continuat G. μέσην B. 10. καταπειθόμενος Ra.

11. τοῦ ποταμοῦ E. οὐ] μὴν ἑνικῶς ποτε add. E.

12. αἱ πηγαὶ τοῦ Ἀχελῴου καὶ „MSS“ (OUD.) RRGB et omisso καὶ (plane ut Mosch. Syll. f. 155. b.) O: prorsus om. CDPF.

13. αὐτοῦ B.

15. Πρόσχορος B. „προχωρ. Rb.“ λέγε om. E. λέγεται (vel λέγουσιν) coni. Schaeferus ad Plutarch. vol. V, p. 80., quode vide Prolegomena. πλησιόχωρος RRGBCDPO. πλησιώχωρος F.

16. Ἐπικουρίαν — δεῖνος, omissa in Edd., hic addunt ALL RRGBOx. (ἐπικουρεῖαν affertur ex ALLOx.) Congruunt Exc. Guelf.: Ἡ ἐπικουρία δοτικῇ συντάσσεται οὐχὶ γενικῇ. Mea coniectura . πικουρία scriptum fuerat, vacuo spatio relicto, ut minio prima littera pingeretur; quod non intelligens quisquis fuit huc notationem inepte transtulit.

Πατῶ, οὐ περιπατῶ [δέ]· περίπατος μέντοι, καὶ οὐ πάτος· ποιητικὸν γάρ.

Πανοῦργος κυρίως μὲν ὁ πᾶσιν ἔργοις ἐπιβάλλων, ἤγουν ὁ δραστήριος καὶ ἐνεργής· κατεχρήσαντο δὲ τῇ λέξει ἐπὶ τοῦ ἐν κακοῖς νοήμασιν εὐεπηβόλου· ὥσπερ καὶ παντουργός ὁ πάντα ἐργαζόμενος καὶ διεξάγων. Σοφοκλῆς δὲ ἐπὶ τοῦ μηχανικοῦ χρῆται λέγων ἐν *Αἴαντι*·

ἀνδρὶ παντουργῷ φρένας.

Πώμαλα Δημοσθένης ἅπαξ εἶπε· σὺ δὲ ὡς ποιητικὸν πάρες.

Πώγων καὶ ὑπήνη δοκιμώτερον ἢ γένειον· τὸ δὲ γενειάς κοινόν.

Πρὸς ἱεροῖς ἱκετεύω Ἀττικοὶ λέγουσιν, οὐ πρὸς ἱερά. Θουκυδίδης· πρὸς ἱεροῖς ἱκέτευσαν ἢ μαντείοις.

Παράλογον Ἕλληνες οὐδετέρως, ὁ παράλογος δὲ Ἀττικοί. ὁ αὐτός· τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστίν.

---

1. *δὲ* BEdd. om. ALLG.

4. *τῇ* om. B. 5. *εὐεπηβόλου* ALLGBE. *εὐεπιβόλου* Edd., quibus convenit cum Phav. p. 571. c. *ἐπιβόλου* Ra. 6. *παντουργὸς* „*MSS*" (*OUD.*) RRGBECDPO, Phav. *πανουργὸς* F. *ἐργαζόμενον* C. 7. *Αἴαντι*] v. 445. 8. *ἀνδρὶ*] *φωτὶ* Sophocles. *παντουργῷ* „*MSS*" (*OUD.*) RRGBCDPO. *πανουργῷ* F. Addunt E in fine: *τὸ δὲ παντουργός ἐπὶ μόνου θεοῦ λεχθείη ἂν εἰκότως ὡς πάντα δυναμένου δρᾶν ὅσα καὶ βούλεται. τὸ δ' ἀντὶ τοῦ μηχανικὸς καὶ ἐπ' ἀνθρώπων.*

9. *Πώπαλα* Rb. *Δημοσθένης*] de f. leg. p. 357, 2.

11. *Πόγων* DP. *δοκιμώτερον* ALaG. *δοκιμώτερα* BEdd.

13. *ἱεροῖς* ALaRRBEO, Phav. p. 630. a. *ἱερεῖς* GCDPF. *ἱερά* ALaEO, Phav. *ἱερέα* GBCDPF. *Θουκυδίδης*] II, cap. 47., ubi nunc est *μαντείαις*. 14. *ἱεροῖς* ALaBO. *ἱερεῖς* GCDPF.

17. *ὁ αὐτὸς*] *Θουκυδίδης* FO. Est I, cap. 78. *ὅσος*] *ὅσα* Ra.

Οὐ μόνον προΐσχω καὶ προΐσχομαι τὸ προβάλλομαι, ἀλλὰ καὶ τὸ προέχομαι. Σοφοκλῆς ἐν Ἀντιγόνῃ·

σὺ μὲν τάδ' ἂν προὔχοιο.

καὶ Θουκυδίδης· ὅπερ μάλιστα προὔχονται.

Προσποιοῦμαι τὸ ὑποκρίνομαι, καὶ προσποίησις. ἐπὶ τῆς αὐτῆς [δὲ] σημασίας ἔστιν ὅτε καὶ τὸ ποιοῦμαι εὕρηται. Συνέσιος ἐν τῷ Δίωνι· οὐ γὰρ ἐποιεῖτο Σωκράτης σοφὸς εἶναι. καὶ προσποιοῦμαι τὸ ἐπαγγέλλομαι, καὶ προσποίησις ἡ ἐπαγγελία. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· οὐδ' ἂν νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν. προσποιοῦμαι καὶ τὸ οἰκειοῦμαι, οἱονεὶ τὸ πρὸς ἐμαυτὸν ποιοῦμαι. Ἡρόδοτος ἐν τῇ πέμπτῃ· προσποιησάμενος δὲ ἑταιρηίην τῶν ἡλικιωτέων. ὅθεν καὶ προσποίησις ἡ οἰκείωσις. προσποιῶ δὲ τὸ ὑποτάττω, ὡς Θουκυδίδης· καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι.

Παρανόμων τὸν δεῖνα γράφομαι λέγουσιν Ἀττικοὶ, οὗ ἡ εὐθεῖα τὸ παράνομον, οὐ παρανομίας. Δημοσθένης ἐν

---

1. *οὐ μόνον* B collocat ante *ἀλλά.* *προΐσχομαι* RRGBCD PO. *προΐσχμαι* F. 2. *τὸ προέχομαι*] *τὸ* om. GB. *Ἀντιγόνῃ*] v. 80. 3. *τὰ δ' ἂν* B. 4. *Θουκυδίδης*] I, cap. 140.

5. *Προσπιοῦμαι* et *προσπίησις* D. 6. *δὲ* GBEdd. om. ALL, Phav. p. 631. a. distinguens post *σημασίας*, non distinguens post *προσποίησις.* 7. *Δίωνι*] p. 57. c.: *οὐ γ. ἐ. σοφὸς εἶναι Σωκράτης.* 8. *προσπιοῦμαι* D. 9. *ἐπαγγέλομαι* B. 10. *δευτέρᾳ*] cap. 62. 11. *κομπωδεστέραν* et *προσποίησιν* „*MSS*“ (*OC D.*) RRGBO. *τομπωδεστέραν* et *ποίησιν* CDP F. 13. *πέμπτῃ*] *ε̄.* B. Est V, cap. 71. 14. *ἑταιρίην* La P. *ἑτερηΐην* B. *ἑτεροίην* Ra. *ἑτερικὴν* Rb. *ἡλικιωτῶν* Ra. *ἡλικιωτεν* B. 16. *Θουκυδίδης*] II, cap. 2.

18. *οὗ ἡ εὐθεῖα*] Scribebatur *οὐ ἡ εὐθεία.* *οὐ ἡ εὐθι* B.

ἐν τῷ περὶ ἀτελείας· τὸ χάριν τούτων ἀποδιδόναι παρανόμων γράφη.

Περαιοῦμαι λέγε, καὶ μὴ περαιῶ, εἰ καὶ Θουκυδίδης λέγει· ὡς ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν.

Τῷ πρός Ἀττικοὶ εἰς τὴν σημασίαν τοῦ ὑπέρ χρῶνται ἐνίοτε. Ἀριστείδης ἐν τῷ περὶ τοῦ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· τοῦτο πρὸς ἡμῶν ἐστι, τουτέστιν ὑπὲρ ἡμῶν. [καὶ] Θουκυδίδης· οἱ δὲ μὴ ἐσπλεῖν ἐς τὰ στενὰ νομίζοντες πρὸς ἐκείνων εἶναι.

Παραγινώσκω τόδε· Ἀττικοὶ δὲ πολλάκις καὶ γενικῇ τοῦτο συντάσσουσιν, ὡς Φιλόστρατος· παραγινώσκοντες τοῦ δικαίου, ἤγουν παρὰ τὴν γνῶσιν τοῦ δικαίου πολιτευόμενοι.

Πρόσοψις ἡ θεωρία. Θουκυδίδης· μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ.

---

1. ἐν τῷ — ἀτελείας om. A, atque est de cor. p. 267, 6. ἀποδιδόναι] ἀποδοῖναι Demosthenes. 2. γράφη „MSS" (OUD.) RRGB, probatum Schaefero Apparat. ad Dem. vol. II, p. 177. γραφῇ Edd.

3. καὶ μὴ G. μὴ Edd. οὐ Lb. καὶ οὐ ALaB. Θουκυδίδης] II, cap. 67. 4. ὡς] ᾧ Thucydides, Thomae restitui iussum a Dukero. Sed ὡς in uno Parisino.

5. Τὸ πρὸς B. τὴν πρὸς πρόσθεσιν Ra. εἰς τὴν (τοῦ ὑπὲρ) σημασίαν B (sic.) 6. Ἀριστείδης] vol. II, p. 7. extr. (I, 555. Df.): ταὐτὸ (nunc ταὐτὸν) φρονεῖν πρὸς ἡμῶν ἐστιν. 7. ἡμῶν tum hic tum paullo post ALLRRGBOxO, et priore loco C. ὑμῶν bis DPF, altero tantum loco C. 8. καὶ Edd. om. ALLGB. Θουκυδίδης] II, cap. 86.

11. τόδε] τὸ δὲ B. καὶ om. B. 12. Φιλόστρατος] vit. soph. II, 27, 2. p. 616., ubi παραγιγνώσκοντες. 14. πολιτεύομαι B.

16. Πρόσωψις RR. Θουκυδίδης] II, cap. 89. med. πρόσωψιν Ra. 16. πολεμῶν B.

Πρόσοδος ἡ προσένεγξις, οἷον χρημάτων πρόσοδος. πρόσοδος καὶ ἡ πανήγυρις. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ πρόσοδοι θεῶν μετὰ τῶν καθεστηκότων νόμων. καὶ πρόσοδος ἡ πρός τι ὁδός. Θουκυδίδης· λάθρα ἐτήρουν τὴν πρόσοδον.

Παιανίζω καὶ παιωνίζω· καὶ παιάν γὰρ καὶ παιών. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος. σημείωσαι δὲ, ὅτι τὸ μὲν παιάν ἐπὶ ὕμνου τῶν θεῶν ἀεὶ τιθέασι καὶ μάλιστα τοῦ Ἀπόλλωνος ἐπὶ ἀπαλλαγῇ λοιμοῦ· τὸ δὲ παιών καὶ παιωνίζω, ἀλλὰ δὴ καὶ τὸ παιανίζω, ἐπὶ νίκης πολέμου κυρίως, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἁπλῶς εὐφροσύνης.

Τὸ μὲν πρέπει ἀεὶ δοτικῇ· τὸ δὲ πρέπον οὐ δοτικῇ μόνον, ἀλλὰ καὶ γενικῇ. Θουκυδίδης· ὡς πρέπον ἡμῶν καὶ ὡς ἡ χρεία προάγει. ὡσαύτως καὶ τὸ οἰκει-

---

1. *προσένεγξις* ALaO. *προσένεξις* GBCDPF. *προσφορὰ καὶ προσένεξις* E. *οἷον*] *ἤγουν* Ra. 2. *Ἀριστείδης*] Pergunt E: *ἐν γὰρ ταῖς εἰς τοὺς θεοὺς προσόδοις τῆς πόλεως πᾶσιν ἔξεστι δρᾶν ἐλευθέρῳ γνώμῃ τὰ βουλητέα.* *Παναθηναϊκῷ*] immo *πανηγυρικῷ ἐν Κυζίκῳ* vol. I, p. 418. (I, 388. Df.) ubi haec habes: *καὶ πρόσοδοι καὶ θεραπεῖαι θεῶν μετὰ τῶν καθεστηκότων θεσμῶν.* Sed intercidit fortasse alterum exemplum, *Panathen.* p. 258. (240.): *πανηγύρεις καὶ πρόσοδοι τοῖς θεοῖς ἦσαν —*, vel p. 259. (242.): *θεῶν πρόσοδοι καὶ ὁμιλίαι.*
3. *πρόσοδοι θεῶν* „*MSS*“ (*OUD.*) GCDPO. *πρόσοδος θεῶν* RRB. *πρόσοδοι θεῷ* F. 4. *νόμον* B. *ἡ* om. B. *πρὸς τὶ ὅδος* B. *Θουκυδίδης*] IV, cap. 110. 5. *λάθρα*] *ὀλίγοι* Thucydidis omissum.

7. *Παναθηναϊκῷ*] p. 216. (202. Df.) 8. *φίλου* „*MSS*“ (*OUD.*) RRGBO, Phav. p. 565. c. *φιλίου* CDPF. 10. *λοιμοῦ* GBEdd. *λιμοῦ* ALaRa. Cf. p. 206, 12. 11. *ἀλλὰ δὴ καὶ τὸ παιανίζω* om. LbRb.

14. *Θουκυδίδης*] III, cap. 59. *ἡμῶν* AGBOx. *ὑμῶν* Edd., probatum Wassio. *ἡμῖν* La, Thucydides. Cf. Popp. P. II, vol. 1, p. 82. 15. *χρεία*] *κρεία* D. *καὶ*] *ναὶ* B.

οὖμαι δοτικῇ πάντοτε, τὸ δὲ οἰκεῖός εἰμι καὶ δοτικῇ καὶ γενικῇ.

Ἡ παρά ὅτε πλησιότητα δηλοῖ, ἐπὶ μὲν ἐμψύχου δοτικῇ συντάσσεται, οἷον παρὰ τῷ βασιλεῖ κάθηται, ἐπὶ δὲ ἀψύχου αἰτιατικῇ. Θουκυδίδης· ἐτάξαντο παρὰ τὴν θάλασσαν. Λουκιανὸς δὲ Ὁμηρικῷ ζήλῳ ἐπὶ ἐμψύχου εἰς αἰτιατικὴν εἶπεν ἐν δευτέρῳ τῶν ἀληθινῶν διηγημάτων· καὶ θρόνος αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον. Ὅμηρος γὰρ οὕτω φησὶν ἐν α' Ἰλιάδος·

νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα.

ὡσαύτως καὶ Πλάτων ἐν Φαίδωνι· καὶ στὰς παρ' αὐτόν, ὦ Σώκρατες, ἔφη. ὅτε δέ ἐστιν ἀντὶ τῆς εἰς, οὐκ ἐπὶ κινήσεως ἀεὶ τίθεται, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς κινήσεως. ὁ αὐτὸς ἐν τῷ αὐτῷ· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσήει καὶ διελέγετο ἐνίοτε. καὶ Ἀριστείδης ἐν τῷ περὶ τοῦ μὴ πέμπειν βοήθειαν τοῖς ἐν Σικελίᾳ· ὁ ταῦτα πείθων κἀκεῖνο συνέπειθεν, ἀρχὴν μὴ ἐπικτᾶσθαι παρὰ τὸν πόλεμον.

---

3. *μὲν* ALaRRGBO, Phav. p. 572. b. om. CDPF.

5. *Θουκυδίδης*] IV, cap. 11. *παρὰ τὴν*] *παρ' αὐτὴν τὴν* Thucydides, cuius uni Parisino convenit cum Thoma. 6. *ἐπὶ μὴ ἐμψύχου* Phav. 7. *εἰς* ALaRRBO, Phav. om. GCDPF.

δευτέρῳ] §. 9. vol. II, p. 110. *διηγνμάτων* C. 8. *ἐπετέθη* A. *Κύρον* GBCDP. 10. *ἐν α'*] *ἐν τῷ ά* Edd. *τῷ* om. „*MSS*“ (*OUD.*) GB, Phav. Est v. 463. 11. *ἔχων* B. *πεμπῶ βολα* B. *πεμπώβολα χερσίν* Ra ex Homero. 12. *Φαίδωνι* B. Est p. 116. b. 13. *δὲ*] *δὴ* Phav., mox *οὐκ* omittens, ut B *εἰς*. 15. *χωρὶς — αὐτῷ· καὶ* om. B. *τῷ αὐτῷ*] p. 116. d. 16. *τοῦ χρόνου μοι* B. *διελέγετω* B. 18. *βοηθείαν* O. *Σικελίᾳ*] vol. II, p. 42. (I, 580. 81. Df.)

19. *ξυνέπειθεν* La *a m. pr.*

Καὶ παρακέλευσις καὶ παρακελευσμός. Θουκυδίδης· προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ.

Παρακαλῶ τὸ προτρέπω ὡς ἐπιτοπολύ, καὶ παράκλησις ἡ προτροπή· ἅπαξ δὲ καὶ τὸ δέομαι.

Παρακομίζομαι τὸ παραγίνομαι· καὶ παρακομιδή ἡ προσέλευσις. Θουκυδίδης· ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν ἀναχωρήσει.

Πρόσκειμαί σοι ἀντὶ τοῦ οἰκείως ἔχω σοι, καὶ πρόσκειμαί σοι ἀντὶ τοῦ ἐπίκειμαί σοι, ὡς ὁ αὐτός· προσκείμενον καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς. καὶ πρόσκειμαι τὸ ἀνάκειμαι. Ἡρόδοτος ἐν τῇ πρώτῃ· παρέφερον, τοῖσι προσέκειτο, τὴν κεφαλὴν τοῦ παιδός.

Προσέχω σοι τὸν νοῦν κάλλιον ἢ προσέχω σοι μόνον. Ἀριστοφάνης ἐν Πλούτῳ·

πρόσεχε τὸν νοῦν, ἵνα πύθῃ.

Προστίθεμαί σοι ἀντὶ τοῦ μετὰ σοῦ γίνομαι, οἷον προστίθεμαι τοῖς πολεμίοις· προστίθεμαι δέ σε ἀντὶ τοῦ μετ' ἐμοῦ σε παραλαμβάνω. Θουκυδίδης· ἵνα δεῦρο ἀν-

---

1. *Καὶ παρακέλευσις* „*MSS*“ (*OUD.*) GCDPO. *καὶ* om. BF, et E his additis: *ἡ παρακίνησις ἐπί τι.* *Θουκυδίδης*] IV, cap. 11.

4. *ἐπιτοπολύ* LbGCDP. *ἐπὶ τὸ πολύ* BFO. 5. *ἅπαξ*] *σπανίως* Moschopulus Syll. f. 154. a.

6. *καὶ παρακομιδὴ* RRGBDPO, Phav. p. 575. c. *οὐ παρακομιδὴ* F. *καὶ παρακομηδὴ* C. 7. *Θουκυδίδης*] V, cap. 5. init. *ἐν δὲ*] *ἐν Δ.* B. *παρακομοδῇ* B. 8. *τὴν* om. B.

10. *ὁ αὐτός*] V, cap. 9. 12. *πρώτῃ*] cap. 119.

15. *Προσέχω* ‡‡ *τὸν* B (sic) et in marg. *σοι.* 16. *Πλούτῳ*] v. 113. 17. *πύθῃ* ALLRRGBOxO, Phav. p. 629. b. *πείθῃ* CDPF.

18. Prioribus continuat G. 20. *Θουκυδίδης*] VI, cap. 18.

τιβοηθῶσι προσεθέμεθα αὐτούς, τουτέστι συμμάχους πεποιήμεθα.

Πεζὴ στρατιὰ λέγε, ὡς Δημοσθένης καὶ πάντες, καὶ μὴ πεζική, ὡς Θουκυδίδης ἐν **· στρατιᾷ ὥρμηνται καὶ ναυτικῇ καὶ πεζικῇ. ποιητικώτερον γὰρ τοῦτο, ὡς Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

πεζικὸς ὥρμηται λεώς.

Οὐ μόνον πιθανὸς ῥήτωρ φαμὲν, ἀλλὰ καὶ πιθανὸν κάλλος τὸ ἡδὺ καὶ τοὺς ὁρῶντας πεῖθον θαυμάζειν. καὶ πιθανὸς κόσμος, ὡς Ἀριστείδης ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ· καλοὶ μὲν γὰρ οἱ τῶν οἰκοδομούντων οὗτοι κόσμοι καὶ θαυμαστῶς πιθανοὶ τοῖς πλήθεσιν.

Πρωίτερον καὶ πρωίτατον, ἀμφότερα Θουκυδίδης· πρωί-

---

1. ἀντὶ βοηθῶσι B. τουτέστιν B. 2. πεποιήμεθα ALaR RBOx. ἐποιησάμεθα GEdd.

3. λέγε, ὡς] λέγεται ὁ B. Δημοσθένης] Vocis cum στρατιά iunctae exemplum iam Reiskius desiderabat Indic. p. 392. Schaef. καὶ μὴ] οὐ E. 4. παιζικὴ G. ἐν] Scribebatur Θουκυδίδης· ἐν στρατιᾷ e. q. s. Sed a Thucyd. VI, cap. 33. abest ἐν, quare positum fuisse ἐν τῇ ἕκτῃ credo. ἐν om. RaB. 5. ποιηκότερον B. Aeschyli verba inter fragmenta relata reperies n. 415. Schütz. Ego orta esse arbitror ex interpretatione versus Sept. 89: ὁ λεύκασπις ὄρνυται λαὸς εὐτρεπὴς e. q. s. ὁρμᾶται est in scholiis: de ἱππικῷ agebatur v. 80.

8. οὐ μόνον post φαμὲν collocat B. 10. πιθανὸς ὁ κόσμος ALa. 11. περὶ τοῦ ναοῦ om. B. Est vol. I, p. 429. (I, 398. Df.) καλοὶ „MSS" (Ol. D.) RRGBO. καλλοὶ CDPF. οἱ] καὶ οἱ B, Aristides. 12. οἰκοδομούντων] οἰκοδομημάτων RaB Ox, Aristides. Quod cur non receperim, dictum in Prolegomenis.

13. πλήθεσιν ALa, Aristides. πλήθεσι GBEdd. Exc. Guelf. sic: Πιθανὸς ῥήτωρ ὁ τοὺς ἀκούοντας πείθων, ἢ ὁ πρὸς πειθὼ λέγων· ἀπὸ τούτου πιθανὸς κόσμος, ὁ ἐφ' ἑαυτὸν ἐπιστρέφων τοὺς ὁρῶντας. ὁμοίως πιθανὸν κάλλος τὸ ἡδὺ καὶ ἐπαγωγὸν, καὶ εἰσρέον ἐπ' αὐτὸ τὸ τῆς ψυχῆς θυμικὸν, καὶ διερίζον πρὸς ἔρωτα.

14. Θουκυδίδης] VIII, cap. 101. πρωΐτερον vulgatum ante

τερον μέσων νυκτῶν· καί, πρωίτατα δὴ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι. καὶ Ἀριστείδης ἐν πέμπτῳ τῶν ἱερῶν· πάλιν γὰρ αὖ τὸ πρωίτερον τοῦ δέοντος ἢ λούεσθαι ἢ ἐσθίειν. κρείττω γὰρ ταῦτα τοῦ πρωιαίτερον καὶ πρωιαίτατον.

Οὐ μόνον προσέσχον τῷ λιμένι, ἀλλὰ καὶ ἔσχον, ὡς Θουκυδίδης· ἐς Αἴγυπτον ἔσχον αἱ νῆες κατὰ τὸ Μενδήσιον κέρας, ἀντὶ τοῦ προσωρμίσαντο. ὥσπερ δέ φαμεν κατῆρεν ἡ ναῦς εἰς τὸν λιμένα, οὕτω καὶ κατέσχεν, ὡς ὁ αὐτός· ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου, ἔνθα αἱ νῆες κατέσχον. καὶ πάλιν· ἐπετήρουν τοὺς Ἀθηναίους, ἢ κατασχήσουσιν. ἐπὶ δὲ ἀναγωγῆς ἀνέσχον οὐχ εὕρηται.

Καὶ πανταχόθεν καὶ πάντοθεν. Δημοσθένης· οὕτω καὶ

Bekkeri πρῳαίτερον. προίτερον B. 1. μέσων ALbO. μέσον GCDPF. μέσον La. καί] VII, cap. 19. πρωΐτατα in bonis codd. Thucydidis: πρῳαίτατα Bekkerus. πρωίτατον G.

3. πέμπτῳ] vol. I, p. 688. extr. (I, 547. Df.) αὖ τό] αὐτὸ B P. 4. προίτερον B. πρῳαίτερον nunc scriptum apud Aristidem, olim πρωΐτερον (vel πρωιαίτερον). λούεσθαι duo Laurentiani pro vulgato apud eundem λοῦσθαι. 5. τοῦ om. B. προιάτερον καὶ πρώϊαιτατον B.

7. οὐ μόνον post λιμένι collocat B. προσέχον Rb. Θουκυδίδης] I, cap. 110. 8. ἐς ALaGBO. εἰς CDPF. αἱ νῆες uncis circumscribit B, om. Thucydides, apud quem tamen τριήρεις praecessit. 9. Μενδήσιον] μὲν δήσιον B. προσωρμίσαντο ALaGO. προσορμίσαντο B. προσωρμήσαντο CDPF. 10. ἡ ναῦς εἰς τὸν λιμένα GB. εἰς τὸν λιμένα ἡ ναῦς Edd. 11. ὁ αὐτός] IV, cap. 42. ἀπό] ἀτῶ B. 12. ἔνθα ALaRRGBO. om. CDPF. πάλιν] Ibidem paullo post. 13. ἐπετείρουν B. ἢ] οἱ Thucydides. Conferatur Poppo P. II, vol. 1, p. 81.

16. Καὶ om. B. πάντοθεν RRGBCDPO. πάντοχεν F. Δημοσθένης] ἐν τῷ περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν p. 212, 25. Rk.

πάντοθεν καταπεφρονηκότως ἐκεῖνοι χρῶνται.

Οὐ μόνον πρόβατον, ἀλλὰ καὶ προβάτιον Ἀττικοί. Ἀριστοφάνης ἐν Πλούτῳ·

προβατίου βίον λέγεις.

καὶ πάλιν ἐν τῷ αὐτῷ·

προβατίων βληχώντων.

καὶ πάλιν ἐν τῷ αὐτῷ δράματι·

ἑπόμενον τοῖς προβατίοις.

Παροίξας τῆς θύρας Ἀττικοὶ, τὴν δὲ θύραν ἁπλῶς Ἕλληνες.

Μὴ εἴπῃς περιίσταμαι τὸν δεῖνα· πῶς γὰρ ἂν ὅ εἷς τινα περισταίη; ἀλλὰ περιιστάμεθα. Λιβάνιος ἐν ἐπιστολῇ·

καὶ περιιστάμεθα τὰς ἐπιστολάς.

---

1. *καταπεφρονηκότος* Lb. *ἐκεῖνοι*] *τῇ πόλει* omisit grammaticus.

3. *Πρόβατον οὐ μόνον* B. 4. *Πλούτῳ*] v. 923.
5. *προβατίου — αὐτῷ* (v. 6.) om. Phavor. p. 623. c. 6. *καὶ πάλιν — βληχώντων* om. Edd., addunt ARRGB. *τῷ αὐτῷ* GB. *τῷ* om. ARR. *δράματι* add. RR. Versu 293. est: *βληχώμενοί τε προβατίων*. 8. *τῷ αὐτῷ δράματι* GBEdd. *τῷ* om. RR. *δράματι* om. ARR, Phav. 9. *ἑπόμενον*] *ἑπόμενος* DP. *ἡγούμενον* Aristophanes v. 299.

10. *τῆς*] *τὰς* B, ut apud Moerid. p. 315. *οἱ Ἀττικοὶ* Ra.

12. *Περιΐσταμαι τὸν δεῖνα μὴ εἴποις* B. *εἴποις* etiam La. *γὰρ* om. Phav. p. 593. c. *ἂν* ALaRRBO, Phav. om. GCDPF. *εἷς τινὰ* B, Phav. 13. *περισταίη* ALaRRGB, Phav. *περιΐσταίη* Edd. *ἐν ἐπιστολῇ* om. Phav. Est autem *ἐν μονῳδίᾳ τῇ ἐπὶ Ἰουλιανῷ* vol. II, p. 254. (vol. I, p. 512, 19. Rk.)

Πενθεῖν ἐπὶ τοῦ λυπεῖσθαι καὶ ἐπὶ τοῦ μελανειμονεῖν, θρηνεῖν δὲ ἐπὶ τοῦ κλαίειν.

Οὐδεὶς τῶν ῥητόρων τὸ πολλάκις ἀντὶ τοῦ ἅπαξ εἶπε· κοινὸν γάρ ἐστιν.

Ὡσαύτως οὐδὲ παιδεύειν ἀντὶ τοῦ κολάζειν· ἀλλὰ παρὰ μόνῃ τῇ θείᾳ γραφῇ τοῦτο εὑρίσκεται.

Πλέω τὸ μετὰ νεὼς περῶ τὴν θάλασσαν· νέω δὲ τὸ κολυμβῶ.

Παίω τὸ τύπτω· εἰσπαίω τὸ εἰσέρχομαι. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀγαθῶν σωρὸς εἰσπέπαικεν εἰς τὴν οἰκίαν.

καὶ ἐκπαίω τὸ ἐξέρχομαι, παραπαίω δὲ τὸ παρακρούω· καὶ συμπαίω τὸ συγκρούω, ὑπερπαίω μέντοι τὸ ὑπερβάλλω.

---

1. *λυπεῖσθαι* „*MSS*“ (*OUD.*) RRGCDPO. *λυποῦσθαι* F. *λυπεῖσθαι* B. *ἐπὶ τοῦ* ante *μελανειμονεῖν* add. G, solum *ἐπὶ* B: om. Edd. *μελανειμονεῖν* GBEdd. *μελανημονεῖν* ALaRa.

2. *δὲ* om. G. *Πένθος λέγεται τὸ μελανειμονεῖν· θρῆνος τὸ κλαίειν.* E.

3. *Τὸ πολλάκις οὐδέποτε ἀντὶ τοῦ σπανιάκις λαμβάνεται. εἰμὶ* (scr. *εἰ μὴ*) *παρὰ τοῖς κοινοῖς* Moschopulus Syll. f. 156. a.

5. Cum priore §. coniungunt GBEdd. *μόνῃ* om. B.

6. *γραφῇ*] Velut in trito illo: *ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς μάστιξιν, ἐγὼ δὲ παιδεύσω ὑμᾶς ἐν σκορπίοις* III Reg. 12, 11. Novi foederis exempla habes apud Schleusnerum, Lex. II, p. 842.

7. Accessit haec notatio ex ARRB (vid. ed. Bern. p. 719. 729.), item Phavor. p. 607. b., sumpta ab magistro e Moschop. Syll. f. 155. b. Omittunt GEdd. *νεῶς* ex A affertur. *τὴν* om. B. *νέω δὲ*] *καὶ νέω, καὶ* Phavorinus.

10. *Πλούτῳ*] v. 804: *ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν Ἐπεισπέπαικεν* —. 11. *ἀγαθῶν σωρὸς* om. G B. 13. *δὲ* om. B. 14. *καὶ συμπαίω τὸ συγκρούω* ALLR RGBCDPO, Phav. p. 566. c. om. F. 15. *ὑπερβάλλω*] *ὡς Λουκιανός που φησιν* add. B. Aliquoties sane hoc verbo usus Lucianus.

Προσοικῶ ἐπὶ μὲν ἐμψύχου δοτικῇ, ἐπὶ δὲ ἀψύχου αἰτιατικῇ. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· προσοικεῖ τὴν ὄχθην ἑκατέρα τῶν πόλεων. καὶ πάλιν ἐν τῷ αὐτῷ· προσοικοῦμεν ὡς ἔπος εἰπεῖν τὰς ὄχθας.

Παραστάδες Ἀττικοὶ, οὐ παραστάτιδες. Εὐριπίδης ἐν Φοινίσσαις·

Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.

ἔστι δὲ θηλυκόν.

Καὶ παραθήκη λέγε καὶ παρακαταθήκη, καὶ παρατίθεται καὶ παρακατατίθεται· οὕτω γὰρ οἱ ἀρχαῖοι λέγουσιν. Ἡρόδοτος ἐν τῇ ἕκτῃ· παραθήκην παρατίθενται ἐς τοὺς ἐχθίστους Αἰγινήτῃσιν Ἀθηναίους. καὶ πάλιν· ἀνάγοντες δὲ σφέας εἰς τὴν Ἀττικὴν παραθήκην παρατίθενται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· μέχρι τοῦδε ἕξομεν παρακαταθήκην.

---

1. *αἰτιατικῇ ἀψύχου* B. 2. *Αἰγυπτίῳ*] vol. III, p. 579. (II, 459. Df.) 3. *τῷ αὐτῷ*] p. 613. init. (486. Df.)

6. *παραστάτιδες*] *παραστιδες* B. 7. *Φοινίσσαις*] v. 426. 8. *ἦλθον* G, ut est apud Euripidem. *ἤλθον* B. Scribebatur *ἦλθεν*.

10. *Καὶ παραθήκη* „*MSS*" (*OUD.*) GCDPO. *καὶ* om BF. *λέγεται* La. „*Thomas, qui apud me est MS., παραθήκη melius quam παρακαταθήκη et παρατίθεται melius quam παρακατατίθεται· at vulgatus καὶ παραθήκη καὶ παρακαταθήκη, quam lectionem sequitur Phavor.* (p. 574. b.)" *NUNNESIUS* ad Phrynich. p. 312. Lob. 12. *ἕκτῃ* RRGBCDPO. *ἑκτῇ* F. Est cap. 73. *παρατίθεται* Rb. *κατατίθενται* olim vulgatum ap. Herodotum. 13. *ἐς*] *εἰς* B. *Αἰγινίτισιν* B. *Αἰγινήτῃσι* Herodotus. 14. *καὶ πάλιν — παραθήκην παρατίθενται* Oudendorpio delenda visa: ultima enim duo verba media sunt unius eiusdem exempli, cuius antea posterior afferebatur, nunc affertur pars prior. *ἀνάγοντες* RRGBEdd. *ἀναγόντων* La. *ἀγαγόντες* Herodotus. *εἰς τὴν*] *ἐς γῆν τὴν* Herodotus. *Ἀττικὴν*] *ἠττικὴν* GB, quod non expedio. 16. *δευτέρᾳ*] cap. 72. extr. *τοῦδε*]

Οὐ μόνον προσβάλλω τοῖσδε, ἀλλὰ καὶ προσβάλλω τάδε εὕρηται. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καίτοι μεσοῦντας μὲν ἔτι τῆς πορείας προσέβαλεν ὥσπερ πνεῦμα ἀπὸ θαλάττης βοὴ συμμιγής.

Πίνακες τὰ ἀγγεῖα, ἐν οἷς ἐσθίομεν, καὶ αἱ διὰ σανίδων εἰκόνες. πινάκια δὲ, οἷς ἐνεγράφετο τὰ κατὰ τῶν εἰσαγγελλομένων ἐγκλήματα, ὡς ἔχει καὶ τὸ κατὰ Μεγαρέων πινάκιον· καὶ ἐν οἷς τὰ δικαστήρια ἐγράφοντο καὶ αἱ ἀρχαὶ, ἃ καὶ ἐλάμβανον οἱ λαχόντες ἄρχειν.

Πυθαγόρειος κάλλιον ἢ Πυθαγορικός.

Περιεγένετο ἀντὶ τοῦ ἐνίκησε γενικῇ, ὅπερ καὶ περιγέγονεν εὕρηται. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τῷ

τοῦ δὲ B. δὲ τοῦδε Thucydides. Παρακαταθήκη τὸ κοινῶς ἐνέχυρον. καὶ παραθήκη τὸ αὐτό. E.

1. Προσβάλλω τοῖς δὲ οὐ μόνον B. 2. Παναθηναϊκῷ] vol. I, p. 214. (I, 201. Df.) 3. ἔτι ALaRRGBO et (pro οὖν ἔτι olim vulgato) nunc Aristides. ἐπὶ CDPF. προσέβαλλον B et olim Aristides.

6—10. Haec ex ALa assumpsit O (p. 714.); hoc loco collocant RRB (vid. p. 745. ed. Bern.): omittunt GCDPF. Tenent etiam Moschopulus Syll. f. 155. b., et auctiora E Phavorinusque p. 603. c. 7. εἰκόντες. τινόκια B. δὲ] καὶ Phav., Mosch. μέντοι E. οἷς om. B. ἐνεγράφετω B. ἐνεγέγραπτο E. 8. εἰσαγγελομένων RR. ἠσαγγελομένων B. εἰσαγομένων E. ὡς ἔχει — πινάκιον καὶ] καὶ αἱ κατὰ τῶν εἰσαγγελλομένων κατηγορίαι· εἰσαγγελία γὰρ λέγεται ἡ μήνυσις τινὸς ἐπὶ διαβολῇ· ἔτι λέγεται πινάκια E. 9. τινάκιον B. 10. ἐλάμβανον] εἰς σφῶν αὐτῶν ἐπιβεβαίωσιν add. E. λαβόντες B. δικάζειν ἤγουν add. Mosch., δικάζειν ἢ Phavor., quae Thomae reddenda Oudendorpius censuit; absunt tamen etiam ab E.

11. κάλλιον ἢ] λόγος ἢ χιτὼν δεῖ λέγειν, οὐ μὴν E.

12. „ὅπερ καὶ] ᾧπερ *RR*." Quae non dubito quin ad p. 315, 1. pertineant. περιγέγονεν P. 13. ἀπολογίᾳ] p. 22. c.

αὐτῷ οἰόμενος περιγεγονέναι, ᾧπερ καὶ τῶν πολιτικῶν περιεγένετο. καὶ ἀντὶ τοῦ προσεγένετο, καὶ ἀντὶ τοῦ ἐπερίσσευσεν. [καὶ] Ἡρόδοτος ἐν τῇ πρώτῃ· λέγοντες οἱ μὲν, ὡς ἑωυτῶν πλεῦνες περιγεγόνασι. καὶ Ἀριστείδης· περιγενομένων γὰρ τῇ πόλει χρημάτων ἐκ τῶν ἔργων τῶν ἀργυρείων. περιεγένετο καὶ ἀντὶ τοῦ ἐσώθη καὶ ἔζησε. Θουκυδίδης· καὶ εἴ τις ἐκ τῶν μεγίστων περιγένοιτο. καὶ [αὖθις] ἐν τῇ πέμπτῃ· καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται.

Περιορῶ τὸ καταφρονῶ· περιορῶμαι δὲ οὐ μόνον ἀντὶ τοῦ καταφρονοῦμαι, ἀλλὰ καὶ πὴ μὲν ἀντὶ τοῦ καταφρονῶ· Θουκυδίδης ἐν τῇ δευτέρᾳ· μὴ περιορᾶσθε τοὺς πολεμικοὺς κινδύνους· πὴ δὲ ἀντὶ τοῦ

---

1. ᾧπερ ALa, Iun., O, Plato. ὅπερ GBCDPF. „*Dein* καὶ *om. MSS*“ (*OUD.*) 3. ἐπερίσσευσεν GBFO. ἐπερίσευσεν CDP. καὶ Ἡρόδοτος GB. καὶ om. Edd. 4. ἐν τῇ πρώτῃ GBFO. ἐν τῇ α P. ἐν τῇ CD. Est cap. 82. λέγοντες ALaRRGBO. ἄγοντες CDPF. ἑωϋτῶν GEdd. ἑωῦτῶν B. ἑωντῶν Ra. ἑωντόν Rb. 5. πλεῦνες ALaRRGBO. πλεῦντες CDPF. περιγεγόνασιν La. καὶ Ἀριστείδης — ἀργυρείων om. Ra. 6. πόλι B. ἐκ] συχνῶν ἀπὸ Aristides vol. III, p. 208. (II, 250)
7. ἀργυρείων RbGBCDPO. ἀγυρείων F. καὶ ἀντὶ] καὶ om. ALaB. Contra καὶ add. ante Θουκυδίδης GB. Ut fortasse scripserit: περιεγένετο ἀντὶ τοῦ ἐσώθη καὶ ἔζησε καὶ Θουκυδίδης. 8. ἐσώθη] περιεσώθη La. ἔζησεν B. Θουκυδίδης] II, cap. 49. extr.
9. περιγένοιτο] περιγένετο Rb. αὖθις B. om. Edd. πέμπτῃ] cap. 60. extr. 10. περιγίγνεται RRGBO. περιγίνεται CDPF.

13. 15. et p. 316, 4. πὴ] Scribebatur πῇ. ἀλλὰ καὶ πῇ μὲν ἀντὶ „*MSS*“ (*OUD.*) RRBO, et omisso μὲν G. ἀλλὰ πῇ μὲν καὶ ἀντὶ CDPF. 14. δευτέρᾳ] cap. 43. c. fin. περιορᾶσθε G, Thucydides. Legebatur περιορᾶσθαι. 15. κινδίνους B.

περισκοπῶ, ὡς ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· καὶ τοὺς Μεγαρέας ἐπιστάμενοι περιορωμένους, ὁποτέρων ἡ νίκη ἔσται. καὶ αὖθις ἐν τῇ ἕκτῃ· μέλλοντες ἔτι καὶ περιορώμενοι. πὴ δὲ καὶ ἀντὶ τοῦ φροντίζω γενικῇ συντασσόμενον. ὁ αὐτὸς ἐν τῇ τετάρτῃ· τῆς τε Μένδης περιορώμενος, μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ. καὶ περιιδεῖν οὐ μόνον ἀντὶ τοῦ καταφρονῆσαι, ἀλλὰ καὶ ἀντὶ τοῦ περισκοπῆσαι. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιιδεῖν. ὡσαύτως καὶ περιοπτέον, ὡς ὁ αὐτὸς ἐν τῇ ὀγδόῃ· σφίσι δὲ περιοπτέον εἶναι τοῦτο μάλιστα.

Προστάττω οὐ μόνον τὸ κελεύω, ἀλλὰ καὶ τὸ ἔν τινι τάττω. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας. καὶ ἐν τῇ ἕκτῃ· καὶ Γύλιππον τὸν Κλεανδρίδου προστάξαντες ἄρχοντα τοῖς Συρακουσίοις. καὶ ἐν τῇ ἑβδόμῃ· καὶ ἄρχοντα Ἀλέξαρχον Κορίνθιον προστάξαντες.

---

1. τετάρτῃ] cap. 73. 3. ὁ ποτέρων ἡ νήκη B. ἕκτῃ] cap. 93. init.: μέλλοντες δ' ἔτι c. q. s. 4. δὲ καὶ] καὶ om. La. 5. ὁ αὐτὸς — περιορώμενος om. B. 6. τετάρτῃ] cap. 124. extr. Μένδης] Μένιδος Lb. 10. τῇ αὐτῇ] τῇ αἰτῇ P. Est cap. 71. ἀμφοτέροις] δὲ add. B. 11. καὶ om. B. 12. ὡς om G. ὀγδόῃ] cap. 48. med. σφισὶ P. 13. εἶναι om. B.

14. κολεύω B. 15. ὁ αὐτὸς ἐν τῇ αὐτῇ GBCDP. Θουκυδίδης ἐν τῇ ὀγδόῃ F. Θουκυδίδης ἐν τῇ πέμπτῃ O. Est enim V, cap. 8. Κλεαρίδᾳ „MSS" (Ol D.) RBGBCDPO. Κλεαρίδαν F. 16. ἕκτῃ] cap. 93. 17. Κλεανδρίδου] Κλεαρίδου B. προστάξαντες RbGBCDPO. προτάξαντες F. 18. Συρακουσίοις GEdd. Συρρακουσίοις LaB. Συρακοσίοις Thomam scripsisse puto, ut p. 289, 1. καὶ ἐν — προστάξαντες om. B. ἑβδόμῃ] cap. 19. ἄργοντα P. 19. Ἀλέξαρχον ABRO, Thucydides. Ἀλέξανδρον GCDPF, aliquot libri Thucydidis.

Ἡ περί ὅταν ἀντὶ τοῦ ἕνεκα λαμβανομένη ἀναβιβάζῃ τὸν τόνον, οὐ μόνον ἐγγύς ἐστι τοῦ ὀνόματος, ᾧ ἕπεται, ἀλλὰ καὶ μεθ᾽ ἕτερά τινα τίθεται. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν πέρι ἐπαΐω.

Πράττω οὐ μόνον τὸ ποιῶ καὶ πάσχω, ἀλλὰ καὶ τὸ ἀπαιτῶ, ὃ καὶ εἰσπράττω λέγομεν. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἀρίθμει καὶ Πέτρον· πρῶτον ἁρπάσας καὶ ὑφ᾽ ἑαυτὸν ποιησάμενος ἔπειτα πράττει τὴν δίκην. πράττομαι δὲ καὶ μετὰ τῆς προθέσεως καὶ χωρὶς τῆς προθέσεως καὶ τὸ ἀπαιτῶ καὶ τὸ ἀπαιτοῦμαι. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους καὶ χρήματα πράττομαι.

Πρόσκρουμα ἡ μέμψις, οὐ πρόσκρουσμα. Ἀριστείδης ἐν τρίτῳ τῶν Λευκτρικῶν· καὶ πρὸς ἐκείνους ἐν προσκρούμασι καὶ μέμψεσιν εἶναι.

Ὥσπερ φαμὲν προσηγορία καὶ προσήγορος, οὕτω καὶ προ-

---

1. ὅταν] ὅτε La. ἀναβιβάζει La. ἀναβιβάζω B. τὸν] σοὺ B. 3. μεθέτερα CD. τοῦ om. B. 4. ἀπολογίᾳ] p. 19. c. 5. σμικρὸν πέρι „MSS“ (*OUD.*) RRGO. μικρὸν
ω
πέρι CDP. μικρὸν περὶ BF. ἐπαΐω] ἐπίαν B.

6. Coniunxere FO cum superiore §. p. 271, 14. 7. ἐπιστολῇ] 47. p. 186. d. 8. τῇ — Πέτρον om. Ra. ἀρίθμει GBCDP. ἀριθμεῖ FO, Synesius. ἀριθμήσει Rb. πρώτερον ἁρπάσας B. 9. πράττειν B. 11. καὶ χωρὶς τῆς προθέσεως GBEdd., Phav. p. 621. b. om. ALL, fere ut p. 272, 1. τὸ ἀπαιτῶ „MSS“ (*OUD.*) RRGBCDPO, Phav. τὸ om. F. τὸ ἀπαιτοῦμαι] τὸ om. B. 12. ἀπολογίᾳ] p. 19. d. 13. ἐπιχειρῶ] χειρῶ B.

16. Λευκτρικῶν] vol. II, p. 179. (I, 681. Df.) 17. προσκρούμασι GBEdd., idemque restituendum Aristidi. προσκρούσμασι ALa, ex uno Laurentiano Dindorfius.

18. „οὕτω καὶ προήγορος, προηγορία κ. τ. λ. *Rb.*“

ηγορία ἢ ὑπερηγορία καὶ τὸ πρὸ τῶν ἄλλων λέγειν· καὶ προήγορος ὡσαύτως καὶ προηγορῶ. Λουκιανὸς ἐν τῷ ἀναβιοῦντες ἢ ἁλιεύς· τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. καὶ Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἐγὼ καὶ βούλομαι· εὑράμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ προήγορος ἠξίωσεν εἶναι. Ἀριστείδης ἐν τῷ Ῥοδίοις περὶ ὁμονοίας· προηγορεῖν δὲ ἡμᾶς συνδεομένους.

Ἄμφω λέγε, καὶ περιπόθητος καὶ ποθεινότατος. Ἀριστείδης ἐν τῷ πρεσβευτικῷ εἰς Ἀχιλλέα· καὶ τὴν περιπόθητον ταύτην ἀποσφάξωσιν.

Πατραλοίας καὶ μητραλοίας. Ἀριστοφάνης ἐν νεφέλαις·

ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.

---

1. ἢ om. B. ὑπεριγορία C. πρὸ τῶν] ὑπὸ B. 3. ἁλιεύς] §. 22. vol. I, p. 592. προηγορίαν Luciano hodie restitutum ex libris optimis pro vulgato olim προσηγορίαν. 5. ἐπιστολῇ] 67. p. 208. c. εὑρούμενος DP. 6. κρηπίδα GBCDP. αὐτῇ καὶ προήγορος FO e Synesio. καὶ om. ALaGBCDP.

7. Ῥοδίοις περὶ ὁμονοίας RRGB. περὶ ὁμονοίας Ῥοδίοις O et, si fides Oudendorpii diligentiae, ALa. Cf. p. 119, 20. 138. 13. περὶ ὁμονοίας Ῥοδίων CDPF. Est vol. II, p. 388. (I, 833. Df.)

8. προηγορεῖν, ex tribus Laurentianis nunc restitutum Aristidi pro προσηγορεῖν, RRGBEdd. δὲ ARRGBCDPO. δὴ F. Προσηγορία καὶ προσήγορος· καὶ προηγορία ἡ ὑπερηγορία καὶ προήγορος ὁ ὑπερλαλῶν τινός καὶ ηγορῶ (sic) ῥῆμα τὸ ὑπερλαλῶ τινός. E.

10. Ἄμφω λέγε, omisso καὶ, post ποθεινότατος collocat B.

11. πρεσβευτικῷ] vol. II, p. 435. extr. Iebb. (II, 605. Df.), ubi olim τριπόθητον pro περιπόθητον. εἰς ALLRRGBO. πρὸς CDPF. 12. ἀποσφάξωσιν „MSS“ (OL'D.) O. ἀποσφάξωσι GBCDPF. Περιπόθητος ὁ ἄγαν ἐπιθυμητός· καὶ ποθεινότατος ὁ αὐτός. E.

13. καὶ μητραλοίας om. B. νεφέλαις] v. 1327. 14. ᾧ P. πατραλοῖα] Scribebatur πατραλοία.

καὶ πατρολόας δὲ καὶ μητρολόας. Λουκιανὸς ἐν τῷ θεῶν ἐκκλησίᾳ· ἐναγοῦς ἀνθρώπου καὶ μητρολόου υἱὸς ὤν.

Παρεῖδεν ἀντὶ τοῦ παρέβλεψεν, ὅπερ καὶ αἰτιατικῇ συντάσσεται. παρεῖδε καὶ ἀντὶ τοῦ ἐνεῖδεν ἀπὸ δοτικῆς εἰς αἰτιατικήν. Ἡρόδοτος ἐν τῇ πρώτῃ· οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι ποιέω ταῦτα.

Παρέστησαν ἀντὶ τοῦ πλησίον ἔστησαν καὶ ἀντὶ τοῦ εἰς τὸ μέσον ἔστησαν καὶ ἀντὶ τοῦ ἐπόρθησαν. ὁ αὐτὸς ἐν τῇ τρίτῃ· πολιορκούμενοι χρόνῳ παρέστησαν. παρεστήσαντο δὲ ἀντὶ τοῦ ἐπόρθησαν.

Προορῶ καὶ τὸ [προ]βλέπω καὶ τὸ φροντίζω. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· τοῦ σίτου προορέοντες.

Προέδωκεν ὁ δεῖνα τοῖς πολεμίοις τὴν πόλιν ἀντὶ τοῦ λάθρα

---

1. *πατρολόας δὲ καὶ μητρολόας* GCDPF. *πατρολόας καὶ μητρολόαν* B. De formis congruunt E. *πατραλῴας δὲ καὶ μητραλῴας* in O scripsit Oudendorpius. *τῷ*] *τῇ* G. 2. *ἐκκλησίᾳ*] §. 12. vol. III, p. 534., ubi est *μητραλοίου*.

4. *καὶ* om. ALa. 5. *παρεῖδε*] *παρεῖ δὲ* B. 6. *πρώτῃ*] cap. 38. *δείλιαν* B. 7. *ἄλλον* ALa. *ἄλλῳ* D. *οὐδὲ* B. *ἄκαρι* P. *παριδών τοι*] *παριδῶντος* B.

Sequitur hic in B inferior notatio p. 320, 8.

9. *Παρέστησεν* E. *καὶ* „*MSS*“ (*OUD.*) RaO, Phav. p. 530. b. om. GBCDPF. *εἰς τὸ μέσον*] *ἐς μέσον* Lb. 10. *ἐπόρθησαν* „*in omnibus*“ (*OUD.*) RaGBDPO, Phav. *ἐπορθήθεσαν* Rb. *ἐπορθήθησαν* C, probatum Hemsterhusio. *ἐπορθήτησαν* F. *ἐθάρρησαν* coni. Oudendorpius. 11. *τρίτῃ*] cap. 13.: *πολιορκεύμενοι χ. π.* 12. *ἐπόρθησαν*] *καὶ παρέστησαν ἀντὶ τοῦ ἐνίκησαν. Δημοσθένης.* add. Phavorinus.

13. *προβλέπω* Edd. *βλέπω* GB. *ὁ — αὐτῇ* GBCDP. *Ἡρόδοτος ἐν τῇ τρίτῃ* FO. Est cap. 159. 14. *προορέοντες* unus Parisinus Herodoti pro vulgato *προορέωντες*.

15. *Προέδοκεν* B, item p. 320, 2. *ὁδεῖνα* CDP.

καὶ ἐπιβούλως παρέδωκεν· ὅθεν καὶ προδοσία καὶ προδότης. καὶ προέδωκεν ὁ ποταμός ἀντὶ τοῦ ἐνέδωκε καὶ ἐπέλιπεν. ὁ αὐτὸς ἐν τῇ ἑβδόμῃ· οὐδέν μοι θῶμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστιν ὧν, ἤγουν ἐνδοῦναι καταποθέντα τῷ στρατοπέδῳ. λέγοιτο δ' ἂν καὶ προδοσία ἡ τοιαύτη ὕφεσις καὶ ἔκλειψις, οὐ μὴν καὶ προδότης.

Παρακελεύομαι καὶ διακελεύομαι καὶ ἐγκελεύομαι, κελεύω δὲ καὶ ἐπικελεύω. Πλάτων ἐν Φαίδωνι· ὅπερ ἔπραττον, τοῦτο ὑπελάμβανον αὐτό μοι παρακελεύεσθαί τε καὶ ἐπικελεύειν.

P.

---

1. παρέδοκεν B. 2. ἐνέδωκε] ἀνέδωκε Phav. p. 624. c. 3. ὁ αὐτὸς GBCDP. Ἡρόδοτος FO. ἑβδόμῃ] cap. 187. οὐδέν ARRO, Herodotus. οὐδὲ GBEdd., Phav., cod. Passion. Herod. 4. θῶμα RRGB, Herodotus hodie. θώϋμα AO, vulg. olim. Herod. θαῦμα La. δῶμα CDPF, Phav. τὰ ῥέεθρα — ἐνδοῦναι om. B. 5. ἔστιν ὧν GBEdd., aliquot libri Herodoti pro vulgato olim ἐνίων, nunc recepto ἔστι τῶν. om. Ox, Phav. „ἤγουν, ἐνδοῦναι] *Non habet hoc loco Ra, sed post στρατοπέδῳ legit:* ἤγουν ἐνδοῦναι καὶ ἐπιλιπεῖν." (*STOEB.*) καταποθέντα ALaRRGBO. καταποθοῦντα CDPF, Phav. 6. στρατωπέδω λέγοι τοδ' ἂν B. προδοσία] ἡ προδοσία Rb. 7. ἡ τοιαύτη] εἰ τοιαύτοι B. μὴν RRGBCDPO. μὲν F. om. Phav. cum ultimis.

Sequuntur hic in Ra, de quibus monitum p. 272, 9.

8. Hanc notationem om. Ra. De B vide ad p. 319, 8. δὲ ALLGBO. om. CDPF. 9. καὶ] καὶ ἐπὶ B. ἐν „*MSS*" (*OUD.*) GBDPO. om. CF. Φαίδωνι] p. 60. c. 10. τοῦτο om. Rb. αὐτό ALLRbGBO. αὐτόν CDPF.

Ρ.

Ῥαΐσας τῆς νόσου λέγε, μὴ κουφισθείς.

Ῥάων τριγενές. ἔστι γὰρ ὁ ῥάων, ὡς Δημοσθένης ἐν Ὀλυνθιακῷ πρώτῳ· ῥᾷονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. καὶ ἡ ῥάων, ὡς Θουκυδίδης· ῥᾴονος ἂν μετέσχομεν τῆς διόδου· καὶ τὸ ῥᾷον, ὅπερ [ἔσθ᾽ ὅτε] καὶ ἀντ᾽ ἐπιρρήματος λαμβάνεται. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ θάττων· ὁ θάττων γὰρ καὶ ἡ θάττων καὶ τὸ θᾶττον.

Ῥιγέω ῥιγῶ τὸ φοβοῦμαι, ὅπερ ἐστὶ ποιητικόν. Ὅμηρος ἐν μ' Ἰλιάδος·

Τρῶες δ' ἐρρίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν.

ῥιγόω δὲ ῥιγῶ ἐπὶ κρύους. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλ' ἐνερρίγωσ' ἔτη τριακαίδεκα.

---

1. *Ῥαΐσας* RRGBCDP. *ῥαίσας* FO. *λέγε τῆς νόσου* B. *κουφισθῇς* B.

2. *Ῥάων* FO. *ῥαῶν* B. *γὰρ* ALLGBO, Phav. p. 645. a. *δὲ* CDPF. 3. „*Ὀλυνθιακῷ πρ. ALL.*" *τῷ Ὀλυνθιακῷ πρώτῳ* GB. *τῷ Ὀλυνθιακῶν πρώτῳ* Edd. Est p. 11, 21. 5. *Θουκυδίδης*] Non repertum. 6. *ῥᾷον* GO. *ῥάον* BCDPF. *ἔσθ' ὅτε* Ra. *ἔσθ' ὅτι* Ox. om. GBEdd. *ἀντ'* ALaRRGB. *ἀντὶ* Edd. 7. *ἐπὶ τοῦ θάττων* ALaRRGB. *ἐπὶ τοῦ θάττον* Lb. *ἐπὶ τοῦ θάττονος* Edd. 8. *τὸ θάττον* B.

9. *ἐστιν* B. 10. *Ἰλιάδος*] XII, 208. 11. *Πρῶες δερρίγησω* B. *ἐρρίγησαν* GCDPO. *ἐρρίδησαν* F. *ἐρίγησαν* La. *ἐπεὶ* „*MSS*" (*OUD.*) RRGBCDP. *ὅπως* FO ex Homero. *ἴδον* indidem FO, B. *εἶδον* LbGC. *εἶδον* DP. *αἰόλον* G. *αἰόλον* B. Scribebatur *αἴολον*. 12. *ὄφειν* B. 13. *ῥιγόω δὲ ῥιγῶ ἐπὶ κρύους* „*MSS O.*" (*OUD.*) RRGBO, Phav. p. 646. b. *ῥιγόω δὲ ῥιγῶ ἐπὶ κρείοις* CDP. om. F. *Πλούτῳ*] v. 847. 15. *ἐνερίγωσ'* La.

καὶ Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ἤδη δέ τις ἐν καθαρῷ τῆς μεσημβρίας ἐρρίγωσε τῆς καταβολῆς ἐπελθούσης.

Ῥύπτεσθαι καὶ ῥύμμα Ἀττικοί· σμήχεσθαι καὶ σμῆγμα Ἕλληνες.

Ὡσαύτως οἱ μὲν ῥήγνυμι, Ἕλληνες δὲ ῥηγνύω καὶ ῥήσσω.

Ῥέγχω οὐδεὶς τῶν Ἀττικῶν, ἀλλὰ ῥέγκω. Ἀριστοφάνης ἐν νεφέλαις·

οἱ δ' οἰκέται ῥέγκουσιν.

Ῥοιά κάλλιον ἢ ῥόα. σημαίνουσι δὲ ἀμφότερα καὶ τὸν καρπὸν καὶ τὸ δένδρον.

Ῥοίδιον, οὐ ῥοΐδιον.

Ἡ ῥάξ ἐρεῖς· ὁ ῥώξ δὲ παράλογον, εἰ καί τινες. ἔστι δὲ ῥάξ ἐπὶ σταφυλῆς· ῥώξ δὲ ῥωγός ἐπὶ θηλυκοῦ καὶ αὐτὸ ζωύφιον τὸ λεγόμενον φαλάγγιον.

Ῥάφανον ἐπὶ τῆς ῥαφανίδος μὴ εἴπῃς· ῥάφανον γὰρ παρ' Ἀττικοῖς ἡ κράμβη· ἀλλὰ ῥαφανίς καὶ ῥαφάνη λέγε. ἀπὸ γὰρ τῆς ῥαφανίδος καὶ τὸ ἐραφανιδώθη. Συνέ-

---

1. *παναθιναϊκῷ* BP. Fallitur Thomas ut supra p. 205, 12.; est enim *ὑπὲρ τῶν τεττάρων*, vol. III, p. 275. (II, 221. Df.)

4. *Ῥύπτισθαι* B.

6. Disiunxi, quae cum priore §. nexa fuerunt, ut supra p. 312, 5. *ῥήσσω*] *ρύσσω* B.

8. *νεφέλαις*] v. 5. 9. *ῥέγκουσι* GB.

10. *ῥόα*] *ῥοά* Rb. *Ῥοιὰ τὸ δένδρον, ῥόα δὲ ὁ καρπός· δόκιμον δὲ καὶ ἄμφω ῥοιὰς λέγειν.* E. Moschopulus enim Syll. f. 157. a. extr. *ῥοιαί μὲν* ait *σὺν τῷ ῑ τὰ δένδρα, ῥοά δὲ ὁ καρπός.* Corr. *ῥοιά* et *ῥόα.*

13. *Ἡ* om. LL. *ὁ ῥὼξ δὲ* G. *ὁ δὲ ῥὼξ* ALaB. *ἡ ῥὼξ δὲ* EEdd. Cf. Phrynichum p. 75. 14. *ἐπισταφυλῆς* B. *ῥώγος* B. 15. *αὐτὸ ζωύφιον* „*MSS. O.*“ (*OUD.*) GCDO. *αὐτοζωΐφιον* PF. *αὐτὸς ζωύφιον* B. *τὸ* videtur intercidisse.

16. *εἴποις* La. *γὰρ*] *δὲ* Ra. 17. *ῥάφανις καὶ ῥάφανη* B. *λέγε*] *λέγεται* RaOx. 18. *ἐραφανιδώδη* „*omnes Codd.*“ (*OUD.*) RRGO. *ἐρρασφανιδώθη* B. *ἐραφανιδώθη* CDPF.

σιος ἐν τῷ ὑπὲρ φαλάκρας· οἱ δὲ κηπωροὶ τὰς Ἀττικὰς ῥαφανίδας φυτεύουσιν. οἱ δὲ Ἴωνες ῥέπανον τὴν ῥαφανίδα λέγουσιν.

Ῥεῖθρον ἐπὶ τοῦ ῥεύματος οὐδεὶς τῶν ἀρχαίων εἶπεν, ἀλλ' ἐπὶ τοῦ τόπου καθ' οὗ ὁ ποταμὸς φέρεται· ῥεῦμα δὲ καὶ ῥόθιον αὐτὸ τὸ ὕδωρ. ῥόθιον μέντοι οὐ μόνον ἐπὶ ποταμοῦ, ἀλλὰ καὶ τὸ μετὰ κτύπου κῦμα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὡς δὲ ἑώρα τὴν θάλατταν αἵματι καὶ ῥοθίῳ ζέουσαν.

Ῥίς Ἀττικοί, ῥίν Ἕλληνες. ἔστι δὲ ῥίς ἡ ἀπὸ τοῦ μεσοφρύου μέχρι τοῦ χείλους καταγωγή· μυκτῆρες δὲ αἱ τῶν ῥινῶν κατατρήσεις, δι' ὧν τὸ ὑγρὸν ἔξεισιν ἀποματτόμενον.

Ῥύγχος ἐπὶ χοίρων, ῥάμφος ἐπὶ ὀρνέων.

Ῥοδωνιά ὁ τῶν ῥόδων τόπος, ῥόδον δὲ τὸ ἄνθος· ῥοδῆ αὐτὸ τὸ δένδρον.

---

1. ὑπὲρ] ὑπὸ B. φαλάκρας] p. 85. a. κηπωροὶ DP. κηπουροὶ Synesius. 3. ῥέπανον GBE. ῥέφανον Ra, idemque coni. Wolfius. ῥάπανον La. ῥήπανον coni. Stoeberus. Cf. Ammon. p. 122., ex quo Moschopuli ῥάπαλον (Syll. f. 157. a.) mutandum in ῥάπανον. λέγουσι GB.

6. ὕδορ P. Ῥεῖθρον ἐπὶ τοῦ τόπου· ῥόθιον δὲ καὶ ῥεῦμα τὸ ὕδωρ ἐπὶ ποταμοῦ· καὶ ῥόθιον ἐπὶ θαλάττης τὸ μετὰ κτύπου πνεῦμα. E. 8. Παναθηναϊκῷ] vol. I, p. 246. (I, 230. Df.) 9. θάλαταν C. θάλασσαν Ra. αἶματι B. αἵμασι Ra.

11. χείλους] χίλους B. καταγογή P. 12. αἱ τῶν ῥινῶν κατατρήσεις „MSS. O.“ (OLD.) RRGBECDPO. om. F. 13. ἀπομυττόμενον Ox.

14. χοίρων] χόρων P. κυνῶν Mosch. Syll. f. 157. a., Phav. p. 647. a., in quibus, ut in E, haec continuata priori §. ὀρνέων ALLGBEO, Phav., Mosch. ὀρνίθων CDPF.

15. Ῥοδωνία P. ῥοδονία vitiose Mosch. Syll. f. 157. b. ῥόδων] ῥοδῶν B. ῥόδον] ῥόδιον Rb. δὲ om. A.

Ῥάμνος πᾶσα μὲν ἄκανθα, κυρίως δὲ ἡ τῶν ῥόδων.

Ῥοῦς ῥοῦ λέγε, ὡς πλοῦς πλοῦ, καὶ μὴ ῥόος. λέγεται δὲ ῥοῦς ἐπὶ θαλάττης καὶ ἐπὶ ποταμοῦ· ῥύαξ μέντοι ἐπὶ μόνου ποταμοῦ· ῥοὴ δὲ ἐπὶ δακρύων καὶ αἵματος. Ἀριστείδης δὲ βουλόμενος ἐνδείξασθαι πολὺ τὸ χυθὲν αἷμα τῶν Περσῶν, ὅτε τοῖς Ἕλλησι συνέβαλον, φησὶν ἐν τῷ Παναθηναϊκῷ· ὥστε οἱ τοῦ αἵματος ῥύακες ἤρκουν ἐν νοτίῳ ταῖς ναυσὶν εἶναι.

Ῥᾳδιουργὸς καὶ ὁ πλαστογράφος καὶ ὁ κακοῦργος ἁπλῶς. καὶ ῥᾳδιουργία ἡ πλαστογραφία τε καὶ ἡ θρασύτης καὶ ἡ δολιότης. Λουκιανὸς ἐν δραπέταις· ἐμπέπλησται ἡ πόλις τῆς τοιαύτης ῥᾳδιουργίας. Ξενοφῶν δὲ καί τινες ἄλλοι ἐχρήσαντο τῇ λέξει καὶ ἐπὶ εὐκολίας.

Ῥήτωρ τοπαλαιὸν ἐκαλεῖτο ὁ δήμῳ συμβουλεύων καὶ ὁ ἐν δή-

---

1. His proximam notationem continuant GE. δὲ om. B.

2. ῥόος GBEEdd. ῥοὸς Ra (cf. Herodian. p. 456. Piers.), quod ab correctore grammatico profectum tamen Schaeferus commendavit ad Bosii Ellips. p. 687. et ad Gregor. Cor. p. 480. 3. θαλάττης AE. θαλάσσης GBEdd. ῥύαξ — ποταμοῦ om. Lb. 6. αἱματῶν B. 7. Παναθηναϊκῷ] vol. I, p. 216. (I, 203. Df.) 8. ἐν νωτίῳ DP. ἐνωτίῳ Ox. ἐν ὄτιῳ La. ἐνοτίῳ Lb; assumpta proxima voce ἐννοτιώταις B.

9. πλαστογραφ^o P. 10. τε om. La. 11. δολιότις B. Λουκιανὸς] §. 16. vol. III, p. 373. δρωπέταις B. ἐμπέπλισται B. ἡ] πᾶσα ἡ Lucianus. 12. πόλης B. Ξενοφῶν] Cyrop. I, 6, 34. 13. καὶ ἐπὶ] ἐπὶν B. Ῥαδιουργία ἡ δολερὰ πρᾶξις, καὶ αὐτὸ τὸ ῥαδίως ἐργάζεσθαι· ἀφ' οὗ καταχρηστικῶς καὶ ἡ πονηρία ῥαδιουργία καλεῖται· ὡς παρείπομεν καὶ ἐπὶ τοῦ πανουργία· οὕτω δὴ καὶ ῥαδιουργὸς ὁ ῥαδίως πράττων, καὶ ὁ δολιευόμενος ἤγουν ὁ κακοῦργος, καὶ ὁ πλαστογράφος· ὡσαύτως ῥαδιουργία ἥ τε πλαστογραφία καὶ ἡ δολιότης καὶ ἡ θρασύτης καὶ ἡ εὐκολία· E. Quorum pars sumpta ex Moschopuli Syll. f. 157. a.

15. τοπαλαιὸν „MSS" (OUD.) GO. τοπαλειὸν C. τὸ παλαιὸν BDPF. δήμο συμβουλεύω B. ἐν δήμο B.

μῳ ἀγορεύων· ὕστερον δὲ καὶ ὁ παρ' ἑνός τινος καλούμενος ἐν δικαστηρίῳ λόγοις καὶ συνηγορίαις βοηθήσων, ἤγουν ὁ δυνάμενος ὑπεραπολογήσασθαί τινος ἐν ὑποθέσει, ὃς καὶ συνήγορος καὶ δικολόγος καλεῖται. ῥήτωρ καὶ ὁ κατὰ ῥήτορας γράφων, καὶ ῥητορικός, ὡς παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ· οὐ τῶν ῥητορικῶν οὐδὲ τῶν εὐπόρων. ἔστι δὲ ὅτε τὸ ῥήτωρ καὶ ἐπὶ διαβολῆς λαμβάνεται. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες,
καὶ συκοφάνται καὶ πονηροί.

Ῥικνόν τὸ παλαιὸν καὶ σαθρόν, καὶ ῥικνοῦσθαι τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ' εἶδος. λέγεται δὲ ῥικνοῦσθαι καὶ τὸ καμπύλον γίνεσθαι ἀσχημόνως, καὶ κατὰ συνουσίαν καὶ κατὰ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν.

Ῥοθοπυγίζειν τὸ σιμῷ ποδὶ παίειν τὰ γλουτὰ καὶ ῥόθον ἤτοι ἦχον ποιεῖν ἐν τῇ πυγῇ· καὶ ῥοθοπυγισμός τὸ αὐτό.

Ῥᾳστώνη ἡ νωθρία, ὅθεν καὶ τὸ ἐρρᾳστωνευμένος ἀπὸ τοῦ ῥᾳστωνεύω ἀχρήστου θέματος, καὶ ἐρρᾳστωνευμένως

5. ῥητορικός] ῥητορικά Iun. 6. ἐπιστολῇ] 750. p. 355. οὐ ARRGB, Libanius. οὐδὲ Edd. 8. Πλούτῳ] v. 30. 11. καὶ συκοφάνται BFO. καὶ om. CDP.

13. κατ' εἶδος P. 16. ὀσφήν BD.

17. ῥόθον] ῥόθιν B. 18. ἤτοι ἦχον D. ἤτι ἦχον P.

20. Ῥαστώνη scribebatur, itemque in cognatis formis, et ῥαθύμως. Ῥαστῶν B. ὅθεν καὶ τὸ ἐρραστωνευμένος (ἐρραστωνευμένως G) ἀπὸ τοῦ — ἀντὶ τοῦ ῥαθύμως GBEdd. ἐρραστωνευμένος — θέματος καὶ om. Lb. Phav. p. 644. b. Pauciora om. A sic transponens: ὅθεν καὶ τὸ ἐρραστωνευμένως ἐπίρρημα ἀντὶ τοῦ ῥαθύμως ἀπὸ τοῦ ῥαστωνεύω ἀχρήστου θέματος. quod placuit Oudendorpio.

ἐπίρρημα ἀντὶ τοῦ ῥαθύμως. ῥαστώνη καὶ ἡ ἡδονή. Συνέσιος ἐν ἐπιστολῇ τῇ Ἀπέκτονε, φησί τις, Ἰωάννης Αἰμίλιον· ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥαστώνης. ῥαστώνη καὶ ἡ ἄνεσις, ὡς τὸ ῥαστώνην ἔσχον τῶν δυσχερῶν. ῥαστώνη καὶ ἡ εὐκολία. Ἀριστείδης ἐν τῷ πανηγυρικῷ· ὁπόσον τὸ τῆς ῥαστώνης αὐτῷ περίεστι καὶ ἐν τοῖς καθάπαξ ἀπόροις εἶναι δοκοῦσι.

Καὶ ῥῆμα καὶ ῥημάτιον.

Ῥυπαίνω καὶ τὸ μολύνω καὶ τὸ ὑβρίζω, ὡς Φερεκράτης, διὰ τὸ τὴν ὕβριν ὡσπερεὶ μολυσμὸν εἶναι πρὸς ὅντινα λέγεται.

Ῥάθυμος ἄνθρωπος ὁ ἀμελὴς καὶ νωθρός, ῥάθυμος δὲ παιδιά ἡ φαύλη καὶ ἠμελημένη. Φιλόστρατος· οὐ ῥάθυμον παιδιὰν, ἀλλ' ἀγχίνουν τε καὶ εἴσω σπουδῆς.

---

1. ἐπίρρυμα B. ῥαστωνὴ B. ἡ „MSS" (OUD.) GBCDPO. om. F. 2. ἐπιστολῇ] 50. p. 189. a. ἀπέκτονε GBCO. ἀπέκτανε DP. αἐπέκτονε F. ἀπέκτεινε Rb, idemque γρ. apud Synesium. 3. Αἰμίλιον G. Αἱμίλιον BCDP. Αἰμύλιον FO ex Synesio. ἀφεκόντων CD. 4. ῥαστωννς D. καὶ] δὲ καὶ B. 5. εὐκαλία B. 6. ἐν τῷ πανηγυρικῷ ALaBOxO. om. RR. ἐν τῷ παναθηναϊκῷ GCDPF. Est autem ἐν τῷ πανηγυρικῷ ἐν Κυζίκῳ περὶ τοῦ ναοῦ vol. I, p. 413. (I, 382. Df.) 7. καὶ ἐν] καὶ vulgatum erat apud Aristidem, sed κἂν Laurentianus Δ.

9. Καὶ ῥῆμα] καὶ om. BE. ῥημάτιον] ὁ βραχὺς λόγος· ῥύμμα δὲ ἡ κάθασις (h. e. κάθαρσις) ἀπὸ τοῦ ῥύπτω, ὃ σημαίνει τὸ δι' ὑγροῦ καθαίρω· καὶ σμῆγμα δὲ τὸ αὐτὸ, ἀπὸ τοῦ σμήχω. add. E, assumptis quibusdam ex priore § p. 322, 4.

10. Φερεκράτης] p. 77. Runkel. 11. τὸ om. Rb. ὥσπερ εἰ μολυσμὸν P. ὡς παραμολυσμὸν B.

13. Ῥάθυμος scribebatur constanter. ἀμελεὶς B. 14. Φιλόστρατος] Heroic. 10, 2. p. 708. 15. ῥάθυμον] εἶναι add. B. παιδίαν B.

Ῥιπτοῦμαι Ἀττικοὶ παθητικῶς, ῥίπτω δὲ ἁπλῶς Ἕλληνες. ἰστέον δὲ ὅτι ῥίπτω μὲν τὸ ἁπλῶς ῥίπτω, ῥιπτῶ δὲ περισπωμένως καὶ ῥιπτοῦμαι τὸ μετὰ σφοδρότητος. Θουκυδίδης· *τοσόνδε κίνδυνον ἀνερριπτοῦντο.*

Ῥαθυμῶ ἐγὼ καὶ καταρραθυμῶ, καὶ ῥαθυμῶ δὲ ἕτερον καὶ καταρραθυμῶ ἤτοι ῥαθυμεῖν ποιῶ καὶ ἀνίημι. Φιλόστρατος ἐν εἰκόσιν· *ἔοικε τοῦτο διαφεύγειν τὴν χεῖρα καταρραθυμοῦντος αὐτὴν τοῦ ὕπνου.*

Σ.

Συνδεῖ κάλλιον ἢ δεσμεῖ. Ἀριστοφάνης ἐν βατράχοις·
συνδεῖτε ταχέως τουτονὶ τὸν κυνοκλόπον.

Σχολὴν ἄγω καὶ εὖ σχολῆς ἔχω, οὐ σχολάζω. τὸ δὲ εὐκαιρεῖν πάντῃ ἀδόκιμον.

---

1. Ῥιπτοῦμαι „*MSS.*" (*OUD.*) GBEdd. ῥίπτομαι coni. Oudendorpius. Forsitan scribendum ῥιπτῶ δὲ ἁπλῶς. 3. πρισπωμένως B. σφοδρωτήτως B. 4. Θουκυδίδης] IV, cap. 95. τοσόνδε G. τοσὸν δὲ BEdd. ἀναρριπτοῦμεν Thucydides.

6. Ῥαθυμῶ et simil. scribebatur. καταρραθυμῶ] ἐγὼ καταραθυμῶ B. καταραθυμῶ Rb. καὶ ῥαθυμῶ — καταρραθυμῶ (v. 7.) om. Rb. 8. εἰκόσιν] I, 2. p. 765. (6, 18. Iac.) διαφεύγειν ALLRRGBO, Phav. p. 643. c., et omisso simul τοῦτο Philostratus. διὰ τοῦ φεύγειν CDPF. 10. ὕπνου] ἐνθυμῶ ἕτερον οὐκ ἔστιν, ἀλλὰ καταρραθυμῶ. add. G.

11. δεσμεῖ ALLRRGBOxO, Phav. p. 680. c. συνδεσμεῖ CDPF βατράχοις] v. 605. 12. συνδεῖτε ταχέως GB. συνδεῖτε etiam RR. ξυνδεῖτε ταχέως FO ex Aristophane. ταχέως συνδεῖτε CDP.

14. εὐσχόλης B. 15. πάντῃ ALLRRGBOxO. πάνυ CDPF.

Καὶ συμφέρον λέγε καὶ σύμφορον, ὡς *Αἰσχίνης*· εἰ τοῦτο εἶναι δοκοίη σύμφορον.

Σῶς, οὐχὶ σῶος, καὶ σῶν, οὐχὶ σῶον, καὶ σῶς, οὐχὶ σώους· σῶοι δὲ μόνον. ἐπὶ δὲ τοῦ θηλυκοῦ ἡ αἰτιατικὴ τῶν πληθυντικῶν μόνη συναιρεῖται· σῶς γὰρ λέγομεν, οὐχὶ σώας. ὡσαύτως καὶ ἐπὶ τοῦ οὐδετέρου μόναι ἥ τε εὐθεῖα τῶν ἑνικῶν καὶ ἡ αἰτιατικὴ συναιροῦνται· σῶν γὰρ λέγομεν, οὐχὶ σῶον, σῶα δέ.

Συλλαμβάνω δόκιμον, οὐ συνεπιλαμβάνω· συνεπιλαμβάνομαι δὲ καὶ συλλαμβάνομαι. συντάσσονται δὲ ἀπὸ δοτικῆς εἰς γενικήν.

Συβώτης Ἀττικοὶ καὶ συβωτεῖν, οὐ συφορβός οὐδὲ συφορβεῖν.

Σέες Ἀττικοὶ καὶ σέας ἀπὸ τῆς σείς ἀχρίστου εὐθείας, ὥσπερ καὶ υἱέας ἀπὸ τῆς υἱεύς. *Λουκιανὸς* ἐν τῷ πρὸς ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον· καὶ συμβούλους τοὺς σέας ἐπὶ τὴν ἐξέτασιν παρα-

---

1. *Καὶ* ab initio „*MSS*" (*OUD.*) GCDPO. om. BF. *Αἰσχίνης* ALLRRGBOxO. *Αἰσχύλος* CDPF. Est de f. leg. p. 85. St. (237. Rk.) *εἰ τοῦτο* Edd., Aeschines. *εἰς τοῦτο* G. *εἶ στοῦτο* B.

Huc translatae in B posteriores duae notationes *Οὐ μόνον συμφέρων* — et *Συμφορά οὐ μόνον* —.

3. *σῶν* ALLRRGBOxE, Iun., O, Phav. p. 688. a. om. CDP F. *σῶον*] *σοῦν* B. 4. *σώους*] *σώας* E. *μόνον* „*MSS*" (*OUD.*) RbGBDPO, Phav. *μόρον* CF. *ἡ*] *αἱ* G. 5. *τῶν πληθυντικῶν μόνη* GB, Phav. *μόνη τῶν πληθυντικῶν* Edd.
6. *σώας* GBCDP. *σῶας* EFO, Phav. 7. *οὐδετέρου, μόναι γάρ, ἥτε* B. 8. *δέ*] *καὶ σᾶ, παρὰ Θουκυδίδῃ* add. Phav.

10. *συλλαμβάνωμαι* CD. *δὲ* om. P.

12. *Συβώτης*] *συβώτις* B.

14. *Ἀττικὸν* B. *σεύς*] *σεῦ* G. 15. *τῆς υἱεύς* ALLRa GBO. *τοῦ υἱεύς* CDPF. *Λουκιανὸς*] §. 1. vol. III, p. 99.
17. *συμβουλῶς* B.

λαμβάνεις. σῆτες δὲ καὶ σῆτας Ἑλληνικὸν ἀπὸ τοῦ σής σητός.

Σφέ καὶ αὐτόν παρὰ ποιηταῖς· σφεῖς καὶ αὐτοί παρὰ μόνῳ τῷ Θουκυδίδῃ [καὶ παρὰ Πλάτωνι·] σφῶν δὲ καὶ σφίσι καὶ σφᾶς παρὰ πᾶσι τοῖς ῥήτορσιν. οὐ μόνον δὲ σφεῖς καὶ σφῶν καὶ σφίσι καὶ σφᾶς γράφεται, ἀλλὰ καὶ σφεῖς αὐτοί καὶ σφῶν αὐτῶν καὶ σφίσιν αὐτοῖς καὶ σφᾶς αὐτούς. δηλοῦσι δὲ ἁπλᾶ μὲν κείμενα τὸ αὐτοί, αὐτῶν, αὐτοῖς, αὐτούς, μετὰ δὲ τῆς προσθήκης πλὴν τῆς εὐθείας ἑαυτῶν, ἑαυτοῖς, ἑαυτούς· οὐδὲ γὰρ οἷόν τε ἑαυτός ἐπὶ τῆς εὐθείας ἢ ἑαυτοί λέγειν. καὶ διὰ τοῦτο οὐδὲ σφεῖς αὐτοί ἀντὶ τοῦ ἑαυτοί, ἀλλ᾽ ἀντὶ τοῦ αὐτοί μόνον ἐκ παραλλήλου λέγομεν. οἱ δὲ σφῶν ἑαυτῶν καὶ σφίσιν ἑαυτοῖς καὶ σφᾶς ἑαυτούς γράφοντες ἁμαρτάνουσιν· οὐδεὶς γὰρ τῶν ἀντιποιουμένων ἀκριβείας μετὰ τοῦ ε̅ εἶπε. τίθενται δὲ ταῦτα ἐπὶ τρίτου προσώπου· οἱ δὲ ἐπὶ δευτέρου τίθεντες σολοικίζουσιν. ὥσπερ δὲ ἀπὸ τοῦ ἡμεῖς ἡμέτερος ἡμετέρα ἡμέτερον, καὶ χρώμεθα τούτῳ ἐπὶ πληθυντικοῦ μόνον· τὸ γὰρ ἡμέτερος κόσμος καὶ ἡμετέρα ἐπιστήμη καὶ ἡμέτερον ἐγκαλλώπισμα ἀντὶ τοῦ ἡμῶν κόσμος καὶ

---

1. A σῆτες novam §. B orditur. ἑλληνινικὸν P. τοῦ] τῆς B. 2. σής „MSS“ (OUD.) RRGO. σῆς BCDPF.

3. παρὰ ποιηταῖς· σφεῖς καὶ αὐτοί ALLRRGBOxO. om. CD PF. 4. καὶ παρὰ Πλάτωνι om. GB. 6. σφῶν] φῶν P. 9. μετὰ δὲ — ἑαυτούς om. La. 11. οἷόν τε] οἵων τε P. 12. οὐδὲ] οὐ Rb. σφεῖς] σφεῦ B. 13. λέγομεν om. RR. 14. σφᾶς] σφὰς B. 15. εἱμαρτάνουσιν B. ἀκριβείας ἀντιποιουμένων B. 16. τίθεται Ra. ἐπὶ | τρίτον B. 18. ἡμέτερος, ἡμετέρα „MSS“ (OUD.) RRGO. om. CD PF. Sed in B sic legitur: ὥσπερ δὲ ἀπὸ τοῦ ὑμεῖς ὑμέτερος ἡν ὑμετέρα ἢ ὑμέτερον καὶ χρώμεθα c. q. s., atque in G quater ὑ scriptum supra ἡ eadem manu. 20. μόνου (ον) G ead. manu.
21. ἐγκαλώπισμα B.

ἐπιστήμη καὶ ἐγκαλλώπισμά εἰσιν· οὕτω καὶ ἀπὸ τοῦ σφεῖς σφέτερος σφετέρα σφέτερον γίνεται. δεῖ δὲ χρῆσθαι τούτοις ἐπὶ πληθυντικοῦ. εἰ δὲ καὶ ἐπὶ ἑνικοῦ ἅπαξ εὕρηται, οἷον ὁ δεῖνα τὴν σφετέραν κακίαν ἐνδείκνυται, ἀλλ' οὐ δεῖ τῷ ἅπαξ εἰρημένῳ χρῆσθαι. τὸ δὲ λέγειν, ὡς ἀπὸ τοῦ σφέ σφέτερος γίνεται καὶ διὰ τοῦτο οὐδὲν κωλύει καὶ ἐπὶ ἑνικοῦ τὸ σφέτερος λέγεσθαι, οὔ μοι δοκεῖ καλῶς λέγεσθαι. ὥσπερ δὲ αἱ πρωτότυποι τούτων ἀντωνυμίαι καὶ ἁπλῶς τίθενται καὶ μετὰ προσθήκης· λέγομεν γὰρ καὶ ἡμεῖς καὶ σφεῖς καὶ ἡμεῖς αὐτοί καὶ σφεῖς αὐτοί· οὕτω καὶ αἱ παράγωγοι αὗται ἔχουσιν. οὐ γὰρ μόνον ἡμέτερος καὶ σφέτερος, ἀλλὰ καὶ ἡμέτερος αὐτῶν καὶ σφέτερος αὐτῶν ἐκ παραλλήλου.

Σταθεῦσαι Ἀττικοὶ, στατεῦσαι Ἕλληνες· δηλοῖ δὲ τὸ ἱστάμενον φλέγεσθαι. ἔστι δὲ ποιητικὸν, ἐξ οὗ καὶ ὄνομα σταθευτός, ἀπὸ τοῦ στατός καὶ τοῦ εὔω τὸ καίω [τρεπομένου τοῦ τ̄ εἰς θ̄.]. Αἰσχύλος ἐν Προμηθεῖ·

σταθευτὸς δ' ἡλίου φοίβῃ φλογί.

Σικελός ὁ ἐξ αὐτῆς τῆς Σικελίας ὤν· Σικελιώτης δὲ ὁ Σι-

---

2. σφέτερον „MSS“ (OUD.) RRGO. om. CDPF. καὶ σφέτερον B. 3. ἐπὶ] καὶ ἐπὶ Ra. 5. χρῆσθαι B. 6. σφέ om. G. 7. κολύει B. λέγεσθαι GBEdd. γίνεσθαι RR.

9. τουτῶν B. ἀντωκυμίαι B. 10. ἡμεῖς bis ALaOx. ὑμεῖς GBEdd. „Forsan utrumque scripserit.“ OUD. 11. οὑτῶ B. αἱ om. GB. 12. αὐταὶ B. γὰρ om. Ra. ἡμέτερος hic et v. sq. ALaGBOx. ὑμέτερος Edd. 13. ἡμέτερος αὐτῶν ἐκ παραλλήλου, καὶ σφέτερος αὐτῶν γράφεται B.

17. σταθευτός] στατευτὸς B. εὔω Stoeberus, O. εὕω GB CDPF. 18. τρεπομένου τοῦ τ̄ εἰς θ̄ addunt RaOx. om. GB Edd. Προμυθεῖ CD. Est v. 22. 19. στατευτὸς CDP. δ' ἡλίου] δηλίου B. φοίβῃ BF. φοῖβοι P. φοίβοι D. φοίβῳ Iun.

20. Σίκελος B constanter. ὁ — ὢν] ὁ αὐτόχθων E. Σικελιωτῆς B.

κελὸς μὲν μὴ ὤν, τὴν δὲ χώραν ταύτην οἰκῶν. Θουκυδίδης ἐν τῇ ἑβδόμῃ· πορευομένων δ' ἤδη τῶν Σικελιωτῶν Σικελοὶ, καθάπερ ἐδέοντο οἱ Ἀθηναῖοι, ἐνέδραν ποιησάμενοι.

Σιτοῦμαι τὸ τρώγω· ἐπισιτίζομαι δὲ τὸ ἐφόδια ἁπλῶς λαμβάνω ἤγουν μετὰ τὸ φαγεῖν λαμβάνω καὶ οὕτως ἀπέρχομαι.

Σιγηλὸς καὶ σιωπηλὸς οὐ ῥητορικά· σὺ οὖν σιγῶν λέγε.

Σμινύη καὶ δίκελλα, οὐ σκαφεῖον. Ἀριστοφάνης ἐν νεφέλαις·

ἣν ἡ σμινύη μὴ προδῷ τὰς ἐλπίδας.

[καὶ] Λιβάνιος ἐν μελέτῃ τῇ Δύσκολος ὤλισθε· πεπληγυῖαν ἐν ταῖς πέτραις τὴν δίκελλαν ἰασόμενος.

Τὸ σίαλον Ἀττικοὶ, ὁ σίελος Ἕλληνες. Λουκιανὸς ἐν τῷ κατάπλους ἢ τύραννος· σιάλῳ χρίσας τοὺς ὀφθαλμούς.

---

1. ταυτὴν B. 2. ἑβδόμῃ] cap. 32. 3. οἱ Σικελοὶ Thucydides. ἐδέοντο C. 4. ἔνεδραν CDP. ἐνίδραν B. ἐνέδραν τινὰ τριχῇ Thucydides: sed τινὰ ab uno, τριχῇ abest a plerisque eius libris.

5. ἐπισιτίζομαι etiam Mosch. Syll. f. 157. b. ἐπισιτοῦμαι E π. ῥ., Phav. p. 259. b. 6. ἤγουν restitui e Moschopulo et Phavorino. Legebatur ἢ. καὶ οὕτως „MSS" (OUD.) RRGBCDP O. οὕτως F. καὶ Mosch., Phav.

8. σιγῶν ALLRbGBO. σιγών Ra. σιγᾶν CDPF, cui addi οἷος aut δυνάμενος Wolfius voluit. .....ἀλλὰ μετοχὴν ἀντὶ τούτων λέγειν εἰκός, ἤγουν σιγῶν E.

9. Σμιννύη E. δίκαλλα D. νεφέλαις] v. 1500.

11. σμινύη μοι μὴ FO ex Aristophane. μοι om. ALLRRGBCD P. 12. καὶ om. ALaGB. μελέτῃ] vol. I, p. 793. (IV, p. 613, 20. Rk.) ὤλισθεν B, Liban. 13. δίκελαν B.

15. Τὸ om. E. ὁ σίαλος E. Λουκιανὸς] §. 12. vol. I, p. 634., ubi nunc est σιέλῳ. 16. χρΐσας B. χρήσας Ra. χρίσασα Lucianus.

Σπάδων οὐκ ἐρεῖς, ἀλλὰ εὐνοῦχος.

Σύνθημα, οὐ σύνθεμα.

Σύμβολον καὶ σύμβολα τὰ σημεῖα. καὶ σύμβολα πληθυντικῶς μόνον αἱ περὶ τὰ συμβόλαια τῶν ἐμπόρων δίκαι. Δημοσθένης· συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους. καὶ πάλιν· ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι.

Στρωματεύς μὴ εἴπῃς ἐπὶ στρωμάτων, ἀλλὰ στρωματόδεσμος καὶ στρωματόδεσμον οὐδετέρως. Αἰσχίνης· ἄνθρωποι δύο στρωματόδεσμα φέροντες.

Σαπρὸς οἶνός ἐστιν ὁ πρὸς τῷ τέλει ὑλώδης· σαπρὰ δὲ τρὺξ ἡ σεσημμένη. Ἀριστείδης ἐν τῷ κατὰ ἐξορχουμένων· οὐδ᾽ ἀντ᾽ οἴνου τρύγα καὶ ταύτην σαπράν.

Σαλπίζω σαλπίγξω, οὐ σαλπίσω· καὶ σαλπιγκτής, οὐ σαλπιστής. Θουκυδίδης ἐν τῇ ἕκτῃ· καὶ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις.

---

2. σύνθεμα] Agglutinarunt FO inferiorem notationem, cuius initium Σύνθημα τὸ ἐπιφώνημα.

4. συμβόλαια ALLRRGEO. συμβολαιὰ B. σύμβολα CDPF. 5. Δημοσθένης] περὶ Ἁλοννήσου p. 79, 13. 6. πάλιν] Ibidem p. 79, 2. 7. συμβόλοις B.

9. εἴποις La. 10. Αἰσχίνης] de f. leg. p. 41. St. (273. Bk.)

12. οἶνος B. πρ. τὸ τέλος Lb. ὑλώδης] ἰλώδης coni. Trillerus ad Thom. p. 472. Bern.: illud Schaeferus defendit ad Gregor. Cor. p. 555. σαπρὰ δέ τρης ἦτε τρὺξ La. 13. σεσημμένη RRGBO, procul dubio etiam ALL, ex quibus σησημμένη affertur. σεσημένη E. σεσαπημμένη CF. σεσαπημένη DP. Ἀριστείδης] vol. III, p. 691. (II, 548. Df.) 14. ταυτὴν B.

16. σαλπίσο B. 17. τῇ ἕκτῃ] τῇ. ϛ̄. B. Est VI, cap. 69. σαλπιγκταὶ GBEdd. σαλπικταὶ LL. 18. σύνοδον G.

[Σκυτοτόμος κρεῖττον ἢ σκυτεύς.]

Σκίμπους ῥητορικόν, κράββατος κοινόν. Λιβάνιος ἐν τῇ τοῦ φθονεροῦ μελέτῃ· πεσὼν εἰς τὸν σκίμποδα τὸν οὐκ ἀμειφθέντα παρὰ τῆς τύχης. λέγεται δὲ σκίμπους καὶ τὸ σκαμνίον. Ἀριστοφάνης ἐν νεφέλαις·

κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.

Ὁ σκότος καὶ τὸ σκότος· τὸ δὲ σκοτία οὐκ ἐν χρήσει. Εὐριπίδης ἐν Φοινίσσαις·

σκότος δεδορκώς.

Σμῶμαι καὶ σμῆσαι καὶ σμῆμα Ἀττικῶν· σμήχομαι δὲ καὶ σμῆξαι καὶ σμῆγμα ἀνάττικα.

Σαίρειν, οὐ σαροῦν. Εὐριπίδης ἐν Ἑκάβῃ·

σαίρειν τε δῶμα κερκίσι τ᾽ ἐφεστάναι.

---

1. Accessit haec §. ex solo B. *Σκυτοτόμος* correximus pro *Σκυτοτίμος*.

3. *μελέτῃ*] vol. I, p. 331. b. (IV, p. 167, 23. Rk.) *πεσὼν*] *ῥίψας ἐμαυτὸν* Libanius. 5. *σκαμνίον* ALLRRGBE, commendatum a Schaefero indice ad Gregor. Cor. p. 1060. *σκαμνεῖον* Edd. 6. *νεφέλαις*] v. 255.

9. *Ὁ* GBEdd. om. ALL. *χρήσῃ* B. 10. *Φοινίσσαις*] v. 388. Pors. 11. *σκότος* GB. Legebatur *σκότον*, ut apud Euripidem. Sed rarioris formae exemplum proferendum grammatico fuit.

Affertur hic ex Ox ea notatio, quam nos extremam fecimus huius litterae: afferri autem propter litterarum ordinem patet.

12. *Σμῶμαι*] *σμῶσαι* B. *σμῆμα* ALLRRGB, Iun., O. *σμῆνα* CDPF. *Ἀττικῶν* LLGB: quanquam, ubi iterum Thomas sic locutus sit, ignoro. *Ἀττικόν* coni. Oudendorpius. *Ἀττικά* Edd. *καὶ σμῆξαι*] *καὶ* om. B. 13. *ἀνattικὸν* Lb. *Σμῶμαι τὸ καθαίρομαι* Επ. ῥ.

14. *Ἑκάβῃ*] v. 363. 15. *τε*] *τὶ* C. *κερκίσι τ᾽* ALLG CDP. *κερκίσι* B. *κερκίσιν τ᾽* FO ex Euripide. „*κερκίσι ἐφιστ.* RR."

Σπιλάς Ἀττικοὶ, ὕφαλος πέτρα Ἕλληνες· εἰ δὲ ὕφαλος μόνον εἴποις ἄνευ τοῦ πέτρα, κάλλιστον.

Σκευωρία καὶ σκευώρημα, οὐ σκευή. λέγεται δὲ σκευὴ καὶ ἡ διακόσμησις, οἷον ὅπλων σκευή, ὅπερ ἐστὶ κάλλιστον.

Στύραξ θηλυκῶς μὲν θυμίαμά τι. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· στύρακος ἅμα ὀσμῇ θεραπεύσας τὸν θεόν. ἀρσενικῶς δὲ ὁ συνέχων τὴν αἰχμὴν μετὰ τοῦ ξύλου κρίκος. καὶ στυράκιον οὐδετέρως. Συνέσιος ἐν ἐπιστολῇ· μετὰ τῶν στυρακίων μέντοι τὰ βέλη.

Σιτίζειν Ἀττικοὶ, οὐ σιτεύειν οὐδὲ ψωμίζειν· σιτευτός μέντοι, οὐ σιτιστός, οἷον σιτευτὸς ὄρνις.

Σκαιός, οὐκ ἐπαρίστερος. σκαιὰ χεὶρ καὶ λαιά· τὸ δὲ ἀριστερά κοινότερον. ἀριστεροστάτης μέντοι ὁ ἐν ἀριστερῷ ἱστάμενος κάλλιστον. Ἀριστείδης ἐν Μιλτιάδῃ·

---

2. *μόνον* BFO. *μόνος* CDP et ut videtur G. *μόνως* Iun., quod probarem, si usitatum Thomae esset. *εἴποις* LaGB. *εἴπῃς* Edd. *κάλλιστον* ALLRRGB. *κάλλιον* Edd. Cf. p. 15, 6. 334, 16. alibi.

3. Ante hanc §. B collocavit proximam. *σκευωρήγμα* B. *οὐ* ALLRRGBO. *ἡ* CDPF. *σκευή*] *σημαίνει δὲ τὴν ἐπιβουλήν, καὶ τὸν κατά τινος δόλον* add. E. 4. *κκευὴ* B. De quanam Thomae emendatione Hemsterhusius cogitarit ad Polluc. IX, 133. p. 1118. b., non assequor.

6. *θηλυκῶς* ALaRRGBOxEO, Mosch. Syll. f. 158. a. ex Ammon. p. 132. om. CDPF. *ἐν τῷ* GBEdd. *ἐν τῇ* LL. 7. *τύχης*] vol. II, p. 68. (I, p. 138, 10. Rk.) *ὀσμῆν* B. 9. *μετὰ*] *κατὰ* O, typothetae puto errore. *ξύλου*] *ξίφους καὶ τοῦ ξύλου* E. *στυράκων* B. 10. *ἐπιστολῇ*] 132. p. 269. d. 11. *βέλη*] *μέλη* Rb.

14. A *σκαιὰ* novam §. orditur B. *σκαιὰ δὲ χεὶρ καὶ λαιά, οὐκ ἀριστερά . σκαιά καὶ ἡ κακὴ γνώμη καὶ μοχθηρά.* E. 15. *ἀριστεροστάτης* GEEdd. *ἀριστεροτάτης* RRB. 16. *ἀριστέρῳ* B. *κάλλιστον* ALLGBOxO. *κάλλιον* CDPF. *Μιλτιάδῃ*] vol. III, p. 268. (II, 216. Df.)

πλὴν ὅσον οὐκ ἀριστεροστάτης ἀνήρ, ἀλλὰ τοῦ δεξιοῦ τοῖς Ἕλλησι κέρως. ἔστι δὲ καὶ σκαιὰ γνώμη ἡ κακὴ καὶ ἀπαίδευτος.

Σῶκκον τὸν Ἑρμῆν διὰ δύο κκ Δωριεῖς· Ἀττικοὶ δὲ δι' ἑνός.

Σιτομετρεῖσθαι μὴ λέγε, ἀλλὰ διαλελυμένως σῖτον μετρεῖσθαι.

Στῆθος καὶ στηθίδιον λέγε ὑποκοριστικῶς, μὴ στηθύνιον.

Συλῶ τὸ κλέπτω, ἀφ' οὗ [καὶ] ἱερόσυλος· καὶ συλῶ τὸ βλάπτω ποιητικῶς, ὡς παρ' Ὁμήρῳ ἐν π' Ἰλιάδος·

κεῖται ἀνήρ, ὃς πρῶτος ἐσύλα τεῖχος Ἀχαιῶν.

Συγκαταβαίνειν οὐκ ἐρεῖς, ἀλλὰ συγκαθιέναι καὶ συγκαθῆκεν εἰς τὸ παίζειν.

---

1. *ἀριστεροσ.άτης* Aristidi verissime nunc restitutum ex Laur. Θ pro *ἀριστεροτάτης*. *ἀνὴρ* „*MSS*“ (*OUD.*) GBCDPO. om. F. *ἀλλὰ*] *μᾶλλον ἢ* Aristides. 2. *δὲ* om. La. 3. *σκεὰ* B.

4. *δύο κ̄* DP. *β̄. κ̄.* B. *Ἀττικοὶ*] *ἀττικῶς* B.

6. *ἀλλὰ — στηθίδιον λέγε* (v. 8.) om. B.

8. *ὑπὸ κοριστικῇ* priori §. continuans B. *στηθύνιον*] *στηθήνιον* Phavorini p. 670. c. commendavit Stoeberus, reprobavit Lobeckius ad Phryn. p. 384. *Στῆθος καὶ στηθύδιον, οὐ στηθήνιον* E.

9. *κλέπτας* B. *ἀφ' οὗ καὶ* RR, Mosch. Syll. f. 158. b. *ἀφ' οὗ* ALLGBOxO, Phav. p. 678. b. *ὑφ' οὗ* CDPF. 10. *τὸ βλάπτω* ALLRRGOxCDPO. *τὸ* om. F. *τὸ βλάπτες* B. *τὸ σαλεύω* E, Mosch., Phav. *Ὁμήρου* B. *Ἰλιάδος*] XVI, 558.

11. *ὃς*] *οἳ* Ra. *ἐσύλα* LaRRO, Phav. *ἐσύλατο* LbGB, *ἐσύλα τὸ* CDPF, *ἐσύλωτο* Mosch.: quod etsi propius accedit ad Homeri *ἐσήλατο*, tamen quia non item, ut Moschopulus, Lysaniae interpretationem *σαλεύω* (*ΣΑΛΩ*) Thomas sequitur, ponenda ea forma fuit, quae vere fit a *συλῶ*. Promptissimum sane videatur *ἐσύλα τὸ*: modo firmatius esset a librorum fide.

13. *συγκαθιέναι* GBECDPF, Phav. p. 675. c. *συγκατιέναι* LaO, olim Phrynich. p. 398.

Συλλαμβάνει ὁ δεῖνα τῷ δεῖνι ἤγουν βοηθεῖ, ὃ καὶ συνεπιλαμβάνει λέγεται. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς. καὶ συλλαμβάνει ἡ γυνὴ παιδίον ἤγουν ἑαυτῇ ἕτερον λαμβάνει. καθὸ λέγεται καὶ συλλαβή, ὅταν γράμμα ἕτερον γράμμα συλλάβῃ· καὶ γὰρ αἱ μονογράμματοι καταχρηστικῶς λέγονται συλλαβαί. συλλαμβάνειν λέγεται καὶ ὅταν τινά τις κρατήσῃ.

Σύμμετρον τὸ μήτε ὑπερέχον μήτε ἐλαττούμενον, καὶ τὸ ἐξαρκοῦν καὶ ἁρμόζον. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· πᾶσι δὲ συλλόγοις καὶ βουλευτηρίοις σύμμετρος.

Σκνιφός ἐπὶ τοῦ γλίσχρου καὶ μικροπρεποῦς περὶ τὰ ἀναλώματα· οἱ δὲ ἀρχαῖοι σκνιπός λέγουσιν ἀπὸ τοῦ ζωυφίου τοῦ σκνιπὸς τοῦ τὰ ξύλα καταβραχὺ ἐσθίοντος.

[Συ]-

---

1. ἤγουν] ἤως B, item v. 4. 2. τῇ] τῷ B. δευτέρᾳ] cap. 8. 3. λόγῳ] λίγω B. συνεπιλαμβάνειν αὐτόν Ra. 4. ἑαυτῇ ALLRRGBO. αὐτῇ CDP, Mosch. p. 158. b., Phav. p. 678. a. αὐτῷ F. ἑαυτῇ καὶ Επ. ῥ. omisso παιδίον. 6. μονογράμματοι etiam Moschop. μονόγραμμοι coni. Oudendorpius, contra quem dixit Schaeferus ad Bosii Ell. p. 452. 8. ὁτάν C.

9. ἐλαττούμενον GB. ἐλασσούμενον Edd. ἔλλειπον E, et antea ὑπερβάλλον pro ὑπερέχον, secundum Mosch. Syll. f. 158. a. 10. ἅρμοζον O. ἀρμόζον BC. Παναθηναϊκῷ] vol. I, p. 316. (I, 295. Df.) 11. βουλευτηρίοις B. (α, ε superscr.)

13. Σκιφὸς B. μικροπρεπεῖς B. 14. σκνιπός RRGB Edd. σκνιφὸς E. (π superscr.) σκνῖπα Phryn. p. 398. ex eoque Phav. p. 662. b. 15. σκιπὸς B. τὰ ξύλα „MSS. Leid. AOx“ GBEO. ἐν τοῖς ξύλοις Phryn., Phav. τὸ ξύλον CDPF. καταβραχὺ GBE CDP. κατὰ βραχὺ FO. καθεσθίοντος B. κατεσθίοντος Phryn., Phav.

[Συ]σχολαστάς οὐκ ἐρεῖς, ἀλλὰ συμφοιτητάς.

Στέμφυλα οἱ πολλοὶ τὰ τῶν βοτρύων μετὰ τὸ ἐκπιεσθῆναι, οἱ δ' Ἀττικοὶ στέμφυλα τὰ τῶν ἐλαῶν. Ἀριστοφάνης ἐν νεφέλαις·

βρύων μελίτταις καὶ στεμφύλοις καὶ προβάτοις.

Σημεῖον λέγοντες σημειοῦσθαι οὐ λέγομεν, ἀλλ' ἀποσημαίνεσθαι, ὡς Ἀριστοφάνης ἐν πελαργοῖς·

ἀπεσημηνάμην
τὰς τῶν κακούργων οἰκίας.

Μὴ μόνον σοφώτατος τῶν ἡλικιωτῶν λέγε, ἀλλὰ καὶ σοφώτατος τῆς ἡλικίας ἀντὶ τοῦ πάντων τῶν εἰς τὴν αὐτὴν ἡλικίαν τελούντων.

Σταθῆναι καὶ στῆναι διαφέρει. σταθῆναι μὲν τὸ ὑφ' ἑτέρου, οἷον ἐστάθη ὁ ἀνδριάς· ἔστη δέ τις κατ' ἰδίαν ὁρμὴν καὶ προαίρεσιν.

Καὶ σκηνή καὶ σκήνωμα παρὰ τῇ θείᾳ γραφῇ· οἱ ῥήτορες δὲ σκηνὴν μόνον γράφουσιν. καὶ σκηνόω σκηνῶ μόνον παρ' ἐκείνῃ· παρὰ δὲ τούτοις σκηνέω σκηνῶ ὡς ἐπι-

---

1. *Συσχολαστὰς* coni. Oudendorpius, ut est apud Phrynichum p. 400., idemque Lobeckius tanquam e Thoma attulit p. 401. *Σχολαστὰς* GEdd. *Σκολαστὰς* B. *σιμφοιτητάς* B.

2. *πολοὶ* B. 3. *τὰ τῶν ἐλαῶν* LLGO, Phrynichi (p. 405.) ed. Rom. *τὰ τῶν ἐλαιῶν* BCDPF. *ἐπὶ τῶν ἐλαῶν* E.

4. *νεφέλαις*] v. 45. 5. *μελίταις* GB. *στεμφύλοις καὶ προβάτοις* „*MSS*“ (*OUD.*) GCDP. *προβάτοις καὶ στεμφύλοις* B (quocum facere probabile est Ra) et e poeta FO.

8. *Ἀριστοφάνης*] citatus ab Herodiano p. 462. Piers. (fragm. 378. Dind.) *πελάργοις* DP. *πελλαργοῖς* B.

11. *λέγε* GB. *λέγομεν* Edd. *ἐστι λέγε* Ra. 12. *τῶν* om. B.

14. *σταθήναι μὲν* B. 15. *ἔστη*] *Εστι* B.

17. *Καὶ σκηνή*] *καὶ* om. B. *σκήνομα* (ω suprascr.) B. 18. *γράφουσι* B. *σκηνῶ* om. B. 19. *σκηνέω*] *σκέω* B.

τοπολύ, ἅπαξ δὲ καὶ σκηνόω σκηνῶ. Ἀριστείδης ἐν Θεμιστοκλεῖ· παρ᾽ αὐτὸν τὸν θάνατον ἐσκηνῆσθαι. καὶ πάλιν· ὁμοῦ τοῖς ναύταις ἐσκηνωμένος.

Σκῶμμα, γελοῖον, εὐτράπελον καὶ γεφυριασμός διαφέρει. σκῶμμα μὲν γάρ ἐστι τὸ ἐπὶ διασυρμῷ τοῦ πέλας λεγόμενον· γελοῖον δὲ τὸ ἐπὶ διαχύσει τῶν ἀκροατῶν χωρίς τινος ὕβρεως· εὐτράπελον δὲ τὸ μετὰ σεμνότητος χαριέντως λεγόμενον, εἴρηται δὲ παρὰ τὸ εὖ τρέπεσθαι τὸν λόγον· γεφυριασμός δὲ ἀπὸ τοῦ ἐπὶ τῶν γεφυρῶν γράφειν ἤτοι ἔμμετρα ἢ καὶ δίχα μέτρων διασυρμούς τινων ἔχοντα.

Σπουδάζειν τὸ ἐναντίον τοῦ παίζειν· σπεύδειν δὲ τὸ ἀγωνίζεσθαι.

Συγγνωμονεῖν μὴ εἴπῃς, συγγινώσκειν δὲ καὶ συγγνώμης

---

1. ἐπιτοπολὺ GCDP. ἐπὶ τὸ πολὺ FO. ἐπὶ πολύ B. καὶ om. B. 2. Θεμιστοκλεῖ] vol. III, p. 302. extr. (II, 246. Df.)
3. ἐσκηνῆσθαι GBCDPF: ἐσκηνῶσθαι sola O. Tamen hoc „*Thomae*“ et unius libri fide Aristidi Dindorfius tribuit, quanquam intactum ἐσκηνῆσθαι reliquit III, p. 727. (II, 581.) Utriusque autem formae grammaticus constituit exemplum proferre. πάλιν] III, p. 343. (II, 277.)

5. γεφυριασμὸς „*MSS*“ (*OUD.*) GFO. γεφυριασμὸν CDP. γεφυρισμὸς B, Meursius Lect. Att. V, 31. Vide Valckenarium ad Ammon. p. 128. 129. 6. διασυρμοῦ B. 7. λεγόμενον] γινόμενον E. 8. σεμνότητος GB, F ex Ammonio, O. σκώμματος CDP. σεμνότητος καὶ γεφυριασμοῦ E. 9. χαρίεντος B. δὲ om. B. δὲ παρήχθη E. 10. τῶν om. E. 11. γεφύρων B. ἤτοι] ἢ E. ἢ καὶ] ἢ om. E. μετρῶν B. 12. διασυρμοὺς ALLGBOxEO, Amm. διασυρμὸν CDPF. ἔχοντα etiam GBE: om. Ammonius.

13. τοῦ] τῷ B. ἀγωνίζεσθαι] συναγωνίζεσθαι coni. Sallierus, de ἐρεθίζεσθαι Stoeberus hariolatur. Nec cogitandum de supplendis e Moschop. Syll. f. 158. a. Thomae verbis.

15. Συγγνωμεῖν B. εἴπῃς GEdd. εἴποις LaBOx.

ἀξιοῦν. ὡσαύτως καὶ συγγνῶναι καὶ συγγνώμης ἀξιῶσαι, οὐ συγγνωμονῆσαι.

Κατὰ συγγνώμην ἵσταται κάλλιον λέγειν ἢ συγγνώμης ἄξιόν ἐστι.

Συνεργός μὲν ὀξυτόνως ὁ περί τι ἔργον συμπονῶν· σύνεργος δὲ προπαροξυτόνως ὁ τὸ αὐτὸ μετιὼν οἱονεὶ σύντεχνος.

Συλλεχθείς κάλλιον ἢ συλλεγείς. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· πρός γε τὸν συλλεχθέντα τοῦ ναυτικοῦ ἀριθμόν.

Συνίσταται καὶ ἀντὶ τοῦ πέπηγεν, ᾧ ἐναντίον τὸ χαυνοῦται, οἷον συνέστη παρὰ τοῦ ψύχους κρύσταλος· ὅθεν καὶ ἀσύστατόν φαμεν τὸν χαῦνον καὶ μὴ ἐπὶ τῆς αὐτῆς πεπηγότα γνώμης, ὃν καὶ εὔριπον λέγομεν· καὶ συνίσταται ἀντὶ τοῦ ἀρχὴν λαμβάνει. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Εἰ μὴ καὶ αὐτὸς ᾔδεις· καὶ συνέστη καὶ

---

1. *συγγώμης* C. 2. *οὐ συγγνωμονῆσαι* ALLBRGBO, MSS. Nunnesii ad Phryn. p. 382. Lob., idemque Sallierus viderat. Om. Phavor. p. 675. c. *καὶ συγγνωμονῆσαι* CDPF.

3. Novam § orditur B: priori continuant GEdd.

5. *μὲν ὀξυτόνως* ALaB, Phav. p. 681. b. *μὲν γὰρ ὀξυτόνως* Ammon. p. 131. *μέν ἐστιν* Edd., sed in quibus *ὀξυτόνως* positum post *συμπονῶν*. *ἔργον* ALaBOxEO, Mosch. Syll. f. 158. a. extr. om. CDPF. *ἔργον ἀνεπιτήδειον* Amm., Phav. *συμπονῶν*] *συνεργῶν* Mosch. *πονῶν ἢ συμπονῶν τινί* E. *συνεργῶν* Γρ. *συντονῶν* Lb. *συντονῶν* etiam B. 6. *μετιὼν* BRGBCDPO. *μετιῶν* F. 7. *σύντεχνος* vitiose Moschop.

9. *Παναθηναϊκῷ*] vol. I, p. 229. (I, 215. Df.)

11. *χαυνοῦται*] *χαυνοῦσθαι* Rb, Moschop. Syll. f. 158, b., commendatum a Stoebero. 12. *τοῦ ψύχους* correxi. Scribebatur *τὸ ψύχος* (non *ψῦχος*.) *κρύσταλος* „*MSS*" (*OUD.*) B. *κρύσταλλος* GEdd. Vid. Iacobsium ad Philostrati Imag. p. 281.
13. *τὸν* ALaGB, Iun., O. *τὸ* CDPF. 14. *εὔριπον* B.
15. *ἐπιστολῇ*] 586. p. 283.

ηὐξήθη πρὸς τὸν χρηστὸν ἡμῖν Μακεδόνιον φιλία. ὅθεν καὶ ἀσύστατον ζήτημα τὸ μὴ ἀρχήν τινα καὶ λαβὴν δυνάμενον παρέχειν τοῖς μεταχειρίσασθαι βουλομένοις, ὡς τό· [ὁ] Ἀλέξανδρος εἶδεν ὄναρ, ὀνείροις μὴ πιστεύειν. καὶ συνίσταται ἀντὶ τοῦ συνέρχεται. Φιλόστρατος ἐν εἰκόσι· συνίσταται δὲ εἰς κολυμβήθραν παγκάλην. καὶ συνίσταταί τίς τινι ἀντὶ τοῦ γνώριμος γίνεται, οὗ τὸ ἐνεργητικὸν συνίστημι. Συνέσιος ἐν ἐπιστολῇ· συνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ τὸν θαυμάσιον Σωσηνᾶν.

Συντίθημι τὸ συναρμόζω, καὶ συντίθεταί τι ἀντὶ τοῦ συναρμόζεται. καὶ συντίθημι τὸ συνάγω, ὡς τὸ πάντα συνθεὶς χρήματα. συντίθεμαι δὲ τὸ ὁμολογῶ. Λιβάνιος ἐν τῷ περὶ τῆς ἑαυτοῦ τύχης· συνθέμενος ἥξειν εἰς τὴν ὑστεραίαν.

Συμπεσεῖν τὸ ὁμοῦ γενέσθαι ἐπί τινων ἐρχομένων εἰς πόλεμον ἀλλήλοις καὶ συρρηγνυμένων, ὡς τό· συμπε-

---

1. πρὸς] περὶ B. 3. παρεχεῖν B. 4. ὁ Ἀλέξανδρος G Edd. ὁ om. ALLB. εἶδεν] οἶδεν La. 5. ἀντὶ τοῦ — εἰκόσι· συνίσταται om. B. 6. εἰκόσι] I, 9. p. 776. (p. 16, 32. Iac.) εἰς] ἐς Philostratus. 9. ἐπιστολῇ] 102. p. 241. a. συνίστημι om. B. 10. προστασία] προφασία B. 11. Σωσηνᾶν] σασειναν B. Ἐσηνᾶν A.

12. τι ALa. τις GBEdd., Phavorinus p. 683. a. Thoma locupletior. 13. καὶ συντίθημι ALLRRGBOxO, Phav. καὶ om. CDPF. ὡς τὸ] ὡς τοι B. 14. Λιβάνιος] Minime. „*Verum apud Synesium epist.* 104. *p.* 244. *b. reperi* συνθέμενοι πάλιν ἥξεις εἰς τὴν ὑστεραίαν.“ *OUDEND.* 15. συντιθέμενος Phav. 16. ἤξειν C. ἠξειν B. ὑπεραίαν B. Συντίθημι τό τε συναρμολογῶ καὶ τὸ συνάγω. E π. ρ.

17. γενέσθαι ἐπί τινων ARRGBOxO, Phav. p. 679. b. πεσεῖν, καὶ ἐπί τινων Mosch. Syll. f. 158. a. συγγενέσθαι CDPF. εἰς πόλεμον ἐρχομένων B. 18. καὶ om. B. ξυμπεσόντες Rb.

σόντες ἐξ ἑωθινοῦ μέχρι δείλης ἐμάχοντο. καὶ συμπεσεῖν τὸ συμβῆναι.

Οὐ μόνον συμφέρων ὁ ὠφέλιμος, ἀλλὰ καὶ σύμφορος. Θουκυδίδης· ξύμφορος ἡμῖν ἀπαράσκευος ὤν. ἀπὸ γοῦν τοῦ συμφέρων συμφερόντως, ἀπὸ δὲ τοῦ σύμφορος συμφόρως. ὁ αὐτός· τούσδε ξυμφόρως δεῖ κολάζεσθαι.

Συμφορά οὐ μόνον ἡ συμβᾶσά τινι δυσχέρεια, ἀλλὰ καὶ ἡ συνέλευσις. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

κἀπὶ συμφορᾷ
γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο.

καὶ συμφέρω οὐ μόνον τὸ εἰς συμφέρον τινὶ εὑρίσκομαι, ἀλλὰ καὶ τὸ συνέρχομαι, ὡς ὁ αὐτὸς ἐν τῷ αὐτῷ δράματι·

τῷ γὰρ χρόνῳ
νοῦν ἔσχον συμφέρειν τοῖς κρείττοσιν.

καὶ συμφέρουσιν ἐπὶ πληθυντικοῦ τὸ ὁμοῦ πράγματά

---

1. ἑωθινοῦ] εὐθινοῦ B. 2. τὸ om. O, imprudenter quidem arbitror.

3. De B vid. ad p. 328, 2. Θουκυδίδης] VI, cap. 84. 4. ξύμφορος ἡμῖν RR, Thucydides. σύμφορος ἡμῖν ALaGBOxO. σύμφορος ἡμῶν CDPF. 5. συμφέρων] συμφέρ$\overset{\omega}{o}$ν G. συμφέρω B. συμφερόντος B. 6. ὁ αὐτός] III, cap. 40. τούσδε] Legebatur τοὺς δὲ. ξυμφόρως ALaGBO. συμφόρους CDPF.

8. De B vid. ad p. 328, 2. δυσχώρεια P. δυστυχία Lb. δυστυχία καὶ δυσχέρεια A. 9. Ἠλέκτρᾳ] v. 1230. 10. κἀπὶ συμφορᾷ RRGCDP. κάπισυμφοραῖ B. „κἀπὶ συμφορῷ ALLCD“ (OUD.) i. e. κἀπὶ συμφορᾷ. Sed κἀπὶ συμφοραῖσί μοι ex Sophocle FO. 11. γεγηθὼς Rb. ἀπὸ B. 14. δράματι] v. 1464. 15. τῷ] τὸ B. 16. ἔσχον] ὥς τε add. FO e Sophocle, om. „MSS“ (OUD.) RRGBCDP. κρείττοσιν „MSS“ (OUD.) O. κρείττουσιν F. κρείττοσι GBCDP.

τινα φέρουσιν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· θεοὶ δὲ συμφέροντες παρεῖχον οἱ μὲν φυτά, οἱ δὲ σπέρματα.

Σύνοιδά σοι χρηστόν τι, οὐ σύνοιδά σε ἀγαθὸν ὄντα, διὰ τὸ ἐκεῖσε μὲν δηλαδὴ συνάπτεσθαι τὴν σύν πρόθεσιν πρὸς τὸ σοί, ἐνταῦθα δὲ μὴ ἔχειν ὅπου συνταχθήσεται, αἰτιατικῆς οὔσης. ἐπὶ δὲ πλήθους καὶ ἀμφότερα, οἷον πολλοὶ συνίσασί σοι τὰ βέλτιστα, καί, πολλοὶ συνίσασί σε βέλτιστον, ἀντὶ τοῦ ὁμοῦ πάντες ἐπίστανταί σε τοιοῦτον. Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· ὡμολόγουν ἀεὶ δήποτε μηδένα πω τῶν πάντων συνειδέναι τοσαῦτα τμηθέντα.

Σοφίζομαι τὸ σοφιστικῶς λέγω, ἤγουν τὸ δι' ἐπιχειρημάτων ἀποδείκνυμί τι, ὅπερ οὐ κυρίως τοιοῦτόν ἐστι· καὶ σοφιστὴς ὁ ῥήτωρ. καὶ σοφίζομαι τὸ παραλογίζομαί τινα, ὃ καὶ κατασοφίζομαι λέγεται· καὶ σοφιστὴς ὁ ἀπατεών. καὶ τὸ ἐφευρίσκω καὶ μηχανῶμαι. καὶ σοφίζομαι ὑφ' ἑτέρου ἀντὶ τοῦ διδάσκομαι, ὅπερ ἔχει ἐνεργητικὸν τὸ σοφίζω· καὶ σοφιστὴς ὁ διδάσκαλος. ἐκάλουν δὲ οἱ παλαιοὶ σοφιστὰς καὶ τοὺς ἐννοίαις μὲν φιλοσόφοις χρωμένους, δι' εὐγλωττίαν δὲ σοφιστικὴν θαυμασθέντας.

---

1. *Παναθηναϊκῷ*] vol. I, p. 179. (I, 165. Df.)

4. *Σύνοι δάσοι* B. 6. *συντεχθήσεται* B. 8. *συνίσασι*] *συνοίσασι* LaRa, item v. 9. *συνίασί* B. 9. *πάντες* Α *σὲ τοιοῦτον ἐπίστανται* Α B. 10. *Ἀριστείδης* vol. I, p. 531. (I, 477. Df.) 11. *αἰεὶ* G. *πω*] *περὶ* B. 12. *συνειδέναι* ALbRRGB, Phav. p. 682. c. *συνιδέναι* CDPF. *συνοιδέναι* La, probatum Oudendorpio. *τμηθέντα τοσαῦτα* G. *τμηθέντα* om. B.

13. *ἤγουν τὸ*] *ἢ* B. 14. *τοιοῦτέν* C. 18. *καὶ σοφίζομαι — διδάσκομαι* om. B. 19. *καὶ σοφιστὴς* om. B. 20. *σοφισταὶ* B. 21. *εὐγλωττίαν* P. 22. *σοφιστικὸν* B.

Ἐν σπανίοις ἐτίθει κάλλιον λέγειν ἢ σπάνιον ἡγεῖτο.

Σχολαίτερον κρεῖττον ἢ σχολαιότερον. γίνεται δὲ τὸ μὲν σχολαίτερον ἀπὸ τοῦ σχολῇ, τὸ δὲ σχολαιότερον ἀπὸ τοῦ σχολαῖον, τοῦτο δὲ ἀπὸ τοῦ σχολῇ. ἔστι δὲ τριγενές· σχολαῖος γὰρ καὶ σχολαία καὶ σχολαῖον. Θουκυδίδης· σ χ ο λ α ῖ ο ι κ ο μ ι σ θ έ ν τ ε ς.

Σταδεία μάχη ἡ κατὰ σύστασιν γινομένη καὶ οὐ κατὰ δίωξιν.

Σύνθημα τὸ ἐπιφώνημα, ὃ λέγουσι τὰ στρατόπεδα ἐν ταῖς μάχαις γνώρισμα τῶν ὁμοφύλων· καὶ σύνθημα τὸ ἁπλῶς γνώρισμα. σύνθημα δὲ καὶ ἡ συμφωνία. Θουκυδίδης· ἐ γ ί γ ν ε τ ο γ ὰ ρ ἀ π ὸ ξ υ ν θ ή μ α τ ο ς. ὃ καὶ συνθήκη γράφεται. λέγεται δὲ συνθήκη καὶ ἐπὶ λόγου, ἔτι δὲ καὶ σύνθεσις.

Στασιωτικὸν κάλλιον λέγειν τὸν στασιώδη λαὸν ἢ στασιαστικόν, ὡς ὁ αὐτός· ἀ ν τ ε ι π ό ν τ ο ς κ α τ ὰ τ ὸ σ τ α σ ι ω τ ι κ ό ν.

---

2. *Σχολαίτερον*] *καὶ σχολαίτερον* E, iuncta priori §. *σχολαιότερον*] *σχολαιοτ ρον* (ε superscr.) B. 4. *σχολῇ*] B. 5. *καὶ σχολαία* „*MSS*“ (*OUD.*) GBO. *καὶ* om. CDPF. *Θουκυδίδης* om. B, sed habet in marg. Est III, cap. 29. 6. *κομωσθέντες* B.

7. *Σταδεία* etiam GE. *σταδία* G in marg. *σταθεία* B. *σταδίᾳ* vel *σταδίῃ* vel *σταδαία* coniecerunt interpretes.

9. Cum superiore notatione (p. 332, 2.) conglutinarunt FO. *Σύνθεμα* B. 10. *ὁμοφυλῶν* B. 11. *τὸ* „*MSS*“ (*OUD.*) RRGBECDPO. *καὶ* F. 12. *Θουκυδίδης*] IV, cap. 67. *ἐγίγνετο* „*Leid.*“ GBO. *ἐγίνετο* CDPF. *ξυνθήματος* „*Leid.*“ RaGBO. *συνθήματος* CDPF. 14. *ἔτι*] *ἔπι* B.

15. *τὸν* om. B. 16. *ὡς ὁ αὐτὸς* „*MSS* „(*OUD.*) GCDP. *ὡς Θουκυδίδης* BO. *Θουκυδίδης* F. Est IV, cap. 130. „*Locus deest in Rb.*“ 17. *στασιοτικόν* P. *στασιαστικόν* Ox, ut aliquot libri Thucydidis. *Στασιωτικὸς λεώς, ὁ στασιώδης καὶ ταραχώδης, οὐ μὴν στασιαστικός.* E.

Συγγραφεύς οὐ μόνον ὁ συγγραψάμενος πόλεμόν τινα ἤ τι ἄλλο ἐφ᾽ ἑαυτοῦ γενόμενον, οἷος ἦν Θουκυδίδης, ἀλλὰ καὶ τοὺς γράφοντας ἢ ψηφίσματα ἢ ἄλλο τι τοιοῦτον συγγραφέας ἐκάλουν. Θουκυδίδης· καὶ εἰσήνεγκαν οἱ συγγραφεῖς ἄλλο μὲν οὐδέν.

Σταυρός τὸ ὀρθὸν ξύλον· καὶ σκόλοψ τὸ αὐτό. ἀπὸ δὲ τοῦ σκόλοψ τὸ ἀνεσκολοπίσθη ταὐτὸν ὂν τῷ ἐσταυρώθη.

Στεφανίτης ἀγών, ἐν ᾧ ἐδίδοντο οἱ στέφανοι, οἷον πάλη, δρόμος καὶ τὰ τοιαῦτα. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν. στεφανίτης δὲ ἄνθρωπος οὐκέτι, ἀλλὰ στεφανηφορῶν.

Σήσαμα καὶ ὁ καρπὸς καὶ ὁ τόπος, ἐν ᾧ ἐπωλεῖτο.

Σάκος Ἀττικοὶ δι᾽ ἑνὸς κ, Ἕλληνες δὲ διὰ δύο.

---

2. γινόμενον G. ἦν P. 3. ἢ ψηφίσματα ALLGBO. ἢ om. CDPF. 4. Θουκυδίδης] VIII, cap. 67. ἐσήνεγκαν Thucydides, item ξυγγραφῆς, sed συγγραφεῖς Augustanus.

6. Hanc notationem ex ALa in O reposuit Oudendorpius p. 808., hic collocant RRB (vid. p. 814.) Omittunt GCDPF. Tenet etiam Moschop. Syll. f. 158. a., et omissis τὸ αὐτὸ — ἐσταυρώθη E. σκόλωψ correctum pro prius scripto σκόλοψ in E. 7. ὂν τῷ ἐσταυρώθη] οὕτω ἐστρ̄ώθη B. ὂν om. Mosch.

8. Στεφανίτις B. ἐν ᾧ] ἀνῶ B. οἱ στέφανοι GCDP. οἱ om. BFO. 9. τὰ τοῖ αυτα B. Παναθηναϊκῷ] vol. I, p. 214. (I, 201. Df.) 10. μὲν om. La. 12. ἄνθρωπος ALLRRGOxO et transponens ante στεφανίτης B. ἔπαθλος (ortum fortasse ex ἐπ᾽ ἀνθρώπου) CDF. ἔπατλος P. ἐπ᾽ ἀθλητοῦ Hemsterhusius. στεφανηφορῶν ALLGECDPO. στεφανιφορῶν B. στεφανοφορῶν F. στεφανοφόρος vel στεφανηφόρος coni. Stoeberus.

Exc. Guelf. sic: Στεφανίτης ἀγὼν, ἐν ᾧ στέφανοι ἐδίδοντο. στεφανηφορῶν δὲ, ἐπ᾽ ἀνθρώπου τοῦ τὸν στέφανον διὰ γέρας λαμβάνοντος.

13. ἐν ᾧ ALaRRGBOxE. οὗ Edd. πωλεῖται E.

14. Σόκος B. Ἕλημες C.

Ἐπὶ δικαστηρίου συνεδικάζετο χρὴ λέγειν, οὐ συνεκρίνετο. συνεκρίνετο γὰρ ἀντὶ τοῦ ἡνοῦτο, ὡς ἔχει καὶ ἡ παρὰ τοῖς φιλοσόφοις σύγκρισις, ἧς τὸ ἐναντίον διάλυσις. ἐπεὶ καὶ ὅ φαμεν ἐν τῇ συνηθείᾳ συγκρίνειν ἀντὶ τοῦ πρὸς τὸν δεῖνα τόνδε παρεξετάζειν [καὶ ἀντεξετάζειν], οὐχ εὕρηται παρὰ τοῖς δοκιμωτάτοις τῶν παλαιῶν, ἀλλ' ἀντὶ τούτου παραβάλλειν καὶ παρεξετάζειν [καὶ ἀντεξετάζειν] καὶ παρατιθέναι.

Σχέδιον τὸ μὴ μετὰ σκέψεως γινόμενον· καὶ σχεδιάζω καὶ αὐτοσχεδιάζω τὸ ἀμελετήτως λέγω ἢ γράφω. λέγεται δὲ σχεδιάζω καὶ τὸ ψεύδομαι, καὶ κατασχεδιάζω τὸ καταψεύδομαι.

Σταθμοί καὶ αἱ τῶν θυρῶν παραστάδες καὶ οἱ κοινῶς λεγόμενοι σταῦλοι· ὅθεν σταθμοί καὶ οἱ κατὰ τόπους δημόσιοι ἀγροὶ, ἔνθα καὶ ἵπποι δημόσιοι ἐτρέφοντο. Λιβάνιος ἐν ἐπιστολῇ τῇ Πρότερον μὲν ἐθαύμαζον τὸν κράτιστον Ἑρμογένην· σταθμός ἐστι περὶ τὸν Εὐφράτην Καλλίνικος ὄνομα αὐτῷ.

Σαπέρδης τὸ σεσαπρωμένον [καὶ παλαιὸν] τάριχος.

Στέγος λέγε· τὸ δὲ τέγος ποιητικόν.

---

1. χρὴ] δεῖ B. 3. τοῖς om. B. 5. τόνδε] τὸν δὲ B. παρεξητάζειν B, item v. 7. καὶ ἀντεξετάζειν addit solus Ra. Utrumque coniungens ἀντιπαρεξετάζειν Rb. 7. παρεξετάζειν] καὶ ἀντεξετάζειν addit solus Ox. Utrumque coniungens παρεξετάζειν καὶ ἀντεξετάζειν A. Cf. Phrynichum p. 278.

9. μετὰ] κατὰ Ra. 10. αὐτὸ σχεδιάζω C. ἀμελητήτως] ἀμετότως B, h. e. ἀμεθόδως. 12. καταψεύδω La.

13. παραστάτιδες Rb. 14. σταῦλοι „MSS" (OUD.) RR GBECDPO, Mosch. Syll. f. 158. a. σταυροὶ F. τόπον AE.

15. ἵπποι] ὅπη La. ἵπποι δημόσιοι] ἱπποδημόσιοι B.

16. ἐπιστολῇ] 20. p. 9. 17. Ἑρμογέννη P. 18. ὄνσομα D. αὐτοῦ B.

19. Σπέρδης Ra. σεσαπρωμένων La. σαπρὸν RaOx. καὶ παλαιὸν soli RaOx.

20. Καὶ στέγος λέγε καὶ τέγος RaB. ποιητικός B. Addunt

Συμβουλεύω ἐνεργητικῶς ἀντὶ τοῦ εἰς συμβουλὴν τῷδε καθίσταμαι· συμβουλεύομαι δὲ παθητικῶς ἀντὶ τοῦ συμβούλῳ χρῶμαι. Λιβάνιος ἐν μελέτῃ τῇ τοῦ φιλαργύρου· συνεβουλευόμην τοῖς ἐπιτηδείοις, ἥντινα αὐτῷ τέχνην δοτέον.

Συνώμοτον οὐ μόνον τὸ ἐκ συνωμοσίας γινόμενον ἢ βούλευμα ἢ ἔργον ἤ τι τοιοῦτον, ὅπερ καὶ τριγενές ἐστιν, ἀλλὰ καὶ αὐτὴ ἡ συνωμοσία. Θουκυδίδης ἐν τῇ δευτέρᾳ· ἐκλιπόντων δὲ τῶνδε πρότερον τὸ ξυνώμοτον.

Οὐ μόνον κρύφα τοῦ δεῖνός φαμεν, ἀλλὰ καὶ σιγῇ τοῦ δεῖνος. Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· σιγῇ τοῦ Αἰθίοπος ἐς τὴν δωρεὴν κελεύειν σφέας καὶ σποδὸν κομίζειν. τίθεται δὲ ἐνταῦθα τὸ σιγῇ ἀντὶ τοῦ ἀγνοίᾳ.

Στόλος οὐ μόνον ἡ διὰ θαλάσσης πορεία καὶ τὸ τῶν νεῶν πλῆθος, ἀλλὰ καὶ ἡ διὰ τῆς γῆς πορεία καὶ αὐτὴ ἡ στρατιὰ παρ' Ἡροδότῳ ἐν τῇ τρίτῃ· ἀπεὶς τὸν ἐπ'

---

autem Edd: ἄλλως· στέγος κοινὸν, τέγος Ἀττικόν., omissa in ALLRRGBOx. Pari ratione inferior notatio interpolata, quae est de Φονεύς.

1. 2. τῷ δεκαθίσταμαι B. 3. ἐν τῇ τοῦ φιλαργύρου μελέτῃ B. Est vol. I, p. 804. a. (IV, p. 625, 7.) 4. συνεβουλευόμην „MSS. O.“ (OUD.) GBO. συνεβουλόμην CDPF. ἥν τινα B.

6. γενόμενον B. 7. ἢ ἔργον ALLRRGBOxO. om. CDPF. τριγενές ALLRRGBOxCDPO. τριμενές F, quod in nostro exemplo correxit aliquis τριμερές. 8. αὐτῇ D. δευτέρᾳ] cap. 74. 9. δὲ τῶνδε RRGCDPO cum aliquot libris Thucydidis, probatum Kruegero ad Dionys. Hal. Historiogr. p. 171. δὲ τῶν δὲ BF. δὲ τῶν τε La. τῶνδε Thucydides vulgo.

11. σηγῇ B. 12. δευτέρᾳ] cap. 140. 13. εἰς Ra. δωρεὰν Rb. κελεύει DP. σπονδὸν B. 15. τοῦ om. B. 17. ἡ διὰ] ἰδιὰ B. 18. τρίτῃ] cap. 25.

Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο. καὶ αὖθις ἐν τῇ αὐτῇ· *ὁ μὲν ἐπ᾽ Αἰθίοπας στόλος οὕτως ἔπρηξε.*

Σύνθετον οὐ μόνον τὸ συγκείμενον ἔκ τινων, ἀλλὰ καὶ ἡ συμφωνία. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· *ὥσπερ ἐκ συνθέτου τευ γενόμενα.*

[Σκύλακας οὐ μόνον ἐπὶ κυνῶν δεῖ λέγειν, ἀλλὰ καὶ τῶν ἄλλων θηρίων, τὰ οὔπω ἡλικίας ἡμμένα. οὕτω καλεῖ Λουκιανὸς ἐν τῷ διαλόγῳ Δωρίδος καὶ Γαλατείας· *ἔφερε δ᾽ ἐν ταῖς ἀγκάλαις ἀθυρμάτιον ἄρκτου σκύλακα.*]

Τ.

Τριακοντούτης ἄνθρωπος Ἀττικοὶ, οὐ τριακονταέτης, καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν ὁμοίως· τριακονταετὴς δὲ χρόνος. Λουκιανὸς δὲ ἀντὶ τοῦ εἰπεῖν ἑβδομηκοντοῦτις γυνὴ ἑβδομηκοντίς εἶπε λέγων· *ἐρᾶν προσποιούμενος γυναικὸς ἑβδομηκοντίδος.*

---

1. *στόλον ὀπίσω* B. *ὀπίσω ἐπορεύετο*] *ὅτι συνεπορεύετο* Lb. 2. *τῇ αὐτῇ*] cap. cod. extr. 3. *οὕτω* Herodotus. *ἔπρηξε* ALLRRОxO. *ἔπρηξεν* GB. *ἔπραξε* CDPF.

5. *ὁ* (*ὃς* B) *αὐτὸς ἐν τῇ αὐτῇ* GBCDP. *Ἡρόδοτος ἐν τῇ τρίτῃ* FO. Est cap. 86. 6. *τευ γενόμενα* ARbO, Herodotus. *τὰ γενόμενα* LLRaG. *τὰ γινόμενα* B. *τὰ μενόμενα* F.

7—11. Hanc notationem, omissam in GBEdd., hic collocat Ra, post voc. *Σκότος* (p. 333, 11.) ex Ox affertur. *κυνὸς* Ox. 8. *ἡμμένα οὕτω καλεῖν. Λουκιανὸς* Ra. 9. *Γαλατίας* Ra. Est §. 5. vol. I, p. 291. 10. *δ᾽*] *δὲ ὁ ἐπέραστος* Lucianus.

14. *Λουκιανὸς*] Rhet. praec. 24. vol. III, p. 26. Nullus autem Luciani liber formam praebet a grammatico prolatam. *εἰπεῖ ἑβδομηκοντουτης* B. „*ἑβδομηκοντοῦτις*] *της Rb.*“ 15. *ἑβδομηκοντίς*] *ἑβδομηκοντης* B. *εἶπε*] *εἶπεν οὕτως* B. *προσποιούμενος* C. om. Rb.

Τήμερον Ἀττικοὶ, οὐ σήμερον. τὸ δὲ τήμερον εἶναι καὶ τὸ τήμερον ἔχον κρείττω ἢ τὸ νῦν εἶναι καὶ τὸ νῦν ἔχον. Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· τὸ τήμερον εἶναι ἀλουσία καὶ ἔμετος μετὰ ῥᾳστώνης.

Τεύτλιον καὶ τεῦτλον Ἀττικοὶ, οὐ σεῦτλον. Ἀριστοφάνης ἐν βατράχοις·

τευτλίοις μικροῖς.

Τερατεία ἡ θαυματοποιία· τερθρεία δὲ ὁ μετὰ φλυαρίας τερατώδης λόγος.

Τεῖχος οὐδετέρως τὸ τῆς πόλεως, τοῖχος δὲ ἀρσενικῶς ὁ τῆς οἰκίας. τειχίον μέντοι ἐπὶ τῆς οἰκίας λεγόμενον, οὐχ ὡς ὁ τοῖχος, ἀλλ᾽ ὡς τὸ τεῖχος γράφεται.

Τετρημένον, οὐ τετρυπημένον. ὅθεν καὶ ἡ παροιμία εἰς τετρημένον πίθον ἀντλεῖ ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων λεγομένη.

Τέρα καὶ τερῶν Ἀττικοὶ, ὡς κρέα κρεῶν· τέρατα δὲ καὶ τεράτων ἁπλῶς Ἕλληνες.

Τυφώς τυφῶ τυφῷ τυφών. ὡσαύτως καὶ πάντων τῶν μονοκλίτων αἱ αἰτιατικαὶ εἰς ν̄ λήγουσι κατὰ τὸν κανόνα

---

1. *Ἀττικὸν* B. 2. *σήμερον ἔχον* Ra. *κρείττον* B. 3. *Ἀριστείδης*] I, p. 483. (I, 447. Df.) *τήμερον* ALLRRGB OxO. *σήμερον* CDPF.

6. *βατράχοις*] v. 942., ubi vulgabatur *τευτλίοισι μικροῖς*, nunc scribitur *τευτλίοισι λευκοῖς*. 7. *μικροῖς*] *ἐξηρτημένα* La.

8. Hanc § om. Ra. *τερθρεία* BEO, Iun., Moeris p. 364., Sallierus. *τεθρεία* RbGCDPF.

10. *ἀρσενικοῦς* B. 11. *τοίχιον* La. *τειχιον* B. *τῆς* „*MSS*“(*OUD.*) RRGBO. om. CDPF.

13. *Τετρημμένον* Rb. *τετρυπημένον*] *τετρυμένον* B. *τετρηπημένον* RbP. *εἰς — ἀντλεῖ* om. B. 14. *ἀνηνύτοις* AL LRRGBOxO. *ἀνυνήτοις* CDPF.

16. *δὲ καὶ*] *καὶ* in marg. scriptum habet B.

18. *τυφῶ*] *τιφὼ* O. *τυφών*] *τιφῶν* B.

τὸν λέγοντα· πᾶσα εὐθεῖα εἰς σ̄ λήγουσα, ὅταν ἔχῃ τὴν αἰτιατικὴν ἰσοσύλλαβον, εἰς ν̄ αὐτὴν ἔχει λήγουσαν. σεσημείωται ἐν μὲν τοῖς ἀρσενικοῖς τὸ Ἄθω, ἐν δὲ τοῖς θηλυκοῖς τὸ Κῶ.

Τιμήσεται, οὐ τιμηθήσεται.

Τὸ τάριχος δεῖ λέγειν, οὐχ ὁ τάριχος.

Τελευταῖον· τελευταιότατον δὲ ἀδόκιμον, ὡς καὶ τὸ κορυφαιότατον.

Τεῦχος ἐπὶ ἀγγείου Ἀττικοί, ἐπὶ δὲ βιβλίου Ἕλληνες.

Τρῳαί κάλλιον ἢ Τρῳάδες.

Ταμίαν Ἀττικοί, οἰκονόμον καὶ ἐπίτροπον Ἕλληνες.

Ἀεὶ πάντα τὰ ἀπορηματικὰ ὑποτακτικῶς ἐκφέρονται, οἷον, τίσι χρήσωμαι; καὶ τίς γένωμαι; καὶ πῇ τράπωμαι;

Τυπτήσει κρεῖττον ἢ τύψει καὶ παίσει.

Τιμῶ οὐ μόνον τὸ δοξάζω, ἀλλὰ καὶ τὸ τιμωρίαν ἐπιτίθημί

---

1. ὅταν] ὅτι B. 2. ἰσοσύλλαβον] μετὰ τῶν αὐτῶν φωνηέντων add. CDPF. om. ALLRRGBOxO, Phav. p. 713. b. εἰς] εἰ CD. 4. Κῶ] δίχα τοῦ ν̄ τὴν αἰτιατικὴν ποιούμενα add. E.

7. τὸ κορυφαιότατον ALaRRGBO. κορυφαιότατον CDPF.

9. Τεῦχος τὸ ἀγγεῖον· πληθυντικῶς δὲ τεύχη τὰ ὅπλα· καὶ τεῦχος δὲ ἑλληνικῶς ἐπὶ βιβλίου. E, ex parte Moschopulo duce Syll. f. 159. a.

11. Ἕλληνες] Adiunxere FO posteriorem notationem p. 353.

12. Prioribus continuat G. ἀπορηματικὰ Ra, O de coni. Hemsterhusii. ἀπορρηματικὰ RbGBE π. ῥ. CDPF. 13. τίσι E π. ῥ. Legebatur τί. Sed sic invertit F: πῇ τράπωμαι, τί χρήσωμαι, καὶ τίς γένωμαι. Contra τί χρήσωμαι (χρήσομαι B) καὶ τίς γένωμαι (γένομαι B) καὶ πῇ (τῇ B) τράπωμαι „MSS“ (OUD.) GBCDPO.

Post hanc § in B seorsim posita haec sunt: Τιμῶ τὸ δοξάζω καὶ τὸ τιμωρῶ, τιμῶμαι δὲ παθητικῶς καὶ ἐπὶ ἐνεργητικῆς σημασίας καὶ ἐπὶ παθητικῆς.

16. δοξάσω B. καὶ τὸ] καὶ B. τιμορίαν B.

τινι ἀπὸ δοτικῆς εἰς γενικήν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· φυγῆς αὐτῷ τιμῆσαν τὸ Περσικόν. Λιβάνιος ἐν ἐπιστολῇ· τιμᾶν αὐτῷ τῶν ἐσχάτων εἴ τις ἐξελέγξειεν. ἐξ οὗ καὶ τίμημα ἡ τιμωρία. ὁ αὐτὸς ἐν ἐπιστολῇ τῇ Πρότερον μὲν ἐθαύμαζον· ἄλλως θ' ὅτι τὸ μὲν τίμημα τηρεῖν ἂν ἔχοι, τὸν δ' ἔξω τῆς αἰτίας ἀφιέναι. τιμῶμαι δὲ παθητικῶς καὶ ἐπὶ ἐνεργητικῆς σημασίας καὶ ἐπὶ παθητικῆς. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἢ μὴ πάθω τοῦτο, οὗ Μέλιτός μοι τιμᾶται. καὶ πάλιν ἐν τῇ αὐτῇ· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι. καὶ Δημοσθένης· ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμῶμαι, ἂν μὴ τὰ δίκαια φῶ πρὸς ὑμᾶς. καὶ τιμῶμαι τὸν δεῖνα τοῦ δεῖνος, ὡς τὸ τοῦ παντὸς τιμῶμαι τὰ σά, ἤγουν εἰς λόγον τιμήματος τοῦ παντὸς ἄξια κρίνω. οὕτως ἔχει καὶ τὸ πόσου τιμᾶται ταῦτα τὰ ὤνια; ἤγουν πόσου τιμήματός εἰσιν ἄξια; ὅθεν καὶ τίμημα ἡ τῶν ὠνίων ἀξία. λέγεται τίμημα καὶ ἡ περιουσία, διὰ τὸ ἔθος εἶναι το-

---

2. *Παναθηναϊκῷ*] vol. I, p. 207. (I, 195. Df.), ubi nunc est *αὐτῷ φυγῆς*. *φυγεῖς* B. *τὸ Περσικόν*] *ἀπῆλθε τὸ Δωρικόν* Aristides. 3. *ἐπιστολῇ*] 20. p. 9. 6. *θ'*] *δ'* B. *ὅτι*] *ὅτε* Libanius. *τὸ* ALLRRGBO. om. CDPF. 9. *ἀπολογίᾳ*] p. 36. b. 11. *τῇ αὐτῇ*] p. 37. b. *ἢ*] Scribebatur *ἡ*. *ἢ μὴ — ἐν τῇ αὐτῇ* (v. 12.) om. B. 12. *τῇ αὐτῇ*] p. 36. b.

13. *ἀντιτιμήσομαι* ALLGO. *ἀντι μήσομαι* B. *ἂν τετιμήσομαι* CDPF. *ἂν τιμήσομαι* Ox. 14. *Δημοσθένης*] de reb. Cherson. p. 96, 1. 15. *ἂν μὴ — ὑμᾶς* servata etiam a Phavorino p. 701. b. non leguntur apud Demosthenem. *μὴ*] *μοι* B.

17. *λόγον* P. 19. *ἤγουν*] *ἴσως* B. 20. *ἡ τῶν — τίμημα* om. B.

σοῦδέ τινος ποσοῦ τιμᾶσθαι τὰς τῶν παλαιῶν οὐσίας. Δημοσθένης· οἱ τὰ μεγάλα τιμήματα ἔχοντες. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· οὐ τοὺς ἀπὸ τῶν μεγάλων τιμημάτων, ἀλλὰ τοὺς ἐπιεικεστάτους τὴν φύσιν. τίμημα δὲ καὶ ἡ πρόσοδος. Δημοσθένης· τὸ τίμημα τῆς πόλεως.

Τέμαχος κρέως ἢ ἄρτου ἢ πλακοῦντος οὐκ εἴποις, ἀλλὰ τομός· τὸ γὰρ τέμαχος μόνον ἐπὶ ἰχθύος. Ἀριστοφάνης ἐν Πλούτῳ·

πολύ τι χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.

---

1. *τοσοῦδέ τινος*] *τοσοῦ δέ τινος* CDP. *τοσοῦ δὲ τίνος* B. 2. *Δημοσθένης*] c. Aphob. II, p. 815, 13.: *οἱ τὰ μέγιστα κεκτημένοι τιμήματα.* *μεγάλᾰ* B. 3. *Παναθηναϊκῷ*] vol. I, p. 340. (I, 316. Df.) *οὐ τοὺς* ALaRRGBO. *τὰς* CDPF, Phav. 4. *μεγάλων*] *μεγίστων* Aristides. 5. *τὴν φύσιν*] *τὰς φύσεις* Aristides. *καὶ* om. B. 6. *Δημοσθένης*] de symmor. p. 183, 5. reperias *τὸ τίμημά ἐστι τὸ τῆς χώρας.*

Hinc duobus libris, qui scripsit Basileensem codicem, usus est. Nam posteaquam singulae sese notationes hae exceperunt: *Τιμῶ*, *Τὸ τυγχάνει*, *Τεχνικῶς*, *Τονθορίζω*, *Τί διαφέρει*, *Τετύχηκε*, *Τέχνη*, *Τεχνήσασθαι*, *Τάπητες*, *Τιμωρῶ*, *Τρίηραος*, *Τὸ τεύξασθαι*, *Τρέφομαι*, *Τάχα*, nova quaedam consequitur notationum series supplendae prioris caussa, hac praemissa inscriptione: *Ex LIBRO Calpurnii paulo serius.* Earum ordo hic est: *Τέμαχος*, *Ἁμαρτάνουσιν οἱ λέγοντες ταμία*, *Τέχνη* iterum, *Τιμωρία*, *Ἀπὸ τοῦ θανῶ*, *Τεύξομαι*, *Τί τις ἂν εἴποι*, *Τάχα* iterum. His quidem subscriptum est: *Hactenus ex libro Calpurnii.* Calpurnium facile intelligas possessorem significari. Quae notationes quas per partes ex utro libro proferantur, singulis locis monebitur. Et Calpurnii quidem librum *Bc* litteris signabimus. Ceterum eadem vel similis ratio est notationum deinceps positarum, itemque *X*, *Ψ*, *Ω* litterarum.

7. *Τέμμαχος* La. *τομός* ALLGF. *τόμος* BcEdd. Cf. Lobeck. ad Phryn. p. 21. 22. 9. *Πλούτῳ*] v. 895. 10. *τι* ALLGBcOxCDP. om. FO, Aristophanes. *τεμάχων* Bc, item p. 352, 2. 11. *ὠπτημενον* Bc. *ὀπτημένων* CDP.

διὰ γὰρ τοῦ εἰπεῖν καὶ κρεῶν ἐδήλωσεν, ὅτι τὸ τεμαχῶν ἐπὶ ἰχθύων λέγει. καὶ πάλιν ὁ αὐτὸς σαφέστερον τοῦτο ἐδήλωσεν ἐν νεφέλαις, λέγει γάρ·

εἶτ' ἀντ' αὐτῶν κατέπινον
κεστρᾶν τεμάχη.

εἰ καὶ Συνέσιος ἐν τῷ περὶ βασιλείας εἶπε· τεμάχι' ἄττα ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τοῦ χρόνου.

Τὸ τυγχάνει ἀντὶ τοῦ ὑπάρχει μετὰ τοῦ ὢν τίθεται ἐκ παραλλήλου, οἷον φίλος μοι τυγχάνει ὢν, καὶ ἐχθρός μοι τυγχάνει ὤν. εὑρίσκεται δὲ καὶ χωρὶς τοῦ ὢν, ὡς παρ' ἄλλοις τε πολλοῖς καὶ παρὰ Λιβανίῳ ἐν ἐπιστολῇ· ὥσπερ οὖν εἰ κυβερνήτης ἐτύγχανες, ἠξίουν ἄν σε. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τοῦ κυρῶ παρὰ ποιηταῖς, ὡς προέφημεν.

Ἐντέχνως λέγουσί τινες ἀμαθῶς· σὺ δὲ τεχνικῶς φάθι.

Τονθρίζω καὶ τονθρισμὸς Ἀττικοὶ, οὐ σὺν τῷ ō τονθορίζω καὶ

---

3. *νεφέλαις*] v. 338. 4. *ἀντ' αὐτῶν* GPFO. *ἀντ' αὐτ' ὧν* Bc. *αὐταυτῶν* CD. *κατέπιον* La. 5. *με κεστρᾶν* Bc.

6. *βασιλείας*] *βασιλειν* Bc. Est p. 18. c. *τεμάχι' ἄττα* AO. *τεμαχιάττα* RaGCDPF. *τέ μάχη ἄττα* Bc. *τεμάχιον ἄττα* Rb. *τεμάχια ἄττα* Synesius. „*τεμμάχια Lb.*" *εἰ καὶ Συνέσιος λέγει τεμμάχια ἐπὶ κρεῶν* E.

9. *ὢν*] *ω̄ν* G. *ἐκ παραλλήλου*] *ἐμπαλληλου* B.

10. *καὶ ἐχθρὸς — ὢν* om. LaOx. *ἐρχθρός* F. *ἔχθρος* B.

11. *χώρις* B. *ὡς*] *ὡ* B. 12. *τε πολλοῖς* om. B. *ἐπιστολῇ*] 393. p. 200. 13. *ἐτύγχανες* B. 14. *δὲ — καὶ* om. Phav. p. 711. c., continuans *τοῦτο* Libanii verbis. *ἐπὶ τοῦ* om. B. 15. *ὡς προέφημεν* ALaRRОxO. *ὥσπερ ἔφημεν* GBCDPF. Phav.

16. *τεχνηκῶς* P. *φάθι*] Scribebatur *φᾶθι*. *Τεχνικῶς οὐκ ἐντέχνως* simpliciter B.

17. *Τονθρίζω καὶ τονθρισμός*] per ῑ „*constanter MSS*" (*OPD.*) GEEdd., Phav. p. 704. a., per ō Phryn. p. 358., idemque Thomae restituendum Sallierus putabat et Nunnesius a Dorvillio com-

καὶ τονθορισμός. ἔστι δὲ τονθορίζω τὸ κρύφα καὶ κατ' ἐμαυτὸν μετὰ γογγυσμοῦ τι λέγω.

Τί διαφέρει κάλλιον λέγειν ἢ τίνι διαφέρει· καθὰ καὶ Δημοσθένης ἐν τῷ περὶ στεφάνου· τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει;

Τέτευχε τιμῆς ἀδόκιμον λέγειν· τὸ δὲ τετύχηκε δόκιμον. [τὸ γὰρ τέτευχεν ἀντὶ τοῦ κατεσκεύασέν ἐστιν.]

Ἁμαρτάνουσιν οἱ λέγοντες ταμία ἐπὶ γενικῆς καὶ μὴ ταμίου· μόνα γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς ἢ εἰς ας ἢ εἰς ρας τρέπει τὴν γενικὴν εἰς ου, οἷον Μειδίας Μειδίου, Διαγόρας Διαγόρου, καὶ ταμίας ταμίου.

Τέχνη κυρίως ἡ ἄνευ λόγου μὴ δυναμένη εἶναι, οἷον γραμματική, ῥητορική. ἐπιστήμη ἡ μετὰ ἀποδείξεων, οἷον

---

commemoratus ad Chariton. p. 670. extr. Lips. *Τονθορίζω καὶ τονθορισμὸς B.* *Ἀττικοὶ* om. B. *οὐ*] *ἢ* coni. Hemsterhusius propter Phrynichi verba, probare videtur Oudendorpius. Eiusdem Hemsterhusii altera quaedam coniectura haec est: *Τονθορίζω καὶ τονθορισμὸς σὺν τῷ ο Ἀττικοὶ, οὐ τονθρίζω καὶ τονθρισμός. ἔστι δὲ τονθορίζω c. q. s.* Quam iis defendit argumentis, quae dubitationibus minime vacent. Libri ms. Lugdunensis verba non sunt ab initio, sed in fine corrigenda. *σὺν τῷ ο* om. A. 1. *τονθορίζω καὶ τονθορισμός om. B. τονθορίζω καὶ τονθορυσμὸς G.* *ἔστι δὲ τονθορίζω La.* *ἔστι δὲ* B omisso verbo. 2. *γογγισμοῦ* CDP.

3. *κάλλιον λέγειν* om. B. *καθά*] *κατὰ* B. 4. *περὶ στεφάνου*] immo *κατ' Ἀνδροτίωνος* p. 610, 2.

6. *Τέτευχε*] *τετύχηκε* B. *τὸ γὰρ — ἐστιν*, omissa in GB Edd., accesserunt ex Ra, Phavor. p. 696. b.

8. Hanc §, omissam in Lb, cum superiore (p. 349, 11.) conglutinarant FO, item E. De B. vide ad p. 351, 7. 9. *μόνα*] *μόνως* Phav. p. 689. c. *ἢ εἰς ρας* ALaGBOxO, Phav. *εἰς* om. CDPF. *ἢ* om. E. 10. *Μειδίας Μειδίου*] *Φειδίας Φειδίου* Ox.

12. Hanc § et B tenet et Bc. *κυρίως* om. B. *δυναμένει* B. *οἷον — ῥητορική* om. B. 13. *ἡ*] *δὲ ἡ* BcE. *ἀποδείξεως* Ox. *οἷον — μαθήματα* om. B.

τὰ τέσσαρα μαθήματα. ἐπιτήδευμα δὲ τὸ λόγου χρεῖον, οἷον χαλκευτική, τεκτονική. λέγονται δὲ καὶ αὗται καταχρηστικῶς τέχναι.

Τεχνήσασθαι τὸ μετὰ τέχνης τι κατασκευάσαι· τεχνάσασθαι δὲ τὸ κακουργῆσαι. καὶ τέχνημα τὸ ἀπὸ τέχνης, τέχνασμα δὲ τὸ κακούργημα.

Τάπητες οἱ ἐξ ἑνὸς μέρους μαλὸν ἔχοντες, ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων. λέγεται δὲ καὶ θηλυκῶς [ἡ] δάπις [τῆς] δάπιδος. Συνέσιος ἐν ἐπιστολῇ· δάπιδα μεγάλην τῶν Αἰγυπτίων. εὕρηται δὲ καὶ τάπις τάπιδος καὶ δάπης δάπητος, ἃ πάντα παρεὶς τάπης τάπητος, ὡς Ἀττικοὶ χρῶνται, γράφε.

Τιμωρῶ ἐνεργητικῶς ὡς ἐπιτοπολὺ μὲν τὸ βοηθῶ, σπανίως δὲ τὸ κολάζω παρὰ μόνοις ποιηταῖς. Εὐριπίδης ἐν Ὀρέστῃ·

---

1. τὰ τέσσαρα „MSS" (OUD.) RRGBcCDPO. τὰ om. F. ἐπὶ τήδευμα DP. ἐπιτήδευμα — τέχναι om. Bς. δὲ om. B. 2. αὐταί P.

4. Priori § continuat G. Τεχνήσασθαι ALLRRGBOxO, Phav. p. 698. b., Herodian. p. 477. Piers. τεχνίσασθαι CDPF. τεχνάσασθαι] τεχνάσθαι P. 5. δὲ om. B. 6. τέχνασμα δὲ] καὶ τέχνασμα B.

7. οἱ] οἱ B. μαλὸν ALbRRGECDP. μαλλὸν FO. μᾶλλον B. 8. λέγεται δὲ καὶ] καὶ λέγεται B. θηληκῶς F. ἡ et τῆς om. ALLGB. 9. ἐπιστολῇ] 61. init. p. 204. 10. εὕρηται δὲ om. B. 11. δάπητος] δάπηδος La. ἅπαντα B. παρεὶς] Σὺ δὲ add. B. 12. ὡς — χρῶνται om. B. γράφεται B.

13. Priorem partem huius § B tenet, posteriorem a τιμωρία voce (p. 355, 6.) Bc. ἐνεργητικῶς GEdd. om. ARbB. ἐπιτοπολὺ LLGB. ἐπὶ τὸ πολὺ Edd. μὲν om. B. σπανίως — ποιηταῖς] καὶ τὸ κολάζω ποιητικῶς σπανίως B. 14. δὲ τὸ] δὲ καὶ τὸ Ra. παρὰ — ποιηταῖς om. RaOx. μόνοις] τοῖς add. Edd. om. ALaG. 15. Ὀρέστῃ] v. 427.

Παλαμήδους σε τιμωρεῖ φόνος.

τιμωροῦμαι δὲ ὡς ἐπιτοπολὺ μὲν τὸ κολάζω, σπανίως δὲ τὸ βοηθῶ· ἔστι δὲ καὶ τοῦτο μόνων ποιητῶν. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ἐμοῦ δὲ πατρὶ πάντα τιμωρουμένης.

τιμωρία καὶ ἡ κόλασις καὶ ἡ βοήθεια. Θουκυδίδης ἐν τῇ τρίτῃ· *καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας.* καὶ ἀτιμώρητος [καὶ] ὁ ἀκόλαστος καὶ ὁ ἀβοήθητος. ὁ αὐτὸς ἐν τῇ αὐτῇ· *καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιεῖς ἔρημοι καὶ ἀτιμώρητοι.*

Ἀπὸ τοῦ θανῶ μέλλοντος ἕτερον ῥῆμα παράγωγον θανέω θανῶ καὶ θνῶ κατὰ συγκοπὴν, ἐξ οὗ θνήσω τέθνηκα τέθνημαι ἐτέθνην τεθνείς τεθνείην καὶ τροπῇ Δωρικῇ τοῦ $\bar{\epsilon}$ εἰς $\bar{\alpha}$ τεθναίην· ἀπὸ δὲ τοῦ ἐτέθνην ἐτέθνης ἐτέθνη τεθνῆναι καὶ Δωρικῶς τεθνάναι. εἰσὶ δὲ, οἳ λέγουσι ταῦτα καὶ οὕτως· ἀπὸ τοῦ θανέω θανῶ καὶ θνῶ θνῆμι ὁ δεύτερος ἀόριστος ἔθνην, ἡ μετοχὴ ὁ θνάς καὶ κατὰ

---

1. *τιμῶ ῥεῖ* B. *φόνος*] Cf. Porsonum ad Orest. v. 1263. 2. *τιμωροῦμαι*] Novam § orditur G. *τιμωροῦμαι δὲ τοὐναντίον* B. *ἐπιτοπολὺ* LL. *ἐπιπολὺ* B. *ἐπὶ τὸ πολὺ* Edd. *δὲ τὸ*] *καὶ τὸ* B. 3. *καὶ* om. Ra. 4. *Ἠλέκτρᾳ*] v. 349. 5. *δὲ* om. B. 6. *τῇ τρίτῃ*] *τῷ γ* Bc. Est cap. 20. *τῶν* ALaRR GBcO. om. CDPF. 7. *ἐλπὶς ἦν* ALaRR, Thucydides hodie. *ἦν ἐλπὶς* GBcEdd. 8. *τιμορίας* Bc. *καὶ ὁ ἀκόλαστος* RR. *καὶ* om. GBcEdd. 9. *τῇ αὐτῇ*] cap. 57. 10. *Πλαταιῆς* Thucydides.

12. Antecedentibus continuant DP. Cum inferiore notatione *Τεθνήξεται* (quae tertia est a fine $\bar{\tau}$ litterae) coniunxerunt FO. 13. *θνῶ*] *θανῶ* Bc. *συνκοπὴν* Bc. 14. *τεθνείς*] *τεθνέντος* add. CDPF. om. ALLRRGBcO, Phav. p 362. c. *τροπῇ* — *εἰς* $\bar{\alpha}$ om. RR. 15. *ἐτέθνην, νης, νη* Bc. 16. *λέγουσι*] *λέγοντες* La. 17. *καὶ θνῶ* ALLRRGBcOxO, Phav. om. F. *θνῶ* om. CDP.

ἀναδίπλωσιν τεθνάς τεθνάντος τεθνάναι, καὶ τεθναίην τὸ εὐκτικόν.

Τριήρεος λέγε καὶ μὴ τριήρους, τριήρων καὶ μὴ τριηρῶν· ἠκολούθησε γὰρ τῷ συνήθων καὶ κακοήθων καὶ τοῖς ὁμοίοις. ταῦτα δὲ πάντα παρωξυτονήθησαν διὰ τὸ τὰ ἀπολελυμένα αὐτῶν προπαροξύτονα εἶναι· τριήρεων γὰρ καὶ συνήθεων καὶ κακοήθεων λέγομεν. Ἀριστείδης ἐν δευτέρῳ τῶν Λευκτρικῶν· ἢ πρὸς τὸν τῶν τριήρων ἐμπρησμόν.

Τεύξομαι ἀντὶ τοῦ ἐπιτυχὴς ἔσομαι· τευξοίμην τευξόμενος τεύξεσθαι. τὸ δὲ ἐτευξάμην ἀντὶ τοῦ κατεσκεύασα, ὥστε οἱ τὸ τεύξασθαι ἀντὶ τοῦ ἐπιτυχεῖν γράφοντες ἁμαρτάνουσι.

Τί τις ἂν εἴποι οἱ δόκιμοι· τὸ δὲ τί ἄν τις εἴποι κοινόν.

Τὸ τρέφομαι καὶ ὅταν πρὸς τὸν τρέφοντα λέγηται καὶ ὅταν πρὸς τὴν τροφὴν, δοτικῇ συντάσσεται, οἷον τρέφομαί σοι ἤγουν ὑπὸ σοῦ τρέφομαι, καὶ τρέφομαι ἄρτῳ. σιτοῦμαι δὲ αἰτιατικῇ, ὡς παρ' Ἀριστοφάνει·

---

1. *τεθνάς, αντος* Bc.

3. *Τριήραος* B. 4. *ἠκολούθησε — κακοήθεων λέγομεν* (v. 7.) om. B. 5. *τὸ* om. Ra. 8. *δευτέρῳ*] vol. II, p. 131. (I, 647. Df.) *τὸν τῶν* La, Aristides. *τὸν* om. GB. *τῶν* om. Edd. 9. *τριήρων* RRGB, Aristides. *τριήρεων* LaEdd. *ἐμπρισμὸν* B.

10. Haec notatio in Bc exstat tota, ultima tantum pars *Τὸ τεύξασθαι — ἁμαρτάνουσι* in B. *ἐπὶ τύχης* Bc. 11. *ἐπευξάμην* Bc. 12. *τὸ* om. Bc. *ἐπιτυχεῖν*] *ἐπὶ τυχεῖν* D. *τυχεῖν* B. *γράφοντες ἁμαρτάνουσι*] *ἁμαρ*ᵗˡ B.

14. Omittit B, tenet autem Bc.

15. *Τὸ τρέφομαι — οἷον* om. B. *τὸν* „*MSS*“ (*OUD.*) GO, Phav. p. 706. c., Mosch. Syll. f. 160. a. om. CDPF. 17. *ἤγουν*] *καὶ* B. *σοῦ τρέφομαι*] *τρέφομαι* om. B. 18. *ὡς παρ'* om. B. *Ἀριστοφάνει*] Equit. v. 415. Sumpsit e Moschopuli Sylloga.

πῶς οὖν
κυνὸς βορὰν σιτούμενος μάχῃ σὺ κυ-
νοκεφάλῳ;

Τάχα ἀντὶ τοῦ ταχέως ποιηταί· οἱ δὲ ῥήτορες ταχέως καὶ τάχιστα καὶ ἐν τάχει. τὸ δὲ τάχα ἀντὶ τοῦ ἴσως καὶ ἀμφότεροι· ὅπερ καὶ μόνον τίθεται καὶ μετὰ τοῦ ἴσως, ποτὲ δὲ καὶ μετὰ τοῦ πού τοῦ δηλοῦντος τὸ ἴσως ἐκ παραλλήλου, οἷον τάχ' ἂν γέγονε, καὶ τάχ' ἴσως, καὶ τάχα που, καὶ ἴσως που.

Τολμητής, οὐ τολμητίας· ἀνάττικον γὰρ τοῦτο. Θουκυδίδης· καὶ παρὰ δύναμιν τολμηταὶ καὶ παρὰ γνώμην κινδυνευταί.

Οἱ μὲν Ἀττικοὶ τελευτῶν ἐποίησα λέγουσι καὶ τελευτῶσα ἐποίησα καὶ τελευτῶντες ἐποίησαν· ὡσαύτως καὶ ἐπὶ τῶν

---

2. μάχῃ „MSS" (OUD.) RRGBCDP, Phav., Mosch. μάχει FO ex Aristophane. 3. κυνοκεφάλλῳ nunc editum.

4. Tota notatio exstat in Bc, initium tantum Τάχα — ποιητικόν (sic pro ποιηταί) B. 6. ὅπερ] ὕπερ O. 7. πού] Scribebatur ποῦ. τοῦ δηλοῦντος GCDPO. διλοῦντος Bc. τὸ δηλοῦντος F. 9. καὶ ἴσως που ALLRRGBcO, Phav. p. 692. b.

In Basileensi libro duplex rursus vocum ordo sequitur, prior hic: Τολμητής, Τελευτῶν, Τέλεος, Ταυτὸν, Τετρωμένος, Τίθην, Τιθέω, alter sic inscriptus: *Ex alio exemplari hec sunt*, has complectens: Οἱ μὲν Ἀττικοὶ τελευτῶν, Τέλεος, Ταυτὸν, Τικτεῖν, Τίθην. Illud quoque *aliud exemplar* notabimus *Bc* litteris.

10. τολμιτίας La. ἀνάττικον γὰρ τοῦτο om. B. τοῦτο om. A. Θουκυδίδης] I, cap. 70. 11. δυνάμην B.

13. Huius § haec tantum in B comparent: Τελευτῶν ἐποίησα οὐ τελευταῖον. τεδευτῶν F. λέγουσιν Bc. τελευτῶσα ἐποίησα ALbGBcOx. τελευτῶσα ἐποίησας Edd. 14. τελευτῶντες ἐποίησαν Bc. τελευτῶντι ἐποίησεν RR. τελευτῶντες ἐποιήσαμεν Phav. p. 694. b., vere arbitror.

ἄλλων εὐθειῶν καὶ πασῶν τῶν αἰτιατικῶν. οἱ δὲ κοινοὶ τελευταῖον λέγουσι.

Τέλεος καὶ τελέως ἐπίρρημα καὶ τελεῶ δοκιμώτερα ἢ μετὰ τοῦ ι.

Ταὐτόν λέγε, μὴ τὸ ταὐτόν· τὸ γὰρ ταὐτόν τὸ αὐτό ὂν κατὰ συναλοιφὴν ταὐτό γέγονε. γράφεται δὲ καὶ ταὐτόν καὶ ταὐτό ἐπαγομένου τε συμφώνου καὶ ἐπαγομένου φωνήεντος, οἷον ταὐτόν τι ποιεῖς καὶ ταὐτό τι ποιεῖς καὶ ταὐτὸν ἐποίησε καὶ ταὐτὸ ἐποίησε. ὡσαύτως καὶ τοιοῦτόν τι λέγε καὶ τοιοῦτό τι καὶ τοιοῦτόν ἐστι καὶ τοιοῦτό ἐστι. τὸ δὲ ταὐτότης καὶ ταὐτίζεται οὐ ῥητορικά.

Τετυφωμένος καὶ ὁ ἀλαζὼν καὶ ὁ ἐμβρόντητος καὶ ἔξω φρενῶν ἐκ μεταφορᾶς τοῦ κεραυνωθέντος Τυφῶνος. Δημοσθένης· ληρεῖν καὶ τετυφῶσθαι δόξαιμι.

Τίκτειν κυρίως ἐπὶ γυναικός· τὸ δὲ γεννᾶν ἐπὶ ἀνδρὸς, ὅθεν καὶ γεννήτωρ καὶ γεννήτης ὁ πατήρ. Ὅμηρος δὲ καὶ ἐπὶ ἀνδρὸς τῷ τίκτειν ἐνίοτε χρῆται, ὡς ἔχει τὸ

---

2. *τελευταῖον* ALLRRGBcOxO, Phav. *τελευταῖοι* CDPF.

3. *ἐπίρρημα* om. B. *ἐπήρρημα* Bc.

5. Nihil B tenet praeter haec: *Ταυτὸν μὴ τὸ ταυτὸν, μηδὲ ταυτότης μηδὲ ταυτίζεται.* (*Ταυτὸν* et simil. scribebatur constanter.) *τὸ ταὐτόν*] *τὸ αὐτὸ* coni. Sallierus secundum Moer. p. 368. *τὸ αὐτόν* puto Thomam cavere voluisse: *τὸν αὐτόν* habet Phav. p. 692. a. *τὸ αὐτὸ* om. Phav., interpungens ante *ὂν* et post *συναλοιφὴν*.
6. *συναλοιφὴν* RRGBcO. *συναιλοφὴν* F. *συναληφὴν* CDP.
7. *ἐπαγουμένου* bis Bc. 8. *τι*] *τοι* Bc. 9. *ταυτὸ ἐποίησεν* BcO. *ταυτὸ ἐποίησε* GCDPF. 10. *καὶ τὸ τοιοῦτόν τι λέγε* Ra. 11. *καὶ τοιοῦτό ἐστι* ALLRRGBcO. om. CDPF.

12. *καὶ* om. B. *ἀλαζῶν* C. 13. *Δημοσθένης*] Philipp. III, p. 116, 6. 14. *δόξαιμι*] *δόξαι μοι* B. *δοκῶ* Demosthenes.

15. *Τικτεῖν* Bc. *γυναικὸς* et *ἀνδρὸς* ALa, Phav. p. 700. c., Mosch. Syll. f. 159. b. *γυναικῶν* et *ἀνδρῶν* GBcEdd. *ὅθεν καὶ* „*MSS*“ (*OUD.*) RRGBcCDPO. om. F. 16. *γεννήτης* correxi. *γενέτης* GBcEdd. *γεννέτης* (hoc accentu) Phav., Mosch. *γενήτης* La. 17. *τὸ*] Iliad. II, v. 741.

ὃν ἀθάνατος τέκετο Ζεύς,

καὶ τὸ

τίκτει μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων.

Τίθην λέγουσι τὴν τοῦ πατρὸς ἢ τῆς μητρὸς μητέρα, ἀλλ' οὐ μάμμην· οὐδεὶς γὰρ τῶν ἀρχαίων εἶπε. μᾶλλον μὲν οὖν τὴν μητέρα τινὲς αὐτῶν μάμμην καὶ μάμμιον ἐκάλεσαν· σὺ δὲ μητέρα λέγε. τὴν δέ γε τοῦ πατρὸς ἢ τῆς μητρὸς ἀδελφὴν τιθίδα φασίν. ἐδήλωσε δὲ Λιβάνιος ἀμφότερα ἐν τῇ τοῦ Ἀχιλλέως ἀπολογίᾳ, λέγων περὶ τῆς τοῦ Ἀγαμέμνονος θυγατρός· τρόπων ἤσκησεν ἀρετήν; καὶ πότερον τὴν τίθην ἢ τὴν τιθίδα μεμίμηται; ἤγουν τὴν μάμμην αὐτῆς, τὴν Ἀερόπην δηλαδὴ ἢ τὴν Λήδαν ἢ τὴν θείαν αὐτῆς

---

1. ὃν] τὸν Homerus. 2. τὸ] Iliad. XXI, v. 188., ubi est τίκτε.

4. Haec notatio in Bc exstat integra, in B hac tantum parte: Τίθην τὴν τοῦ πατρὸς, ἢ τῆς μητρὸς μητέρα. Τιθίδα τὴν αὐτῆς ἢ αὐτῇ [ἀδελφὴν καὶ τὴν προμάμμην, ὁ δὲ πατὴρ ἐπίπαππος] τίθη δὲ ἡ μαστὸν παρέχουσα. Quae uncis signavimus, posita sunt in margine. Τίθην „MSS" (OUD.) GBBcLLdd. Τίτην Iun. Τήθη Phav. p. 698. b., sed non ille ex Thoma, atque τήθην coni. Sallierus Stoeberusque. Scribendum Thomae hoc fuisse ut constet, at scriptum non item. Τίτθη Moschop. Syll. f. 159. b. (vid. ad p. 360, 2.) Secutus est autem Herodianum p. 479. Piers. Cf. Lobeckium ad Phrynich. p. 134., Valckenarium ad Ammon. p. 135. 36. λέγουσιν Bc. 5. ἀλλ' οὐ μάμμην οὐδεὶς τῶν ἀρχαίων εἶπε La. 6. τινὲς LLOxO, quod iam conieceral Normannus. τινὸς G BcCDPF. 7. ἐκάλεσεν Bc. δέ γε] γε γὲ Bc. 8. τῆς] τοῦ Bc. τιθίδα] τηθίδα Heinsius. τιτθίδα Libanius. 9. ἀπολογίᾳ] vol. I, p. 243. b. (IV, p. 64, 23. Rk.), ubi schol. Guelf.: τὴν ἀερόπην. 10. τῆς τοῦ] τοῦ τῆς Bc. τρόπον Lb. 11. ἤσκησαν (εν) G ead. man. ἤσκησεν Bc. ἤσκηκεν est apud Libanium, sed ἤσκησεν in cod. Guelf. 12. τιθίδα] τηθίδα Heinsius. αὐτῆς] ἐκ τῆς Bc. ἤτοι add. GBc. 13. δηλαδὴ — Ἑλένην om. Bc. Λήδαν ALLRRGBcOxO. Λέδαν CDPF, („Libanius"?)

Ἑλένην, τὴν τῆς μητρὸς ἀδελφὴν δηλονότι. ἀλλαχοῦ μέντοι τὴν προμάμμην διὰ τῆς τιθίδος ὁ αὐτὸς ἐμφαίνει Λιβάνιος, τὸν δὲ τοῦ πάππου ἢ τῆς μάμμης πατέρα ἐπίπαππον λέγει, ὡς ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· καὶ λέγει τίθας καὶ τιθίδας καὶ πάππους καὶ ἐπιπάππους, καὶ εἰς εἰκοστὸν καὶ τριακοστὸν ἀναβαίνει πρόγονον. τινὲς δὲ οἴονται ἐπίπαππον λέγεσθαι καὶ τὸν τοῦ πάππου ἀδελφόν. τίτθη δὲ λέγεται ἡ μαστὸν παρέχουσα. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· τοὺς τοιούτους λόγους καὶ μύθους ταῖς τίτθαις ἄμεινον παριέναι τοῖς παιδαρίοις, ἐπειδὰν ὕπνου δέωνται, διηγεῖσθαι. τροφὸς δὲ καὶ τιθηνός ἡ τὴν ἄλλην ἐπιμέλειαν ποιουμένη τοῦ παιδὸς μετὰ τὸν ἀπογαλακτισμόν. ὁ μέντοι τοῦ πατρὸς πατὴρ οὐ μόνον πάππος, ἀλλὰ καὶ πάτρως λέγεται. Λιβάνιος ἐν τῇ [τοῦ] Δικάζεται Ποσειδῶν Ἄρει ὑπὲρ Ἁλιρροθίου μελέτῃ· πάντως οὐκ ἔμελλες ἐρυθριάσειν Ἁλιρροθίου κηδεστὴς καλούμενος, οὐδέ γε πάτρως ἐκ

---

2. *μέντοι* ALLGBcOxO. *μὲν* CDPF. *τιτθίδος* LbBc.

5. *μελέτῃ*] vol. I. p. 305. f. (IV, p. 140, 22. Rk.) *τίτθας καὶ τιτθίδας, πάπποις καὶ ἐπιπάπποις* e cod. Guelf. recepit Reiskius pro vulgato: *τοι τὰς τιτθίδας, πάππους, ἐπιπάππους.*

6. *καὶ εἰς*] *εἶτα εἰς* Libanius. 8. *τοῦ* om. Bc. 9. *ἀδελφῶν* Bc. *μάστον* Bc. 10. *Αἰγυπτίῳ*] vol. III, p. 602. (II, 475. Df.) *τοὺς*] *μὲν* add. Aristides. *τοιοῦτος* Bc.

11. *τιτθαῖς* Bc, Aristides Dindorfii. 12. *δέωνται* ALLGO. *δέονται* BcCDPF. *δέηται* Aristides. 13. *τροφός*] Novam § ordiuntur GBc. 16. *πάτρως*] *πάτρος* Bc. *τοῦ* ALLRbGBc CDP. Nisi forte mutandum sit in *καὶ* (vid. p. 85, 11.), recte delesse FO videntur, ut p. 73, 6. 110, 17. 17. *Ἄρεϊ* CDPF.

μελέτῃ] vol. I, p. 545. b. (IV, p. 407, 14. Rk.) 18. *ἔμελλε ἐρυθριάζειν* Bc. 19. *οὐ δὲ* Bc. *γε* om. Bc. *πάτρως*] *πατὴρ* Libanius, sed *πατρὸς* marg. Morell. ac *πάτρως* corr. Rutgersius V. L. I, p. 34.

τῶν τούτου φύντων, ἤτοι πάππος τῶν τούτου υἱέων. καὶ Ἡρόδοτος· ὁ μὲν δὴ πρεσβύτερος τῶν παίδων τῷ Κίμωνι Στησαγόρης ἦν τηνικαῦτα παρὰ τῷ πάτρῳ Μιλτιάδῃ τρεφόμενος, ἤγουν τῷ πάππῳ· πατὴρ γὰρ τοῦ Κίμωνος ὁ Μιλτιάδης. οὐ μόνον δὲ ὁ πάππος πάτρως λέγεται, ἀλλὰ καὶ ὁ τοῦ πατρὸς ἀδελφός· καὶ ὁ αὐτὸς Ἡρόδοτος μάρτυς· Ἀρτάβανος ὁ Ὑστάσπεω πάτρως ἐὼν Ξέρξῃ. ὁ γὰρ Ὑστάσπης υἱοὺς εἶχε τόν τε τοῦ Ξέρξου πατέρα Δαρεῖον καὶ τὸν Ἀρτάβανον. ὡσαύτως καὶ μήτρως οὐ μόνον ὁ τῆς μητρὸς πατήρ, ἀλλὰ καὶ ὁ ταύτης ἀδελφός. πάτρων δὲ ὁ τοῦ νῦν ἀπελευθέρου δεσπόσας. ἔτι γε μὴν ἀνεψιός ὁ ἐξάδελφος, καὶ αὐτανέψιος ὁ πρωτεξάδελφος, καὶ ἐξανέψιος ὁ ἐξαδέλφου υἱός· ἀδελφιδοῦς δὲ ὁ ἀδελφόπαις. πρόγονοι καὶ οἱ ἄνω τοῦ γένους, οἷον πρόπαππος καὶ οἱ ἀνωτέρω· καὶ δὴ καὶ οἱ ἐκ προϋπαρχούσης τινὶ γυναικὸς παῖδες τῆς ὕστερον ληφθείσης πρόγονοι λέγονται. ἔκγονος ὁ υἱός· ἔγγονος δὲ ὁ υἱοῦ ἢ θυγατρὸς υἱός, καὶ ἐγγόνη ἡ τούτων θυγάτηρ. κυρίως δὲ θυ-

---

2. Ἡρόδοτος] VI, cap. 103. „*Cod. ibi legit* Στησαγόρος." (*STOEB.*) 3. Στησαγόρης GBc, FO ex Herodoto. Στησαγόρος CDP. 4. τῷ] τὸ Bc. πάτρωι CDP. 6. πάππος πάτρως] πατρὸς πάππος Bc. 7. Ἡρόδοτος] VII, cap. 10. init. 8. Ὑστάσπιω D. Ὑστάσπεος Herodotus. 9. τόν τε] πόντε Bc. 12. ὁ τοῦ νῦν] νῦν ὁ τοῦ coni. Hemsterhusius, prob. Oudendorp. 13. ἀπελευτέρου Bc. δεσπώσας La. μὴν „*MSS*" (*Ol. D.*) RRGBcCDPO. μὲν F. 14. ἀνταvέψιος RR Bc. αὐτανέψιος etiam Phav. p. 86. a., contra ac Stoebero visum. ἐξανεψιός RR, prob. Stoeberus. 15. ἐξαδέλφου GC FO. ἐξ ἀδέλφου BcDP. 18. Vulgo παῖδες, τῆς: F distinguit post ληφθείσης. τῆς] τῇ coni. Wolfius, prob. Oudendorpius, nisi ὑπὸ exciderit. πρύγονοι C. 19. ἔκγονος — ἔγγονος δὲ ὁ „*MSS*" (*Ol. D.*) GBc. ἔκγονος δὲ ὁ υἱός· ἔγγονος ὁ CDPF. 20. δὲ om. Bc.

*γατριδοῦς μὲν ὁ τῆς θυγατρὸς υἱός, καὶ θυγατριδῆ ἡ ταύτης θυγάτηρ. υἱωνός δὲ ὁ τοῦ υἱοῦ υἱός, καὶ υἱωνή ἡ τοῦ υἱοῦ θυγάτηρ. ἔστι δὲ κρεῖττον υἱιδοῦς καὶ υἱιδῆ λέγειν, ὥσπερ καὶ ἀδελφιδοῦς ἢ ἀδελφοῦ υἱός, καὶ ἀδελφιδῆ ἢ ἀδελφοῦ θυγάτηρ. φυσικὸς υἱός ὁ ἐκ πορνείας γεγονώς τινι, ᾧ ἐναντίον ὁ γνήσιος, ᾧ πάλιν ἐναντίον ὁ νόθος, ** ὃν λέγουσιν υἱοθετόν. κηδεστής καὶ ὁ πενθερὸς καὶ ὁ γαμβρὸς, ἀλλὰ δὴ καὶ ὁ γυναικάδελφος, ὡς ἔχει καὶ τὸ τοῦ Εὐριπίδου ἐν Ἑκάβῃ·*

τοῦτον εὖ δρῶν ὄντα κηδεστὴν σέθεν
εὖ δράσεις.

ὁ γὰρ Πολύδωρος ἀδελφὸς ἦν Κασάνδρας, ᾗ Ἀγαμέμνων ἐχρῆτο. [ἔστι δὲ καὶ κηδεστής ὁ ἁπλῶς συγγενής.]

Τροφέα λογογράφοι· θρεπτῆρα ποιηταί.

---

1. *θυγατριδῆ* RaGBcCDP. *θυγατριδὴ* FO. 2. *υἱου* Bc. 3. *ἔστιν* Bc. 4. *ἀδελφοῦ*] *ἀδελφίδου* Bc, sed in marg.: *αἱ ἀδελφοῦ*. 5. *ἀδελφιδὴ* FO. *ἢ*] *ἡ* Bc. 6. *γεγωνώς* F. *γνήσιος*] *γενήσως* Bc. 7. *ὃν*] *καὶ ὃν* vel *ἢ ὃν* coni. Oudendorpius. Ego quaedam intercidisse significa i. *υἱοθετόν* RR GBcCDPO. *υἱόθετον* F. *υἱὸν θετόν* coni. Heinsius, quod probare Oudendorpius videtur. *κυδεστής* P. 10. *ἐν Ἑκάβῃ* om. Bc. Est v. 822. Pors. 11. *εὖ* „*MSS*“ (*OUD.*) RRGBcCDP. *καλῶς* FO ex Euripide. Vid. ad p. 196, 13., ubi idem testimonium allatum. *δρῶν τ'* Rb. *κυδεστὴν* DP. 12. *εὖ* „*MSS.*“ (*OUD.*) GCDP. om. BcFO, Eurip. 13. *Κασσάνδρας* supra p. 196, 16. 14. *ἔστι — συγγενής* accesserunt ex RaBcOx. *καὶ* om. BcOx. *ὁ*] *καὶ* Bc.

Addita in B haec notatio: *Τιθέω τιθῶ καὶ ἐτίθεον ἐτίθουν ἐτίθεες ἐτίθεις, ἐτίθεε ἐτίθει, τίθημι δὲ ἐτίθην οὔ.* sumpta est e Moschopuli Syll. f. 159. b. Item in Bc aliquot Moschopuli notationes adiectae sunt.

16. *λογογράφον τρεπτῆρα* B.

Τέλος οὐ μόνον τὸ πλήρωμα, ἀλλὰ καὶ ἡ δαπάνη. Θουκυδίδης ἐν τῇ τετάρτῃ· κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις. Ἀριστείδης ἐν τετάρτῳ τῶν ἱερῶν· ἰδίοις τέλεσι πλέων. τέλη πληθυντικῶς καὶ αἱ τῶν Λακεδαιμονίων καί τινων ἄλλων ἀρχαί. Συνέσιος ἐν ἐπιστολῇ· καὶ οἶδα τὴν πρὸς Λεωνίδαν ἐπιστολὴν τῶν τελῶν. τέλη καὶ τὰ στρατιωτικὰ τάγματα. Ἡρόδοτος ἐν τῇ ὀγδόῃ· μεταπεμψάμενος οὖν τοὺς ταξιάρχους τῶν τελέων.

Τίλλω ἐνεργητικῶς τὸ ἀνασπῶ· τίλλομαι δὲ παθητικῶς καὶ τὸ ἀνασπῶ καὶ τὸ ἀνασπῶμαι. Λουκιανὸς ἐν τῷ ὄνειρος ἢ ἀλεκτρυών· τί τοῦτο; ἄμφω ἀπέτιλας; ὁ αὐτὸς ἐν τῷ αὐτῷ· ὅταν ὁ Κροῖσος περιτετιλμένος τὰ πτερὰ γέλωτα παρέχῃ. ὁ αὐτὸς αὖθις ἐν τῷ περὶ τῆς Περεγρίνου τελευτῆς· καὶ τὰς τρίχας ἐτίλλετο ὑποφειδόμενος μὴ πάνυ ἕλκειν. καὶ ἐν τῷ περὶ τοῦ πένθους· παῦσαι τιλλόμενος τὴν κόμην.

Τεθνήξεται ἐπὶ [τοῦ] μετολίγον μέλλοντος λέγε. Πλάτων

---

2. τετάρτῃ] IV, cap. 60. 4. τετάρτῳ] δυ B. Est vol. I, p. 584. (I, 512. Df.) 6. ἐπιστολῇ] 113. p. 254. c. 8. τάγματα GBFO. πράγματα CDP. ὀγδόῃ] immo IX, cap. 42. 9. μεταπεμψάμενος] μεταστρεψάμενος GB. οὖν] ὦν Herodotus.

11. τὸ ἀνασπῶ] τὸ om. B. 12. ἀνασποῦμαι B. Λουκιανὸς] § 28. vol. II, p. 746. 13. ἀπετιλλας B. ἀπέτειλας Ra. 14. ὁ αὐτὸς] καὶ αὖθις B. τῷ αὐτῷ] 23. vol. II, p. 737. cum scr. div. παρατετιλμένος. 15. παρέχει Lb. 16. τῷ] τὸ B. τελευτῆς] 6. vol. III, p. 330. 17. ὑποφοιδόμενος DP. 18. πένθους] 16. vol. II, p. 929.

20. τοῦ Lb. om. GBEdd. μετολίγον GB. μετ' ὀλίγον Edd. μετ' ὀλίγον Lb. μέλλοντος] μέλλοντος παθητικοῦ Ian.

δὲ ἐν Γοργίᾳ ἐπὶ μέλλοντος ἐνεργητικοῦ λέγει· τεθνήξει οὗτος ὃν ἂν δόξῃ. καὶ Λιβάνιος· εἰ μή τις ἄρτον μεταδοίη, τεθνήξει. ὅπερ καὶ Λουκιανὸς ἐν τῷ ψευδο[σοφιστῇ ἢ] σολοικιστῇ ἀπαγορεύει.

Τόξευμα οὐ μόνον ἡ τοξεία, ἀλλὰ καὶ αὐτὸ τὸ τόξον. Ἡρόδοτος ἐν τῇ ἕκτῃ· οὔτε ἵππου ὑπαρχούσης σφι οὔτε τοξευμάτων.

[Τὸ ταλαιπωρῶ καὶ ἀμεταβάτως καὶ μεταβατικῶς εὕρηται, οἷον οὐ μόνον ἐγὼ ταλαιπωρῶ, ἀλλὰ καὶ τὸν δεῖνα ταλαιπωρῶ. Ἰσοκράτης ἐν τῷ περὶ εἰρήνης· καὶ πάντας τρόπους τεταλαιπώρηκεν ἡμᾶς. καὶ Λιβάνιος ἐν μελέτῃ τῇ Νόμος τὸν εὑρόντα θησαυρὸν χιλίας τῇ πόλει διδόναι δραχμάς· τοὺς οἰκέτας λιμῷ ταλαιπωροῦντι.]

---

1. Γοργίᾳ] p. 469. d., ubi τεθνήξεται olim vulgabatur, nunc legitur τεθνήξει. 2. καὶ om. B. Sedem verborum Libanii nec ego scio nec Dukerus novit ad Thucyd. VIII, cap. 74.

4. ψευδοσοφιστῇ ἢ σολοικιστῇ scripsimus de coniectura, ut p. 49, 1. ψευδοσολοικιστῇ GBEdd. „ψευδολοιϰ. RR.“ Est § 7. vol. III, p. 570. Huic § FO continuarunt superiorem Ἀπὸ τοῦ θανῶ p. 355, 12.

6. τοξείᾳ P. 7. ἕκτῃ] cap. 112.

9. Haec notatio hic adiicitur in Ra. Ex Ox ad voc. Ταμίαν affertur ab Oudendorpio p. 832. Om. GBEdd. Tenet etiam Phavorinus p. 689. a. ταλαιπορῶ ter Ra. ἀμεταβάτως] ἀμεταβατικῶς Ra. ἀμετάβατον Ox, Phav. μεταβατικῶς Ra. μεταβατικὸν Ox, Phav. εὕρεται Ra. 11. εἰρήνης] p. 163. a. Steph. (§ 20. Bekk.), ubi olim πάντα τρόπον. 12. καὶ Λιβάνιος — ταλαιπωροῦντι] ὃ καὶ ταλαιπωροῦμαι λέγεται. Phav. 13. ἐν μελέτῃ τῇ om. Ox. Est vol. IV, p. 205, 15. Reisk.

Υ.

Ὕαλος Ἀττικοί. Ἀριστοφάνης ἐν νεφέλαις·

τὴν ὕαλον λέγεις.

ὕελος δὲ ἁπλῶς Ἕλληνες.

Ὑφηνάμην κρεῖττον ἢ ὕφανα.

Ὕσπληξ θηλυκῶς ἐρεῖς, οὐχ ὁ ὕσπληξ.

Ὑγιᾶ κρεῖττον ἢ ὑγιῆ, διὰ τὸ τοὺς Ἀττικοὺς ἀεὶ εἰς ᾱ ποιεῖν τὴν τῶν τοιούτων συναίρεσιν, ὅσης καθαρᾶς τῆς εὐθείας, τοὺς δὲ κοινοὺς εἰς η̄. τὸ αὐτὸ γίνεται καὶ ἐπὶ τῆς εὐθείας καὶ αἰτιατικῆς τῶν πληθυντικῶν τῶν οὐδετέρων· τὰ ὑγιᾶ γάρ φαμεν. ὡσαύτως καὶ ἐπὶ τοῦ χρέος καὶ κλέος. καὶ ταῦτα γὰρ εἰς ᾱ τήν τε εὐθεῖαν καὶ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν ἔχουσι· χρέα γὰρ καὶ κλέα λέγομεν.

Ὑπνομαχεῖν Ξενοφῶν, καὶ Συνέσιος ἐν ἐπιστολῇ· ὑπὸ μεσοπύργιον τεταγμένος ὑπνομαχῶ. σὺ δὲ ἀνθίστασθαι ἢ ἀντιπράττειν τῷ ὕπνῳ λέγε, ἢ ὕπνου κρατεῖν.

Καὶ ὕδερος καὶ ὕδρωψ.

---

1. νεφέλαις] v. 769.

4. Ὑφηνάμην ALLRRGBO, Phav. p. 725. c., Sallierus ad Moer. p. 375. ὑφανάμην CDPF. ὕφηνα μὴν vel μὲν in mentem venit Oudendorpio. ὕφανα] ὕφηνα Phav.

5. Ὕσπληξ ALLGCDP. ὕσπληγξ RRB. ἡ ὕσπληξ FO. ὁ ὕσπληξ] ὁ ὕσπληγξ RR.

6. Ὑγιά B. 7. καθαραὶ B. 8. καὶ om. B.

10. γὰρ ὑγιᾶ G. 11. χρέος] χρέως P. χρέους Lb. κλέος] κλέως DP. κλέους Lb. τε ALLGBO. om. CDPF. 12. καὶ τὴν] καὶ B. ἔχουσιν B. χρεά et κλεά B.

14. Ξενοφῶν] Cyrop. II, 4, 26. ἐπιστολῇ] 129. p. 265. c. 15. μεσοπυργίῳ Synesius. τεταγμένως P. 16. ἀντὶ πράττειν τῷ ὑύπνω λέγε καὶ ὑπνουκρατεῖν B.

18. Καὶ prius om. B. Ὕδερος πάθος τι συμβαῖνον ἐκ φλεγματικῆς ὠμοχυμίας· τὸ δ' αὐτὸ ὕδρωψ. E.

῾Υποκορίζομαι τὸ μετὰ σεμνολογίας σμικρύνω. Ἀριστοφάνης ἐν Πλούτῳ·

νιττάριον καὶ βάττιον ὑπεκορίζετο.

Ἀριστείδης ἐν τῷ κατὰ τῶν ἐξορχουμένων· ἀνθρώπων ὑποκοριζομένων τὴν αὐτῶν φαυλότητα καὶ δυστυχίαν. [καὶ] Πλούταρχος ἐν τῷ περὶ τοῦ πῶς ἄν τις διακρίνει τὸν κόλακα τοῦ φίλου· ἀστείως ὑποκορίζεσθαι τὰς μὲν πόρνας ἑταίρας, τὰς δὲ συντάξεις φόρους, φυλακὰς δὲ τὰς φρουρὰς τῶν πόλεων.

῾Υφίσταμαι ἀντὶ τοῦ ὑπομένω λογογράφοι. Λουκιανὸς ἐν Τίμωνι· ὑπόστηθι, ὦ Τίμων, δι' ἐμέ. ἀντὶ τοῦ ὑπισχνοῦμαι δὲ ποιηταὶ, καὶ Θουκυδίδης ἅπαξ· ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη. ὑφίσταμαι καὶ ἀντὶ τοῦ κρυφίως ἵσταμαι. Λουκιανὸς ἐν τῷ φιλοψευδεῖ· ἐν σκοτεινῷ ὑποστάς. καὶ ἀντὶ τοῦ

---

2. *Πλούτῳ*] v. 1012. 3. *νιττάριον καὶ βάττιον* „*MSS*“ (*OUD.*) GBCDP. *νιτάριον καὶ βέττιον* RB. *νιττάριον καὶ βάτιον* Phav. p. 722. b. *Νιτάριον καὶ Βάτιον* FO ex prioribus edd. Aristophanis, cuius libri quomodo discrepent, vide apud Dobreum. *ὑποκορίζετο* CDP. 4. *Ἀριστείδης*] vol. III, p. 691. (II, 548. Df.) *τῶν* om. B. 5. *ὑποκριζομένων* B. *ὑποκοριζωμένων* P. *αὐτῶν φαυλότιτα καὶ δυστιχίαν* B. 6. *καὶ* Edd. om. ALLGB. *περὶ τοῦ* ALLGB. om. Edd. Memoriter Thomas citavit Plutarchi verba, quae sunt in vit. Solon. cap. 15. p. 86. c. Nescio an interciderit aliud exemplum Plutarchi *de adul. et amic. discr.* p. 56. c. d. 7. *διακρίνεις* P. Legebatur *διέκρινε*. 9. *τὰς — φόρους*] *τοὺς δὲ φόρους συντάξεις* Plutarchus.

11. *῾Υφίσταμαι*] de *ὑφίστημι* cogitabat Oudendorpius. *ὑπομεν'* (ω) B. 12. *Τίμωνι*] § 40. vol. I, p. 151. 13. *Θουκυδίδης*] IV, cap. 39. 14. *ὑφίσταμαι*] *ὑφιστάναι* B. 15. *κριφίως* B. 16. *φιλοψευδῆ* RbB. Num *φιλοψευδής*? Est § 35. vol. III, p. 62.

ὑποχωρῶ. ὁ αὐτὸς ἐν Τίμωνι· ἐγὼ δὲ ὑμῖν ὑποστήσομαι. ὑφίσταμαι καὶ τὸ ὑποκάτω τινὸς ἵσταμαι, καὶ ὑφίστημι τὸ ὑποβάλλω τι.

Ὕπαιθρον μὴ λέγε, ἀλλ' ὑπαίθριον.

Υἱέα μηδαμῶς εἴπῃς, ἀλλ' υἱόν· μηδὲ υἱεύς εἴπῃς, ἀλλ' υἱός· μηδὲ υἱέϊ, ἀλλὰ υἱεῖ καὶ υἱῷ. υἱέος δὲ λέγων διὰ τοῦ ο μικροῦ γράφε, ὡς καὶ δρομέος. Θουκυδίδης ἐν βιβλίῳ πρώτῳ· Καμβύσου τοῦ υἱέος αὐτοῦ. καὶ υἱέσι λέγε, μὴ υἱεῦσι· καὶ υἱεῖς υἱέων, υἱέας καὶ υἱεῖς, κρείττω γὰρ ταῦτα τοῦ υἱοὶ καὶ υἱῶν καὶ υἱοῖς καὶ υἱούς.

Ὑποτίθησι μὲν τὰ ἐνέχυρα ὁ δανειζόμενος· ὑποτίθεται δὲ ὁ λαμβάνων ταῦτα ἤγουν ὁ δανείζων. καὶ ὑποτίθημι τὸ ὑποβάλλω καὶ τὸ συμβουλεύω. καὶ ὑποκείμενος λόγος ὁ κατὰ συμβουλὴν λεγόμενος. Ἡρόδοτος ἐν τῇ τρίτῃ· τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο.

---

1. Τίμωνι] § 40. vol. I. p. 152., ubi nunc receptum ἐπικοτήσομαι, olim erat etiam ἀποστήσομαι. Ὑφίσταμαι τὸ ὑποδέχομαι καὶ τὸ ὑπισχνοῦμαι Ἐπ. ῥ.

4. ἀλλ' GB. ἀλλὰ Edd. ὑπαίθριον] ἐπαίθριον B.

5. Υἱέα] Ὑέος B. εἴποις La. υἱόν] υἱοῦ B. μηδὲ] μὴ δὲ BCDP. ἀλλ' GB. ἀλλὰ Edd. 6. υἱεῖ καὶ] καὶ om. P. υἱέος] υἱέως B. 8. βιβλίῳ πρώτῳ ALLGB. Quod etsi prorsus inusitatum Thomae est citandi genus, posthabendum tamen solarum Edd. τῇ πρώτῃ visum est. Forsitan enim in illo lateat aliquid, etsi quale hoc sit non licuit eruere. Verba sunt cap. 13. υἱέος „MSS" (OUD.) GBEdd., nunc etiam Thucydides pro vulgato olim υἱέως. Cf. Poppo de elocut. Thucyd. p. 221. αὐτοῦ] ἤγουν τοῦ Κύρου add. B. 9. υἱεῦσι] υἱέσι B. υἱεῖς] υἱεὶς B.

10. δανευζόμενος CD. 14. καὶ τὸ „MSS" (OUD.) GBO. om. CDPF. 15. συμβολὴν B. 16. τρίτῃ] cap. 40. ἀκέο O ex Herodoto. ἄκαιο LLRRGB. ἀκαλο A. om. CDPF.

Ὑπισχνεῖται κυρίως τις τὸ ἀξιωθὲν διδόναι· ἐπαγγέλλεται δὲ ὁ δίχα ἀξιώσεως παρέχειν βουλόμενος.

Ὑπάρχω τὸ προκατάρχω, ὡς τὸ ὑπῆρξεν ἀδίκου μάχης. Ἀριστείδης ἐν δευτέρῳ τῶν Λευκτρικῶν· οὐ τὸ μὴ ἀντευποιεῖν τοὺς ὑπάρξαντας. καὶ ὑπαρχή ἡ προκάταρξις. καὶ ἀντὶ τοῦ εἰμί. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· ὑπῆρχον δὲ εἰς ἅπαντα νικῶντες. καὶ ὑπάρχω τὸ ἀρχήν τινα ἄρχω. Συνέσιος ἐν ἐπιστολῇ· τοὺς ὑπάρξαντας ὡς βελτίστους αἱρεῖσθαι.

Τὸ ὑπάγω μὴ εἴπῃς ἀντὶ τοῦ ἀπέρχομαι, ἀλλ' ἀντὶ τοῦ ὑπὸ ζυγὸν ἄγω. Ὅμηρος·

ὕπαγε ζυγὸν ὠκέας ἵππους.

οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν, ὅτι ὑπάγειν λέγεται τὸ προάγειν, ὥσπερ ὑφηγητής ἀντὶ τοῦ προηγητής, καὶ ὑπογραμμός ἀντὶ τοῦ προγραμμός, ὥς φησι καὶ Ἀριστοφάνης·

ἐγὼ ὑπαίρω τὸν ὅρκον,

ἀντὶ τοῦ προαίρω· καὶ ὑποτίμησις ἡ προτίμησις, καὶ ὑπειπεῖν ἀντὶ τοῦ προειπεῖν, καὶ ὑπολαβιὸν ἀντὶ τοῦ προ-

---

1. Ὑπισχνεῖται P. ἐπαγγέλεται B.

3. ὑπῆξεν B. 4. δευτέρῳ] vol. II, p. 150. 51. (I, p. 660.) 5. ἀντευποιεῖν] αὖ τευποιεῖν B. ὑπάρχη B. 7. Παναθηναϊκῷ] vol. I, p. 254. (I, 237. Df.) ἅπαντας Ra. 9. ἐπιστολῇ] 73. p. 221. a. βελτίστοις GBEdd., Synes. βελτίοις LL.

11. εἴποις La. ἀπέρχομαι] ὑπάρχομαι B. ἀλλὰ B. 12. ἄγω] ἄγειν καὶ δουλοῦν βόας ἢ ἵππους Moschopulus Syll. f. 161. a. et multo plenior Phavorinus p. 717. a. Ὅμηρος] Iliad. XVI, v. 148. 15. προάγειν] προαγοῦν B. 16. ὑπογράμμος B. 17. ὥς φασὶν B. 18. Ἀριστοφάνης] prius citatus ab Ammonio p. 140. 19. ὑπαιρῶ] δὲ ὑπαίρω Ammonius. ὑπερῶ coni. Wolfius. δ' ὑπερῶ etiam Dindorfius scripsit ut mox προερῶ fragm. 479. ὅρκων B.

προλαβών, ὡς Θουκυδίδης· οὐ γὰρ ἂν Κέρκυραν ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον. οὕτως οὖν καὶ ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν. Ἀριστοφάνης ἐν βατράχοις·

ὑπάγεθ' ὑμεῖς τῆς ὁδοῦ.

καὶ Εὔπολις ἐν βαπταῖς·

σὺ δ' ὕπαγ' εἰς τοὔμπροσθεν.

καὶ Θουκυδίδης· παραινέσας ὑπῆγε τὸ στράτευμα. ὑπάγω καὶ τὸ ὑποβάλλω. Ἀριστείδης ἐν τῷ Αἰγυπτίῳ· καὶ τὰ δῆλα τοῖς ἀδήλοις ὑπάγειν.

Ὑπέχω τὸ ὑποτίθημι, ὡς τὸ ὑποσχὼν τὴν χεῖρα παρὰ τῷ θεολόγῳ, καὶ ὑπέχει τὰ ὦτα τοῖς λεγομένοις. καὶ τὸ δίδωμι, ὡς τὸ ὑπέχω δίκην.

Ὑπισχνοῦμαι· τὸ δὲ ὑπόσχομαι βάρβαρον· ἐὰν ὑπόσχωμαι δὲ ἐν χρήσει.

Ὑφηγοῦμαι τὸ διδάσκω καὶ τὸ παραινῶ· καὶ ὑφηγητής.

---

1. *Θουκυδίδης*] I, cap. 68. *Κέρκυραν*] *τε* add. Thucydides, omissum tamen in duobus libris mss. *Κύρκωραν* B. 2. *εἶχην* B. 3. *προάγειν*] *τουτέστιν εἰς τοὔμπροσθεν πορεύεσθαι* add. Ammon. 4. *βατράχοις*] v. 174. 5. *ὑπάγε θ'* B. *ὁδοῦ*] *ἤγουν προηγεῖσθε* add. Ε π. ῥ. 6. *βαπταῖς* hoc accentu LLGB CDP. *Βάπταις* FO. Sumpsit e Sylloga Moschopuli (e qua cum aliis multis transiit in Bachmanni Anecd. II, p. 375.), qui debet Ammonio. Est fragm. 65. Runk. 7. *ὕπαγ' εἰς* B, Mosch. *ὑπάγεις* Phav. l. c. *ὕπαγε εἰς* GEdd., Ammonius. *τοὔμπροσθεν* C. 8. *Θουκυδίδης*] IV, cap. 127. init. 9. *στράτευμαι* B. *ὑποβάλλω*] *ὑποβάλλ'* B. Add. Ε π. ῥ.: *οἷον ὑπάγω τοὺς ῥύας τῷ ῥυμῷ.* 10. *Αἰγυπτίῳ*] vol. III, p. 557. (II, 441. Df.)

14. *ὡς τὸ*] *τὸ* om. B. Pro *ὡς — δίκην* in Ε π. ῥ. est *ἐπὶ καταδίκης.*

15. *ἐὰν ὑπόσχωμαι* A „*Leid.*“ RRGBOxCDPO, Phav. p. 720. c. *ἐὰν ὑπόσχομαι* F. 16. *χρύση* B.

17. *καὶ τὸ* GB. *τὸ* om. Edd.

καὶ ὑφηγοῦμαι τὸ προοδοποιῶ. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

ἀλλ᾽ ἕρφ᾽. ὑφηγοῦ.

μὴ εἴπῃς δὲ ἐκ τούτου καὶ ὑφηγητὴς ὁ προοδοποιός.

Ὑπολαμβάνω τὸ ὑποπτεύω· καὶ τὸ προλαμβάνω, ὡς ἔφαμεν. καὶ ὑπολαμβάνω τὸ ἀποκρίνομαι. Θουκυδίδης· ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς ἐπαγγεῖλαι. καὶ ὑπολαμβάνω τὸ ὑποδέχομαι. Ἡρόδοτος ἐν τῇ πρώτῃ· νῦν ὦν μευ εὖ παραινεούσης ὑπόλαβε τὸν λόγον. καὶ αὖθις ἐν τῇ τρίτῃ· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον.

Ὑπερήφανος ἄνθρωπος ὁ ὑπέρφρων καὶ ἀλαζών· ὑπερήφανος δὲ παρασκευὴ ἡ μεγάλη καὶ θαυμαστή. Πλάτων ἐν [τῷ] Φαίδωνι· ὑπερήφανον γάρ μοι ἐδόκει εἶναι εἰδέναι τὰς ἱστορίας ἑκάστου. καὶ ὑπερηφανωτέρα οἰκία ἡ τῶν ἄλλων μείζων. Δημοσθένης· τὰς ἰδίας οἰκίας κατεσκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας.

---

1. προδοποιῶ P. προυδοποιῶ. ὡς B. Ἠλέκτρᾳ] v. 1502. 3. ἕρφ᾽. ὑφηγοῦ] ἔρεν φὔγηγοῦ B. 4. προδωποιός B.

5. ὡς ἔφαμεν „MSS“ (OUD.) RRGBCDPO. om. F. Dixerat p. 369, 1. 6. ἀποκρίνομαι ALLGBO. ὑποκρίνομαι CDF. ὑποκρίνωμαι P. Θουκυδίδης] V, cap. 49. 7. αὐτὸς B. 9. πρώτῃ] cap. 212. ὦν μευ εὖ B. ὤν μευ εὖ „MSS“ (OUD.) GO. ὦ μευ εὖ Ra. ὤν μευ οὖ CDPF. μὲν ὢν εὖ Rb. 10. ὑπόλαβε „MSS“ (OUD.) RRGBCDPO. ὑπέλαβε F. καὶ αὖθις — τὸν λόγον om. B. τρίτῃ] cap. 146.

12. ἀλαζῶν CD. 14. τῷ ALLGB. om. Edd. Vide Prolegomena. Verba sunt p. 96. a. ὑπερήφανον ap. Platonem olim vulgatum, nunc receptum ὑπερήφανος. 15. ἱστορίας] αἰτίας Plato: sed illud in septem libris Bekkeri, item septem Stallbaumii. 16. μείζων] ἀνέχουσα ὡς μείζων καὶ ἐξηρημένη E. 17. Δημοσθένης] de contribut. p. 175, 10. κατασκευάσκασιν B. 18. μόνων D.

Ὑπολύω τὸν πόδα, καὶ ὑπολύω τὸν βοῦν ἤγουν ὑπὸ τὸν ζυγὸν ὄντα δεδεμένον λύω. Θουκυδίδης ἐν τῇ τετάρτῃ· τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο.

Ὕειον κρέας μὴ λέγε, ἀλλ' ὑὸς κρέας, καὶ ὑεικὸν ὡς βοεικόν· εἰ καὶ Συνέσιος λέγει, ὡς προέφημεν, ταρίχη κρεῶν ὑείων ἀπολελαυκότα τοῦ χρόνου.

Ὑπόστρωμα Ἀττικοὶ, οὐ περίστρωμα.

Τὸ ὑπόγυον οἱ δοκιμώτατοι ἐπὶ τοῦ μέλλοντος τιθέασιν, ἤγουν ὑπόγυος κίνδυνος ὁ ὅσον οὔπω ἐσόμενος· τινὲς δὲ ἐπὶ τοῦ παρεληλυθότος, ὡς ἔχει καὶ τὸ παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ· τὸ ὑπόγυον τῆς ὕβρεως αἰσχυνόμενος.

Ὑψιπέτης ὁ εἰς ὕψος πετόμενος· ὑψιπετὴς δὲ ὁ ἐξ ὕψους πεσών. ὡσαύτως καὶ δρυπέτης καὶ δρυπετὴς καὶ ὅσα τοιαῦτα.

---

2. ὄντα P. λύο B. τετάρτῃ] cap. 128. 3. τῶν „*MSS*“ (*OUD.*) RRGBCDPO. τὰ F. Ὑπολύω κυρίως ἐπὶ ὑποδημάτων E π. ῥ. e Mosch. Syll. f. 161. a.

5. Ὕϊειον E. 6. βοεικὸν ALLRRGBEO. βοϊκὸν CDPF. Συνέσιος] de regno p. 18. c. ὡς προέφημεν RRBCDPO. om. F. ὡς ἔφαμεν Lb. Dixerat v. τάριχος p. 352, 6. 7. ταρίχη] ταρίη B. νείων B.

10. Τὸ ὑπόγυον] Ὑπόγυιον E. 11. ἤγουν] οἷον Ra. ὑπόγυις B. ὁ ὅσον] ὁ om. Lb. ἤγουν ὅσῳ Ox. ἤγουν ὁ ὅσον B. οὔπω DP. τινὲς] Novam § orditur B. 12. καὶ τὸ om. Ox. τὸ om. Lb. καὶ τῷ La. 13. Γρηγορίῳ om. Ox. 14. ἐπιταφίῳ] vol. I, p. 352. c.: τὸ τῆς ὕβρεως ὑπόγυιον.

16. ὑψιπετὴς] νιπετὴς B. 17. καὶ δρυπέτης καὶ δρυπετὴς AGB, et puto RR. καὶ δρυπέτης CDPF. καὶ δρυπετὴς LL OxO.

Οὐ μόνον ὑβριστικώτερος καὶ ὑβριστικώτατός φαμεν, ἀλλὰ καὶ ὑβριστότερος καὶ ὑβριστότατος. *Ἀριστείδης·* πολλῷ προπετέστεροι καὶ ὑβριστότεροι πάντες οἱ τούτου τοῦ σχήματος μετασχόντες.

Ὑπνώδης παρ' οὐδενὶ τῶν δοκίμων, ὑπνηλός δὲ ἢ ὕπνῳ δουλεύων. *Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ὑπὲρ τῆς τῶν Ἀντιοχέων ὀργῆς·* ὑπνηλοῦ δὲ βασιλέως.

Ὕβρις λέγε καὶ μὴ ὑβρισμός.

Ὑπτιάζειν καὶ τὸ ὕπτιόν τινα καὶ ῥᾴθυμον εἶναι καὶ τὸ ὡσανεὶ θρύπτεσθαι. *Αἰσχίνης·* ὑπτιάζων καὶ κατασκοπούμενος ἑαυτὸν ὡς ἐν παλαίστραις καὶ διατριβαῖς γεγονώς. *καὶ Φιλόστρατος·* ὑπτιάζει καὶ ὡραΐζεται.

Ὑποστρέφω κάλλιον ἢ ἀναστρέφω.

Ὑπερμαζῶ οὐ μόνον τὸ μεγάλους μαστοὺς ἔχω, ὡς Συνέσιος ἐν ἐπιστολῇ· αὗται γὰρ ὑπερμαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, *ἀλλὰ καὶ τὸ*

---

1. *οὐ μόνον* ante *φαμὲν* collocat B. 2. *Ἀριστείδης*] Panathenaic. vol. I, p. 339. (I, p. 316. Df.) 4. *τούτου τοῦ σχήματος* ALLRRGBCDPO, Aristidis unus cod. *τοῦ* om. F. *τοῦ σχήματος τούτου* Aristides vulgo.

5. *ὑπνήλος* B. *ἢ*] *ὁ* E. 7. *τῶν* ALaGBO. om. CDPF. *ὀργῆς*] vol. II, p. 167. b. (I, p. 474, 14. Rk.) *ἐπνηλοῦ* B. *δὲ* om. O. *βασιλέως*] *βασιλεύοντος* Libanius.

8. *λέγε*] *λέγεται* Lb. *καὶ μὴ* om. B.

9. *καὶ τὸ ὕπτιόν — καὶ τὸ ὡσανεὶ* „*MSS*“ (*OUD.*) GB. *καὶ τὸ ὕπτιόν — καὶ ὡσανεὶ* O. *καὶ ὕπτιόν — καὶ ὡσανεὶ* CDPF.
Ὑπτιάζειν καὶ τὸ ῥαθυμεῖν καὶ τὸ θρύπτεσθαι E. π. ῥ.

10. *Αἰσχίνης*] in Timarch. p. 18. St. (143. Rk.) 11. *παλαίστροις* B. 12. *γεγωνώς* F. *Φιλόστρατος*] Nondum repertum.

15. *μεγάλος* B. *μαζοὺς* ARbE π. ῥ. *ἔχω*] *καὶ ἀσυμμέτρους* add. B. 16. *ἐπιστολῇ*] 4. p. 168. b. *ὑπερμαζῶσιν* B, omittens *καὶ ἀσυμμέτρως — στέρνων.* 17. *καὶ τὸ* „*MSS*“ (*OUD.*) RRGBE π. ῥ. O. *τὸ* om. CDPF.

ὑπερτρυφῶ, οἱονεὶ τὸ τραπέζῃ χρῶμαι οὐκ εὐτελεστάτῃ οἷον ἀπὸ μάζης, ἀλλὰ πλεῖστα σιτία ἐχούσῃ. Λουκιανὸς ἐν τῷ πλοῖον ἢ εὐχαί· ὑπερμαζᾷς γάρ, ὦ Ἀδείμαντε.

Οὐ μόνον ὑφίσταμαι ἀντὶ τοῦ ὑπισχνοῦμαί φησι Θουκυδίδης, ἀλλὰ καὶ ὑποδέχομαι ἐν τῇ δευτέρᾳ· τόν τε ἐπὶ Θρᾴκης πόλεμον ὑπεδέχετο καταλύσειν. καὶ ἐν τῇ ὀγδόῃ· Τισσαφέρνης αὐτῷ ὑπεδέξατο, μὴ ἀπορήσειν αὐτοὺς τροφῆς. καὶ Ἡρόδοτος ἐν τῇ δευτέρᾳ· ἄδειάν τε διδόντα καὶ μεγάλα ὑποδεκόμενον. ὁ αὐτὸς δὲ καὶ ἀναδέχομαι λέγει ἐπὶ τοῦ αὐτοῦ· ἀναδεκομένους ὑποχειρίας παρέξειν τὰς Ἀθήνας.

Τὸ ὑπερορῶ ὡς ἐπιτοπολὺ μὲν γενικῇ συντάσσεται, παρ' Ἀττικοῖς δὲ καὶ αἰτιατικῇ ἔστιν ὅτε. ὁ αὐτὸς ἐν τῇ ἕκτῃ· ὑπεριδόντες τὴν ἐν τῷ παρόντι ἡσυ-

---

2. ἐχούσῃ ALaRBO. ἐχούσης GBCDPF. Λουκιανὸς] § 15. vol. III, p. 259. 3. ὑπερμαζῶν A. γὰρ] γε Lucianus: sed illud in lemmate scholiastae.

5. Hanc cum superiore notatione (p. 366, 11.) iunxerunt FO. Ὑφίσταμαι οὐ μόνον transponit B. 6. δευτέρᾳ] cap. 29. 8. ὀγδόῃ] cap. 81. ὑπεδέξατο] Praetermissa sunt Thucydidia quaedam. 10. δευτέρᾳ] cap. 121. extr. 11. ὑποδεκόμενον ALaGBCO. ὑποδεχόμενον DPF. ὁ αὐτὸς] V, cap. 91. δὲ om Ra. 12. ἀναδεκομένους ALaGBCO. ἀναδεχομένους DPF. ἀναδεχομένου Rb. 13. παρέχειν A.

14. Τὸ ὑπεριδεῖν Ox. ἐπιτοπολὺ ALaOx. ἐπὶ τὸ πολὺ B. ἐπιτοπλεῖστον LbGCDP. ἐπὶ τὸ πλεῖστον FO. 15. Quia non ὑπερορῶ, sed ὑπερείδω verbi exemplum sequatur, supplendum Thomam Oudendorpius coniicit e Phavorino p. 719. c., cuius haec verba sunt: Ὑπερορῶ παρὰ μὲν τοῖς κοινοῖς γενικῇ, παρὰ δὲ τοῖς Ἀττικοῖς αἰτιατικῇ συντάσσεται· ὡς Συνέσιος (Homil. p. 1?0. d.) πνεῦμα θεῖον ὑπερορᾷ. 16. ἕκτῃ] VI, cap. 18. ὑπεριδόντες] καὶ οὐκ ἀγαπήσαντες olim additum erat ap. Thucyd.

χίαν. ὅπερ καὶ ἐπὶ τοῦ ὑπερφρονῶ γίνεται. Ἀριστοφάνης ἐν νεφέλαις·

ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς.

καὶ Λιβάνιος ἐν ἐπιστολῇ τῇ Νῦν ἔγνων εἶναι, ὃ λέγομαι· οἷά τις ἀλαζὼν τοὺς πάντας ὑπερφρονῶν.

Ὕποπτος καὶ ὁ ὑποπτευόμενος καὶ ὁ ὑποψίαν ὁτουοῦν ἔχων. Εὐριπίδης ἐν Ἑκάβῃ·

ὕποπτος ὢν Τρωϊκῆς ἁλώσεως.

ὑπόπτης δὲ μόνον ὁ ὑποπτεύων. Θουκυδίδης ἐν τῇ ἕκτῃ· χαλεπὸς ἦν τότε καὶ ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας.

Καὶ ὑπολογίζομαι καὶ ὑπόλογον τίθεμαι. Ἀριστείδης ἐν Λευκτρικῷ τρίτῳ· καὶ περιίδωμεν μηδένα ὑπόλογον θέμενοι.

Ὑποκρίνομαι τὸ μετὰ προσποιήσεως καὶ σχηματισμοῦ τι ποιῶ· καὶ ὑπόκρισις αὐτὸ τὸ ἐπίπλαστον ἔργον. ὑποκρίνομαι καὶ τὸ ἀποκρίνομαι, καὶ ὑπόκρισις τὸ αὐτό. Ἡρόδοτος ἐν τῇ πρώτῃ· Τελμησέες μὲν ταῦτα

---

2. νεφέλαις] v. 226. 3. ταροῦ ALaB. 5. ἐπιστολῇ] 1599. p. 727. 6. ἀλαζῶν CDP. ἀλαζων B. ὑπερφρονῶν] περιφρονῶν scriptum apud Libanium.

8. Ὑπόπτος DP. καὶ om. B. ὑποπτεύων Ra. ὑψοψίαν B. ὁπουοῦν Rb. ἔχον B. 9. Ἑκάβῃ] v. 1117. Pors. 10. ὢν] ὢν δὴ Euripides. ἁλώσεως] ἤγουν ὑποψίαν ταύτης ἔχων add. BOx. 11. ὑποπτὴς B. ὁ ποπτεύων B. 12. ἕκτῃ] cap. 60. init. ἦν] ὤν B. καὶ om. B.

14. Καὶ ὑπολογίζομαι „MSS" (OUD.) GO. καὶ om. BCDPF. 15. Λευκτρικῷ ALLGB. Λευκτρικῶν Edd. τρίτῳ] vol. II, p. 173. (I, 677. Df.), ubi olim fuit ὑπὸ λόγον. περὶ ἴδωμεν B. Ὑπολογίζομαι τὸ ἐνθυμοῦμαι ἀμεταβάτως. Ε π. ῥ.

19. καὶ τὸ] δὲ καὶ τὸ G. 20. πρώτῃ] cap. 78. extr. Τελμησέες GCDFO. Τελμισσέες B. Τελλμησέες P. Τελμησσέες Herodotus. μὲν] μέν νυν Herodotus.

ὑπεκρίναντο Κροίσῳ. καὶ αὖθις ἐν τῇ αὐτῇ· ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι. καὶ πάλιν ἐν τῇ αὐτῇ· καὶ τῶν χρηστηρίων τὰς ὑποκρίσιας.

Τὴν ὑπὲρ πρόθεσιν τὴν ἐπάνω σχέσιν δηλοῦσαν πρὸς γενικὴν ἐκφέρουσιν Ἀττικοί, Ἕλληνες δὲ πρὸς αἰτιατικήν. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ· τῷ ὑπὲρ κεφαλῆς ἀέρι. ὡσαύτως καὶ τὴν ὑπό. Πλάτων ἐν τῇ τοῦ Σωκράτους ἀπολογίᾳ· τά τε μετέωρα φροντιστὴς καὶ τὰ ὑπὸ γῆς πάντα ἀνεζητηκώς. καὶ αὖθις ἐν τῷ αὐτῷ λόγῳ· ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια. Πλούταρχος· πᾶς γὰρ ὁ ὑπὸ γῆς τε καὶ ὑπὲρ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος κατὰ Πλάτωνα.

Ὑπόψηφος καὶ ὑπὸ ψῆφόν ἐστι λέγε, μὴ ὑποψήφιος. Συνέσιος ἐν τῷ περὶ προνοίας πρώτῳ· τοὺς ὑποψήφους τῆς βασιλείας.

---

1. ὑπεκρίναντο „MSS“ (OUD.) RRGBO. ἀπεκρίναντο CDPF. τῇ αὐτῇ] cap. 91. 2. Τυθίη B. τοῖσσι B. 3. τῇ αὐτῇ] cap. 90. 4. ὑποκρίσις B, ut Schaeferus. Ὑποκρίνομαί τι, ἤγουν σχηματίζομαι· ὑποκρίνομαι δὲ καὶ κατ' ἐμαυτὸν λογίζομαί τι. Επ.ρ., ut videtur, e Moschop. Syll. f. 161. a.

6. ἐκφέρουσι B. αἰτιατικήν D. 7. Παναθηναϊκῷ] vol. I, p. 327. (I, 305. DF) ὑπερκεφαλῆς B. 9. ἀπολογίᾳ] p. 18. b. 10. γῆν olim vulgatum, ἅπαντα nunc receptum apud Platonem. ἀνεζητικώς CDP. 11. τῷ αὐτῷ] p. 19. b., ubi item legebatur γῆν. 12. καὶ τὰ — ὑπὸ γῆς om. B. Πλούταρχος] de cap. ex inimic. utilit. p. 92. d. ἅπας Plutarchus, et deinde ὑπὲρ γῆς καὶ ὑπὸ γῆν. Sed ὑπὸ γῆς τε καὶ ὑπὲρ γῆς ALLBRG. ὑπὸ γῆς τε καὶ ὑπὲρ γῆν Edd. τε καὶ ὑπὸ γῆς B. 13. οὐκ ἀντάξιος ἀρετῆς Plutarchus.

15. λέγε om. B. 16. πρότῳ DP. πρώτην B. Est p. 94. b.. 17. τῇ βασιλείᾳ Synesius.

Φ.

Φαῦλον τὸ κακὸν καὶ τὸ εὐτελές· φλαῦρον δὲ μόνον τὸ κακόν.

Φακῆ θηλυκῶς ἡ ἑψημένη· φακοὶ δὲ ἀρσενικῶς ἐπὶ πληθυντικοῦ οἱ ἀνέψητοι. λέγονται δὲ φακοί καὶ τὰ ἐπὶ τῶν τελμάτων χλοώδη, ἃ κοινῶς λέγονται βρύα. [καὶ παρὰ τῇ θείᾳ γραφῇ ἀγγεῖόν τι, ὡς ἐν τῷ τετάρτῳ βασιλείῳ· ζήτησον οὖν τὸ δορὺ καὶ τὸν φακὸν τοῦ ὕδατος.]

Φροῦδος Ἀττικοί· ἀφανὴς Ἕλληνες.

Φενακίζω, φενακισμός καὶ φέναξ λογογράφοι· φενάκη δὲ ποιητικώτερον.

Φλήναφος καὶ ἡ φλυαρία καὶ ὁ φλυαρῶν, ὥσπερ λῆρος καὶ ἡ ληρῳδία καὶ ὁ ληρῶν. γράφεται δὲ καὶ φλυαρεῖν καὶ φληναφεῖν· ὡσαύτως καὶ φλυαρία. φλύαρος δὲ καὶ πολυλόγος καὶ πολυλογεῖν κοινά.

Φιλόγελως φιλόγελω Ἀττικοί· φιλογέλωτος δὲ Ἕλληνες.

---

1. φλαῦρον „MSS“ (OUD.) RRGBPO, Phav. p. 729. b. φαῦρον CDF. Monuerat Valckenarius ad Ammon. p. 174.

3. Φακὴ θηλυκῶς RREP. Φακόθηλυκῶς B. ἑψημένη B. φακοὶ δὲ „MSS“ (OUD.) RRGO. φακὸς δὲ BOx. φακεὶ CDPF. ἐπὶ πληθυντικοῦ om. BOx. 4. ὁ ἀνέψητος B. 5. καὶ παρὰ — ὕδατος in solo Ox exstant. 6. θείῃ Ox. τετάρτῳ βασιλείῳ] immo 1, cap. 26, 11., ubi pro ζήτησον est λάβε et post δόρυ: ἀπὸ προσκεφαλῆς αὐτοῦ.

9. Ἕλληνες D.

12. φλυαρῶν] φληναφῶν ἤγουν ὁ φλυαρῶν E. ὥσπερ λῆρος — ληρῶν om. ARb. 13. ληρῶν] λυλρῶν B. 14. φληναφῆ B.

16. Φιλογέλως iteratum in B. φιλόγελω „MSS“ (OUD.) RRBECDPO. φιλογέλω GF. φιλογέλωτος δὲ] φιλογέλως δὲ φιλογέλωτος E.

Φιλογύνης Ἀττικοὶ, οὐ φιλογύναιος.

Ὁ φθείρ Ἀττικὸν, ἡ φθείρ δὲ κοινόν· [ὡς] Πλούταρχος τοὺς τοῦ Σύλλα φθεῖρας.

Φάκελος δεδεμένον φορτίον. Συνέσιος ἐν ἐπιστολῇ· φάκελον ἐπιστολῶν Διογένει δούς. Θουκυδίδης· φακέλους ὕλης ἀγρίας. σφάκελος δὲ ὁ μετὰ φλεγμονῆς σπασμός, καὶ σφακελίζω τὸ φλεγμαίνω. Ἀριστείδης ἐν Μιλτιάδῃ· τοῦ πάθους αὐτῷ σφακελίσαντος.

Φθείρου σκωπτικὸν ἀντὶ τοῦ μετὰ φθορᾶς ἀπαλλάττου. Ἀριστοφάνης ἐν Πλούτῳ·

ἀλλὰ φθείρου καὶ μὴ γρύζης.

Φθῆναι κάλλιον ἢ φθάσαι.

---

1. οὐ] ὁ La.

2. Ὁ om. B, item G, sed in quo spatium vacuum relictum miniaturo. Ἀττικὸν LLBO. Ἀττικοὶ GCDPF. ὡς assumpsi ex solo B, ut intelligeretur λέγει vel simile quiddam, nec ipsa Plutarchi verba proferre voluisse grammaticus putaretur. Non exstant enim in vita Sullae, cap. 36. p. 474. e. 3. τοὺς ALaGBO. τὰς CDPF. Σύλλα corr. „*Pauwius ad Phrynich.* p. 135.“, quam quidem eius annotationem apud Lobeckium frustra quaero. σύλα Edd. συλα GB. φθεῖρας] Scribebatur φθείρας.

4. ἐπιστολῇ] 133. p. 270. d. 5. φάκλον B. φάκελλον Synesius. Διογένει δούς] διογεδοὺς B. Θουκυδίδης] II, cap. 77. 6. φακίλους B. φακέλλοις hodie Thucydides. ἀγρίας ALLGBO, idemque Ammonio (p. 141.) pro ἀργείας Valckenarius reddidit ad Herod. IV, cap. 62. ἀγροίας CDPF. φοροῦντες e Thucydide restitutum ibat Leopardus Emend. XI, 15. p. 225. Grut. σφάκελος] Novam § orditur B. 8. Μιλτιάδῃ] vol. III, p. 401. (II, 319. Df.) πάθους] τραύματος Aristides.

10. τοῦ om. B. ἀπαλλάττου] συμφθείρομαι τὸ μετ' ἄλλου φθείρομαι, καὶ ἐπὶ συνουσίας· καταφθείρω τὸ καταδαπανῶ, καὶ τελείως φθείρω. add. Επ. ῥ. 11. Πλούτῳ] v. 598.

12. γρύζης etiam Aristophanis libri quidam, apud quem vel γρύξης vel γρύζειν editur. γρύζεις Rb.

Φερεφάττα Πλάτων μόνος· Φερσεφόνη καὶ Περσεφόνη οἱ λοιποί. Περσέφασσα δὲ ποιητικώτερον.

Φθίνοντος μηνός Ἀττικοὶ, οὐχ ὑπολήγοντος. Συνέσιος ἐν ἐπιστολῇ· ἀλλὰ μή τι φθίνοντός γε μηνός.

Φθινόπωρον κάλλιον ἢ μετόπωρον.

Φαυλίζειν εἴποις, οὐκ εὐτελίζειν.

Φύραμα, οὐ ζύμη· καὶ φυραθέντα ἄλευρα, οὐκ ἐζυμωμένα.

Φυή οὐ μόνον ἡ ἡλικία, ἀλλὰ καὶ ἡ φυσικὴ χάρις. Ὅμηρος ἐν α΄ Ἰλιάδος·

οὐ δέμας, οὐδὲ φυὴν, οὔτ᾽ ἂρ φρένας, οὔτε τι ἔργα.

Ἀριστείδης ἐν τῷ ἐπὶ Ἀλεξάνδρῳ ἐπιταφίῳ· ἀγαθοῦ παντὸς φυὴν μετεσχηκυῖα.

Φοινικίς ἔνδυμα Λακωνικὸν, ὁπότε εἰς πόλεμον ἴοιεν, ὁμόχροουν αἵματι, ὡς ἂν, εἴποτε πληγῆναι συμβαίη, μὴ εἰς φιλοψυχίαν αὐτοὺς ἐμβάλη τὸ αἷμα ὁρώμενον.

---

1. Φερεφέττα La. Φερρέφαττα Fischerus ad Weller. I, p. 194. Πλάτων] Cratyl. p. 404. c., ubi est Φερρέφαττα. Περσεφόνη „MSS" (OUD.) RRGBCDPO. Περσεπόνη F. 2. Περσέφασσα „MSS" (OUD.) O. Περσέφασα RRGBCDP. Περσήφασα F.

3. ὑπολήγοντος RRGBEdd. λήγοντος Phav. p. 732. b. Συνέσιος — μηνός „MSS" (OUD.) RRGBCDPO. om. F. 4. ἐπιστολῇ] 4. p. 169. c. μήτι „MSS" (OUD.) RRGBCDP. μήτοι O ex Synesio.

5. A prioribus non seiungit B. Φθινόπωρων B.

6. Φαυλίζω τὸ ἐξευτελίζω E π. ρ.

7. ζύμη] ζήμη CDP. ἄλευρα om. E.

10. Ἰλιάδος] I, v. 115. 11. οὐδὲ FO. οὐ δὲ P. οὐ ALb GBCD. οὔτ᾽ ἂρ RRGCDP. οὔτ᾽ ἄρ᾽ B. οὔτ᾽ ἀρ᾽ FO.

13. ἐπιταφίῳ] vol. I, p. 153—154. (I, 143. Df.) 14. ἀγαθοῦ παντὸς] παντὸς καλοῦ Aristides.

15. ὁπότε] ὃ ἐνεδέδυντο, ὁπόταν E. ἴοιεν] ἀπίοιεν E.

16. εἴποτε iteratum in B. 17. ἐμβάλλῃ B.

Φάρμακα καὶ τὰ θεραπεύοντα καὶ τὰ φθείροντα· φαρμακεία δὲ ὡς ἐπιτοπολὺ ἡ διὰ δηλητηρίου τινὸς γινομένη βλάβη· φαρμακεύω μέντοι τὸ θεραπεύω μόνον, ὡς παρ' Ἱπποκράτει τὸ πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμά. γοητεία δὲ τὸ ἐπικλήσεσί τε καὶ ἐπῳδαῖς χρῆσθαι. λαμβάνουσι δὲ [ἄμφω τό τε φαρμακεύω καὶ γοητεύω καὶ τὰ ἐξ αὐτῶν ὀνόματα καὶ ἐπὶ λόγων καὶ ἠθῶν καὶ τοιούτων τινῶν· εὕρηται δὲ] τὰ φάρμακα καὶ ἐπὶ τῶν χρωμάτων, οἷον πολλοῖς φαρμάκοις διηνθισμένη εἰκών. Ἡρόδοτος ἐν τῇ πρώτῃ· οἱ προμαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι.

Φαρμακὸς ἀνήρ, φαρμακὶς δὲ γυνή. Ἀριστοφάνης ἐν νεφέλαις·

γυναῖκα φαρμακίδα.

Φοιτητής, ὁμιλητὴς καὶ πεπλησιακὼς κάλλιον λέγειν ἢ μαθητής.

Φονεὺς Ἀττικοί· ἀνδροφόνος Ἕλληνες.

---

2. ἐπιτοπολὺ „MSS“ (OUD.) RRGBECDPO. ἐπιπολὺ F. δηλιτρίον B. „διὰ δηλητηρίου etc.] λετηρίον γινομένον La. λητ. Lb a m. pr.“ 3. βλαβῆ B. 4. Ἱπποκράτει] Aphorism. I, 22. Ἱποκράτει B. τὸ ARaB. om. GEdd. 5. κυνέειν B. μὴ ALLRRGBO. om. CDPF. ἐπικλήσωσί τε Rb. 6. ἄμφω — εὕρηται δὲ accesserunt ex RaB. 7. γοητεύω καὶ φαρμακεύω B. 8. λόγου B. εὕρεται Ra. 9. καὶ ἐπὶ „MSS“ (OUD.) RaGBCDPO. γὰρ ἐπὶ F. 10. διηνθισμένη εἰκὸν B. πρώτῃ] cap. 98. extr. 11. ἠνθισμένοι εἰσὶ „MSS“ (OUD.) RRGBO. ἠνθησμένοί εἰσι CDF. ἠνθησμένοι εἰσὶ P.

13. Continuat G. Diversis locis habent E. 14. νεφέλαις] v. 749., ubi est φαρμακίδ'.

16. Φοιτητής] φοιτήτης DP.

18. Ἕλληνες] Addunt CDPF: ἄλλως. φονεὺς Ἕλληνες· ἀνδροφόνος Ἀττικοί. Omittunt autem LLRRGBOxEO. Cf. p. 345, 20.

Φανός ἐπὶ λαμπάδος, ἀλλὰ μὴ ἐπὶ κερατίνου λέγε, τοῦτον δὲ λυχνοῦχον.

Φασιανοί ἵπποι. Ἀριστοφάνης ἐν νεφέλαις·

τοὺς φασιανούς, οὓς τρέφει Λεωγόρας.

φασιανικοί δὲ ὄρνεις.

Φερέγγυος καὶ ὁ ἐγγυητὴς πράγματός τινος εἰς τὸ ἐκπληρῶσαι αὐτό· Αἰσχύλος ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις·

ὢν ἐγὼ φερέγγυος,

καὶ ὁ ἀσφαλὴς καὶ βέβαιος· ὁ αὐτὸς Αἰσχύλος ἐν τῷ αὐτῷ δράματι·

φερέγγυον φρούρημα.

Φάσκαλος ὁ ἐκ δέρματος ὁ λεγόμενος ἰδιωτικῶς τζαμανδᾶς, ἐν ᾧ τὰ ἱμάτια φέρομεν· φασκώλιον δὲ δερματινόν τι πηρίδιον. Λιβάνιος ἐν ἐπιστολῇ· λόγον τε κομίζων καὶ φασκώλιον κενὸν, ὅπως τὸν μὲν εἴπῃ, τὸ δὲ μικρὸν ὂν ἐμπλήσῃ.

---

1. *ἐπὶ τοῦ κερατίνου* Phav. p. 728. b. *τοῦτον* CDP. *τοῦτο* GBFO. 2. *λυχνοῦχον λέγε* Phav.

3. *Φασιοανοὶ* B. *ἵππον* D. *νεφέλαις*] v. 109.

4. *τρέφη* (ει supra) B. 5. *Λεώγορας* CDP. *Λέωγόρας* B. 6. *φασιανισκοι* B. *ὄρνεις* ALaRROxO, Herodian. p. 466. Piers. *ὄρνις* GBCDPF.

8. *Αἰσχύλος*] Immo Sophocles Electr. v. 942. Fortasse Aeschylium exemplum intercidit e Sept. v. 396. aut 470. 10. *καὶ ὁ* „*MSS*“ (*OUD.*) GBECDPO. *ὁ* om. F. *ἀσφαλῆς* P. *βέβαιος*] *ὁ βέβαιος* E. *ὁ αὐτός Αἰσχύλος*] *ὡς ὁ αὐτὸς* RaB.
11. *δράματι*] v. 449.

13. *Φάσκαλος* LLBRGBECDP, Ammonius p. 141. ante Valckenarium. *Φάσκωλος* FO. Quod ut verum sit, non necesse est ita Thomas scripserit. *ὁ ἐκ*] *ὁ* om. Rb. *ἰδιωτικὸς* C. τ)ζαμανδοῖς B. 14. *δερμάτι νόντι* B. 15. *ἐπιστολῇ*] 175. p. 84. *λόγόν τε* GBFO. *λόγόν τι* CD. *λόγον τὶ* P. 16, *τὸν μὲν* ALLRRGO. *τὸ μὲν* BCDPF. 17. *εἴποι* Libanius Wolfii.

Φάγαινα Ἀττικοὶ, οὐ φαγέδαινα.

Φεύγω τὸ κατηγοροῦμαι· καὶ φυγὴ ἡ κατηγορία. ἀποφεύγω δὲ, ὅταν νικήσας ἀπολυθῶ τῆς κατηγορίας· καὶ ἀποφυγὴ ὡσαύτως. διώκω δὲ τὸ κατηγορῶ καὶ τὸ ζητῶ καὶ τὸ ἀπωθοῦμαι· καὶ δίωξις ἡ κατηγορία καὶ ἡ ζήτησις καὶ τὸ ἀπωθεῖσθαι. τὸ δὲ διωγμός ἀδόκιμον.

Φράσον ἀντὶ τοῦ εἰπέ· φράσαι δὲ ἀντὶ τοῦ διανοήθητι. Ὅμηρος ἐν α' Ἰλιάδος·

σὺ δὲ φράσαι, εἴ με σαώσεις.

Φριμάττεσθαι ἐπὶ τράγου· φρυάττεσθαι δὲ ἐπὶ ἵππου, καὶ φρύαγμα. Σοφοκλῆς ἐν Ἠλέκτρᾳ·

φρυάγμαθ' ἱππικά.

Φθοῖς παρ' Ἀττικοῖς πλακούντιόν [τι] πλατὺ καὶ περιφερὲς, ὃ παρ' Ἕλλησι λέγεται πόπανον. Ἀριστοφάνης ἐν Πλούτῳ·

τοὺς φθοῖς ἀφαρπάζοντα καὶ τὰς ἰσχάδας.

Τὸ φθάνειν ὅταν μὲν πρός τινα ἐρίζοντα λέγηται, τὸ προ-

---

ante quem legebatur coniunctivus. Pergit Libanius: τὸ δ' ἐμπλήσῃ (ἐμπλῆσαι Wolf.). σοὶ δ' ἄμφω πρέπει, τὸν μὲν δέξασθαι, τὸ δὲ μικρὸν ὂν ἐμπλῆσαι. In A est ἐμπλήσει. ὂν om. RR.

1. Ἀττικοὶ] πάθος τι ἀνίατον E. Ἀττικὸν Lb.

5. ἀπωθοῦμαι ALLRRGO. ἀποθοῦμαι BCDPF. 6. ἀπωθεῖσθαι „*MSS*" (*OUD.*) RRGCPO. ἀποθεῖσθαι BDF. τὸ δὲ] καὶ τὸ Lb.

9. Ἰλιάδος] I, v. 83. 10. εἴ μεσα ὤσεις B.

11. τράγου] Inserit B φρυάττεσθαι δὲ ἐπὶ τράγου.

12. φρύασμα B. Ἠλέκτρᾳ] v. 717.

14. Hanc § om. Rb. Ὁ φθοῖς La. πλακούντιόν τι] τι add. RaBE. om. GEdd. 16. Πλούτῳ] v. 677.

17. τοῦς F. ἀφαρπάζοντα „*MSS*" (*OUD.*) GBCDPO. ἀφαρπάσοντα F.

19. λέγεται B.

λαμβάνειν δηλοῖ· ὅταν δὲ πρὸς τὸ τέλος τῆς κινήσεως ὁ κινούμενος ᾖ, τὸ καταλαμβάνειν. καθὸ σημαινόμενον λέγεται τὸ οὐκ ἂν φθάνοις ἰὼν εἰς τὸ δικαστήριον, ἤγουν οὐκ ἂν καταλαμβάνοις τοὺς ἕλκοντας, οὕτω σε ἕλξουσι συντόμως. ἀπὸ μεταφορᾶς τούτου λέγεται καὶ ἐφ᾽ ἑτέρων, οἷον οὐκ ἂν φθάνοιτε ἀποθνήσκοντες, ἤγουν ἀνάρπαστοι γενήσεσθε. ἀπὸ τούτου αὖθις κατὰ μεταφορὰν καὶ τὸ διαρκεῖν.

Ἔστιν ὅτε οἱ ῥήτορες ὡραϊσμοῦ χάριν μεταφορικοῖς τισι χρῶνται ὀνόμασι, λέγοντες φρόνημα θαλάσσης καὶ χειμῶνος αὐθάδεια καὶ κυνῶν ἀγορά καὶ ἔθνος κοράκων καὶ εἴ τι τοιουτότροπον.

Φίλιος ὁ τῆς φιλίας ἔφορος θεός, καὶ φίλιος ἀγρός ὁ φι-

---

1. *προλαμβάνειν* „*MSS*“ (*OUD.*) RaGBCDPO. Consentit Mosch. Syll. f. 162. a. et cum hac Phavor. p. 732. a. *προσλαμβάνειν* F.
2. *τὸ* om. B. 4. *καταλαμβάνοις τοὺς* „*MSS*“ (*OUD.*) RaG, Mosch., Phav. *πρ̈ολαβοις τοὺς* B. *καταλαμβάνοις εἰς τοὺς* CDPF. Addita quaedam ap. Mosch., Phav. *οὕτω σε*] *οὕτως* La. *οὕτωσε* (ε suprascr.) B. 5. *συνότομως* B. *μεταφορᾶς*] *μητα φθορᾶς* B.
6. *οἷον*] Ad Euripid. Orest. v. 926. *οὐ φθάνοιτ᾽ ἔτ᾽ ἂν θνήσκοντες* haec spectare monuit Piersonus ad Herodian. p. 452. 7. *γενήσεσθε* „*MSS*“ (*OUD.*) RaGBPO, Phav. *γενήσεσθαι* CDF, Mosch. *In margine cod. Ox additur*: *πανταχοῦ μοι δοκεῖ ἀντὶ τοῦ προφθάνειν εἶναι. τὸ γὰρ φθάνω εἴτινες γράφουσι ἀντὶ τοῦ καταλαμβάνω, οὐ μετοχῇ συντάσσονται· ἀλλ᾽ ἢ τινά, ἢ εἴς τινα τόπον· τὸ δὲ οὐκ ἂν φθάνοις ἰὼν εἰς δικαστήριον, Ἀττικόν ἐστιν ἔθος, οἷα πολλὰ ποιοῦσιν.*

9. Hanc § cum superiore sic conglutinarunt GCDPF: *καὶ τὸ διαρκεῖν ἐστιν, ὅτε οἱ ῥήτορες.* Sed *καὶ τὸ διαρκεῖν. Ἔστιν ὅτε οἱ ῥήτορες* ALLRaB, et (quanquam non novam § ordiens) O.
11. *αὐθάδειαν* B. 12. *τοιοῦτό τρόπου* B.

13. Pro *φίλιος* ter *φίλως* B. *ὁ φιλικός* LLRaGBOxECDPO. om. F. Sic autem E pergunt: *καὶ ἁπλῶς πᾶν κτῆμα, ὃ παρ᾽ ἡμῖν ἐστι δι᾽ ἐφέσεως, φίλιον λέγεται.*

λικός· καὶ φίλιος πόλις· Θουκυδίδης δὲ φιλία πόλις λέγει, φησὶ γάρ· νομίζοντες πόλιν τε σφίσιν ἀπὸ παλαιοῦ φιλίαν, τουτέστι φίλην. καὶ πάλιν· ἐν γῇ φιλίᾳ τίθεται.

Φανθείς καὶ ἀποφανθείς Ἀττικοὶ λέγουσιν, οὐ φανείς οὐδὲ ἀποφανείς. Ἀριστείδης ἔν τινι τῶν ἱερῶν· ταυτὶ ἦν τὰ φανθέντα. καὶ πάλιν ἐν τῷ Παναθηναϊκῷ· ὡς τὸ μὲν προσθήκην μικρὰν αὐτοῖς ἀποφανθῆναι.

Φοβερόν τὸ φόβον ἐμποιοῦν, ἐπίφοβον δὲ τὸ φοβούμενον. ὥσπερ καὶ φθονερόν τὸ φθόνῳ χρώμενον, ἐπίφθονον δὲ τὸ φθονούμενον.

Φύσις οὐσίας διαφέρει. οὐσία μὲν γάρ ἐστιν ἡ ἑκάστου ὕπαρξις, φύσις δὲ ἡ ἐνοῦσά τινι δύναμις, οἷον φύσις τῆς γῆς τὸ βλαστάνειν βοτάνας, καὶ φύσις τοῦ πυρὸς τὸ θερμαίνειν. ἀφ' οὗ καὶ εὐφυὴς ὁ εὖ ἔχων τῆς φύ-

---

1. *Θουκυδίδης*] V, cap. 44. 2. *σφίσι* La. 3. *φιλίαν ἀπὸ παλαιοῦ* Thucydides. *φίλην*] *φίλω* B. *πάλιν*] III, cap. 58. 4. *γῇ* ALLRaGBO. *τῇ* CDPF. *γῇ τε* Thucydides. *τίθεται* RaGBEdd. om. Rb. *τιθέναι* Thucydides.

5. Omittit hanc § Rb. *οὐδὲ*] *οὐδ'* LaB. 6. *ἀποφανείς*] *ὑποφανεὶς* La. *Ἀριστείδης*] vol. I, p. 485. (I, 448. Df.) *ταυτὶ ἦν* GBEdd. *ταυτηὶ* Ra. *ταῦτ' ἦν* Aristides. 7. *Παναθηναϊκῷ*] vol. I, p. 208. (I, 195. Df.) 8. *προσθήκην*] *πραθήκην* B. *αὐτοῖς* „*MSS*“ (*Ol. D.*) GBEdd., duo Barocciani Aristidis quanquam correcti, pro *αὐτῆς* vulgato.

10. In E sic est: *Φοβερὸς ὁ φόβον ἑτέροις ἐμποιῶν· ἅπαξ δὲ καὶ ὁ φοβούμενος· ἐπίφοβον δὲ ἀεὶ τὸ φοβούμενον σημαίνει.* Quae petita videntur e Moschop. Syll. f. 162. b.

13. *ἐστιν* om. B. *ἑκαστη* (ου) B. 14. *τινι*] *τίς τινι* A. 15. *τὸ βλαστάνειν*] *τὸ* om. P. *τὸ ἀναβλαστάνειν* Ra, ut Moschop. Syll. f. 162. b. *καὶ φύσεις* B. 16. *ἀφ' οὗ — ἀφυΐα* om. Rb. (nihil discrepat Ra.)

σεως, καὶ ἀφυὴς ὁ τούτῳ ἐναντίως ἔχων. καὶ εὐφυΐα καὶ ἀφυΐα. ἰστέον δὲ, ὡς οὐ μόνον ἐπὶ ἀνθρώπων ταῦτα λέγεται, ἀλλὰ καὶ ἐπὶ φυτῶν καὶ ἐπὶ γῆς· καὶ γὰρ καὶ εὐφυὲς καὶ ἀφυὲς φυτὸν λέγομεν καὶ τὸ τῆς γῆς εὐφυὲς καὶ ἀφυές. λέγεται φύσις καὶ τὸ φυσικὸν προτέρημα, οἷον κάλλος ἤ τι τοιοῦτον. Εὐριπίδης ἐν Ὀρέστῃ·

ὦ φύσις, ἐν ἀνθρώποις ὡς μέγ' εἶ κακόν,
τὸ τῆς Ἑλένης ἐμφαίνων κάλλος. [ἐπὶ δὲ θεοῦ φύσις καὶ οὐσία ταὐτόν.]

Φυσᾶν τὸ σφοδρῶς πέμπειν πνεῦμα ἐκ τοῦ στόματος· ἀφ' οὗ καὶ φυσώδη ὄσπρια τὰ ἐμποιοῦντα πνεύματα. φυσᾶν ἀπὸ τούτου [καὶ] τὸ ὀγκοῦσθαι καὶ ἐπαίρεσθαι. Αι-

---

1. τούτου B. 2. εὐφυία καὶ ἀφυία CDP. ἰστέον] Novam § orditur B. 4. καὶ γὰρ καὶ ALLGB. καὶ γὰρ Edd. καὶ τὸ τῆς γῆς εὐφυὲς (εὐφίες B) καὶ ἀφυές, omissa in Edd., accesserunt ex RaGB. Eadem in A subiiciuntur fini notationis, annexis sine distinctione λέγεται φύσις. Eo quo nos posuimus loco λέγεται φύσις habent LaRaB, item om. Edd., pro quibus φυτὸν λέγομεν, prioribus astrictum, G et marg. B tenent. 7. Ὀρέστῃ] v. 126. 8. ἐν om. La. ἀνθρώποισιν Moschop., Euripides.
10. τὸ — κάλλος om. Ra, et praecedentia Rb. In B illorum loco posita haec: Φυσᾶν τὸ σφοδρῶς πέμπειν πνεῦμα ἐκ τοῦ στόματος· ἀφ' οὗ καὶ φυσώδη ὄσπρια τὰ ἐμφαίνων (sic) κάλλος.
ἐπὶ δὲ θεοῦ — ταὐτόν soli addunt RaB.

12. Initium huius notationis, quam totam om. Rb, B iam posuerat antea, hic iteravit. Φυσσᾶν B. πνεῦμα] πνεύματα Ra. 13. φυσσώδη G. πνεύματα ALLG, Phav. p. 740. b., Mosch. Syll. f. 162. b. πνεῦματα B. πνεῦμα CDPF. πνεύμα O. φυσσᾶν LbG. 14. [καὶ] accessit ex RaB. ὀγκοῦσθαι ALLRaGBO, Iun., Mosch., Phavorinus auctior his: Ἀριστοφάνης· (Nub. 405.) ἔνδοθεν αὐτὰς ὥσπερ κύστιν φυσᾷ, quae non exstant in Sylloga. ὀγκᾶσθαι CDPF. καὶ τὸ ἐπαίρεσθαι A LaO. τὸ om. GBEdd.

Λιβάνιος ἐν προθεωρίᾳ μελέτης τῆς Τῷ κατορθώσαντι πόλεμον· φυσᾷ καὶ σοβεῖ καὶ θυμοῦσθαι δοκεῖ.

Φλοιός τὸ ἐκτὸς τοῦ δένδρου, φλιαί δὲ θηλυκῶς αἱ τῶν θυρῶν παραστάδες.

Φάσματα λέγεται τὰ ἐν ὕπνῳ φαινόμενα καὶ ὅσα φαντάζουσι τὰ δαιμόνια νύκτωρ ἢ μεθ' ἡμέραν ἐν ταῖς ἐρημίαις ἀπὸ τοῦ ἀέρος λαμβάνοντα μορφάς, οἵας ἂν ἐθέλωσι. λέγε οὖν φάσμα, ὡς Ἀττικοί, καὶ μὴ φάντασμα· φαντάζω δὲ καὶ φαντάζομαι. εὕρηται δὲ καὶ φαντάζομαι τὸ ἁπλῶς φαίνομαι. Εὐριπίδης ἐν Ὀρέστῃ·

μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,

ἤγουν φαίνεται. λέγεται δὲ φαντάζεσθαι καὶ τὸ ἀνατυποῦσθαι καὶ ἀναπλάττειν, ὡς ἔχει καὶ ἡ φαντασία καὶ τὸ φανταστικὸν πνεῦμα.

---

1. *Λιβάνιος*] vol. I, p. 700. (IV, p. 513, 8.) *τῆς*] *τίς* Iun. *κατορθῶσαν τι* B. 2. *φυσσᾷ* LbG. *σωβεῖ* B. *θυμοῦσθαι* ALLRaGBO, Libanius. *ὀγκᾶσθαι* CDPF. *ὀγκοῦσθαι* Iun.

5. *φλιαὶ* GBEEdd. *φλοιαὶ* A.

6. Hanc notationem om. Rb. *λέγονται* B. 8. *τοῦ*] *τὸν* B. *ἂν — μὴ* om. B. 9. *φάσμα* ALLRaGOx. *φάσματα* Edd. 10. *φάντασμα* ALLGBOx. *φαντάσματα* Edd. *φάσματα* Ra. *φαντάζω δὲ*] *δὲ* om. Ra, novam hinc § ordiens. *εὕρηται* (*εὕρεται* Ra) *δὲ καὶ φαντάζομαι*, omissa in GEdd., accesserunt ex ALLRaBOx. *φαντίζομαι* coni. Oudendorpius. 11. *Ὀρέστῃ*] *Φοινίσσαις* corrigere Valckenarius volebat ad v. 93. Porsono autem ad Orest. v. 1263. sic supplendus videtur Magister: *Εὐριπίδης ἐν Ὀρέστῃ· [ὅδε τίς ἐν τρίβῳ φαντάζεται. καὶ ἐν Φοινίσσαις·] μή τις πολιτῶν* c. q. s. Cf. Dobreum ad Aristoph. Plut. v. 601. Frequentior grammatici error est in permutandis fabularum nominibus, quam ut istiusmodi coniecturis sit fidendum.
14. *καὶ τὸ* ALLRaGBO. *τὸ* om. CDPF.

Φροντιστήρια τὰ διδασκαλεῖα τῶν φιλοσόφων. λέγοιντο δ' ἂν οὕτω καὶ τὰ παρ' ἡμῖν μοναστήρια, ὡς τῆς ὄντως φιλοσοφίας ἐνταυθοῖ μελετωμένης.

Φωνή λογογράφοι, αὐδή δὲ ποιηταί.

Φορὸς ἄνεμος ὁ τοῖς πλέουσι δεξιός· καὶ φορὸς ἡ συκῆ σύκων ἤγουν φορὰν σύκων ἔχουσα. καὶ γῆ φορὸς καρπῶν, ὅθεν καὶ πάμφορος γῆ ἡ πάντα φέρουσα.

Φορά ῥητόρων καὶ ἄλλων τινῶν· καὶ φορά ἡ εἰσφορά. Λιβάνιος ἐν ἐπιστολῇ· ἔπειθ' ὑπὲρ ἀρχαίας ἐνοχλεῖται φορᾶς. καὶ πάλιν ἐν ἐπιστολῇ· ἔπειτα ἐν ταῖς φοραῖς μὴ μεῖζον ἔστω τῆς νεὼς τὸ φορτίον.

Τὸ φοβοῦμαι καὶ πρὸς ἀπαρέμφατον συντάσσεται καὶ πρὸς ὄνομα, οἷον φοβοῦμαι τεθνήξεσθαι καὶ φοβοῦμαι θάνατον.

Τὸ φυτεύειν ἐπὶ φυτῶν λέγεται, ἤγουν τὸ τὴν ῥίζαν αὐτῶν

---

1. Omittit hanc § Rb. λέγοιν τοδ' C. λέγοντο δ' B. 2. οὕτως F. καὶ τὰ „MSS" (OUD.) GBO. καὶ om. CDPF. ἡμῖν „MSS" (OUD.) RaGBEO. ἡμῶν CDP, Mosch. Syll. f. 162, b. ὑμῶν F. ὄντος B. 3. φιλωσοφίας P. ἐνθαυθοῖ B.

5. δεξιάν B. συκὴ RaP. συκῇ F. 6. καρπῶν] Addit margo Ox: μετὰ μὲν συνθήκης ἐπὶ τούτου χρήσιμον, οἷον εὔφορος ἢ πάμφορος. μόνον δὲ οἶμαι ἀδόκιμον.

8. Omittit hanc § Rb. 9. ἐπιστολῇ] 244. p. 124. ἀρχαίοις B. 10. ἐν ἐπιστολῇ om. B. Est ibidem. 11. ἔσται Ra.

13. Hanc quoque § om. Rb. ἀπαρέμφατον] τοῦ μέλλοντος add. Phav. p. 736. a. om. RaGBEdd. 14. τεθνήξεσθαι B. βοβοῦμαι B. θάνατον] Θουκυδίδης, οὐ φοβούμεθα ἐλασσώσεσθαι. add. Phav. om. RaGBEdd.

16. Hanc notationem, omissam in GCDPF, hic collocat B, ex ALa Oudendorpius reposuit in O post voc. Φύσις p. 905., propter litterarum ordinem. Tenet etiam Moschopulus Syll. f. 162.

καταβάλλειν εἰς γῆν. ἀπὸ τούτου παρὰ ποιηταῖς καὶ ἐπ᾽ ἀνθρώπων, ὡς παρ᾽ Εὐριπίδῃ ἐν Ὀρέστῃ·

οὗτος φυτεύει Πέλοπα.

καὶ ἁπλῶς ἐπὶ τοῦ καταβάλλεσθαι ἀρχὴν ἐν πράγμασιν. εὕρηται δὲ καὶ φιτύειν ἀντὶ τοῦ σπείρειν ἐπὶ πατρός, καὶ παράγεται ἀπὸ τοῦ φῖτυς ὁ πατήρ, ὡς παρὰ Σοφοκλεῖ ἐν Αἴαντι μαστιγοφόρῳ·

ἐφ᾽ ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ᾽ ὁ φιτύσας πατήρ.

ἔστι δὲ δῆλον ἀπὸ τοῦ μέτρου, ὅτι τὸ φῑ ῑ γράφεται καὶ οὐ ψιλὸν ἀπὸ τοῦ φυτεύω.

Φόρος κυρίως τὸ ὑπὲρ τῆς ἰδίας εἰσφερόμενον γῆς· τέλος δὲ ἡ ὑπὲρ τῆς ἐμπορείας συντέλεια.

Φιλανθρωπία οὐ μόνον ἡ ἀπὸ τῶν ὑπερεχόντων εἰς τοὺς ἐλάττους εὐμένεια, ὡς ἡ τοῦ θεοῦ φιλανθρωπία περὶ

---

b. et haud leviter discrepans Phavorinus p. 741. a. Etiam in Ra exstare certum est propter Stoeberi annotationes. Coniicio autem Regii *a* eas esse scripturas, quae in O receptae tamen discrepant ab ipsis Oudendorpii codicibus. 1. *εἰς γῆν* om. Mosch., Phav. *ποιηταῖς* ALaB. *τοῖς ποιηταῖς* O. 2. *Ὀρέστῃ*] v. 11. 3. *οὗτως* B. *Πάλοπα* B. 4. *τοῦ καταβάλλεσθαι*] *τῷ καταβάλλειν* Mosch. 5. *εὕρεται* O. *εὕρηται δὲ καὶ* om. Phav. *δὲ* om. B, Mosch. *φιτύειν* correxi pro *φυτεύειν*, ac *φυτύειν* est in B. 6. *παράγοται* B. *φῖτυς*] *φίτυς* scribebatur. *φίτις* B. 7. *παρὰ Σοφοκλῆς* B. *Αἴαντι*] v. 1295.

9. *ἐπακτὸν* AB. *ἐπ᾽ ἀκτὸν* O. *ἐπ᾽ αὐτὸν* La. om. Mosch. *ἄνδρ᾽ ὁ φιτύσας* ALa, Moschop. *ἄνδρόφιτυσας* B. *ἀνδροφιτύσας* O. *MS. Reg. ex vulgata* (Sophoclis) *emendandum* ait Stoeberus.

11. *φι ι* ALa. *φῖ ΐ* BO. 12. *οὐ ψιλὸν*] *οὐψιλὸν* BO. *ὑψιλὸν* ALa. *τοῦ* ALaB. om. O. *φυτεύω* LaBO. *φιτεύω* A. „*L. φιτύω.*“ *OUDEND.*, perperam.

13. *τῆς* GBE. om. Edd. *γῆς*] *στῆς* B. 14. *ἡ* om. B. *ἐμπορείας* GBE. *ἐμπορίας* Edd.

ἡμᾶς καὶ τοῦ βασιλέως περὶ τὸν ὑπήκοον καὶ τῶν ἀρχόντων περὶ τοὺς ὑπὸ χεῖρα, ἀλλὰ καὶ ἡ τινος ἁπλῶς πρὸς ὁντινοῦν φιλία καὶ διάθεσις ἀγαπητική. Αἰσχίνης· τούτου προσποιησάμενος ἐραστὴς εἶναι καὶ τὸ μειράκιον εἰς τὴν φιλανθρωπίαν ταύτην προσκαλεσάμενος. καὶ πάλιν· διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης.

Φωρῶ τὸ ὑπονοῶ· καὶ καταφωρῶ τὸ κατάδηλον ποιῶ. Λουκιανὸς ἐν τῷ Μίκυλλος ἢ ἀλεκτρυών· ἀναβοήσαντά με καταφωρᾶσαι αὐτόν. καὶ φωρῶμαι παθητικῶς τὸ κατάδηλος γίνομαι.

Φαῦλος ἐπὶ θηλυκοῦ κάλλιον ἢ φαύλη. ὁ αὐτὸς ἐν εἰκόσιν· οὐ φαύλου συνέσεως παράδειγμα.

Φορταγωγὸν ναῦν φαμεν καὶ φορτίδα καὶ φορτητικήν. Θουκυδίδης ἐν τῇ ἕκτῃ· ἐπὶ πλοίου φορτητικοῦ.

---

1. *τὸν ὑπήκοον* RaPO. *τὸ ὑπήκοον* G. *τοῦ ὑπήκοον* CDF. *τοῦ ὑπηκόου* LaB. 2. *περὶ τοὺς* ALLRaGB. *πρὸς τοὺς* Edd. *ὑποχεῖρα* B. 3. *Αἰσχίνης*] in Timarch. p. 24. St. (167. Rk.) 5. *μηράκιον* B. *τὴν repetit Lb.* 6. *πάλιν*] de f. leg. p. 30. St. (200. Rk.) 7. *γνῶσιν*] *γώωσιν* CDP.

8. Hanc § om. Rb. *καταφορῶ* CDP. *κατάδηλον* ALLRaGBOxE*π.ϕ.*O, Phav. p. 741. c. *κατάδηλα* CDPF. *ποιῶ*] Pergunt E *π. ϕ.*: *καταφωρῶμαι δὲ ἐγὼ ἐπὶ παθητικῆς σημασίας, ὑφ' ἑτέρου δηλονότι.* 9. *Μίκυλλος* PFO. *Μίκυλος* LLGBCD. Est § 28. vol. II, p. 746. 10. *καταφωρᾶσαι*] Scribebatur *καταφωράσαι.* 11. *παθητικῶς* ALLRaGBOxO, Phav. *πάλιν ἀττικῶς* CDPF.

12. *ὁ αὐτὸς*] *Λουκιανὸς* FO. *Φιλόστρατος* Phav. p. 729. b. *ἐν εἰκόσιν* om. Phav. Est § 17. vol. II, p. 476. 13. *φαύλου*] *φαῦλον* Lucianus. *συνέσεως*] *συνέσιος* La. Addunt autem *τοῦτο* GEdd. om. ALaRaB, Lucianus ipse, et una cum proximo *παράδειγμα* Phavorinus.

14. Hanc quoque § om. Rb. *ναῶν* B. *φορτιτικήν* La. 15. *ἕκτῃ*] cap. 88. *φορτητικοῦ* bona pars librorum Thucydidis pro *φορτηγικοῦ* nunc recepto. *φορτικοῦ* LbB.

Φυγὴ καὶ ἡ δίωξις καὶ ἡ κατηγορία. Λιβάνιος ἐν ἐπιστολῇ· ὑπέρ τε τῆς πράσεως καὶ τῆς τῶν ῥητόρων φυγῆς. φυγὴ καὶ οἱ φυγάδες. Θουκυδίδης ἐν τῇ ὀγδόῃ· καὶ γὰρ καὶ φυγὴ αὐτῶν ἔξω ἦν ὑπὸ τῶν Ἀθηναίων παρὰ τοῖς Πελοποννησίοις. καὶ Ἀριστείδης ἐν τῷ πρὸς Θηβαίους περὶ συμμαχίας πρώτῳ· Φοιβίδου τὴν Καδμείαν καταλαβόντος τήν τε φυγὴν ἐδεχόμεθα.

Τὸ φοιτᾶν οὐ μόνον ἐπὶ τῶν εἰς διδασκάλους ἰόντων λέγεται, ἀλλὰ καὶ ἐπὶ τῶν ἐπί τι ἕτερον συνεχῶς. Πλάτων ἐν Φαίδωνι· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον. καὶ πάλιν ἐν Γοργίᾳ· ἐάν τις εἰς παλαίστραν φοιτήσας εὖ ἔχων τὸ σῶμα.

Ἰστέον ὅτι πάντα τὰ παρακελευσματικὰ ἐπιρρήματα, τὸ φέρε, τὸ δεῦρο, τὸ ἴθι καὶ τὸ ἄγε καὶ εἰς συμβουλευτικὰ ὑποτακτικὰ καὶ εἰς προστακτικὰ συντάσσονται. Ἀριστοφάνης ἐν νεφέλαις·

---

1. *ἡ δίωξις καὶ* ALLRaGBOxO, Phavorinus p. 739. b. quanquam mutilus. Nec in E omittitur, ut in CDPF. Cf. p. 381, 5. *ἐπιστολῇ*] 317. p. 152., quod exemplum iam p. 278, 8. excitatum. 3. *οἱ*] *οἱ ὦ* B. *φυγάδες*] *ὄντες ἔκ τινος πόλεως* add. E. 4. *ὀγδόῃ*] cap. 64. 5. *Πελοποννησίοις* RaBP. 6. *περὶ συμμαχίας*] ante *πρὸς Θηβαίους* collocat B. *ὑπὲρ συμμαχίας* Ra. 7. *πρώτῳ*] vol. II, p. 238. (I, 723. Df.) *φοιδίδου* (β superscr.) G. 8. *καταλαβόντος* ALaGBO. *καταλαβόντες* CDPF, Aristidis Augustanus.

10. *ἐπὶ τῶν* ALLRaGB, Phav. p. 736. c, om. Edd. *συνεχῶς* post *διδασκάλους* collocandum Stoebero videtur. 11. *Φαίδωνι*] p. 60. c. 12. *Γοργίᾳ*] p. 456. d. *Φοιτῶ τὸ συχνῶς εἴς τι πορεύομαι, καὶ τὸ μαίνομαι.* Επ. ῥ.

14. *πάντα ἐπιρρήματα τά παρακελευσματικὰ* Ra. 15. *δεύρο* P. *τὸ ἄγε καὶ τὸ ἴσθι* B. 16. *συμβουλευτικὰ καὶ ὑποτακτικὰ* La. *προσταχτικὰ συντάσσονται* ALLOxO, Phav. p. 730. a. *προταχτικὰ συντάσσονται* RaGB. *προυταχτικὰ λέγονται* CDPF. 17. *νεφέλαις*] v. 21.

φέρ' ἴδω, τί ὀφείλω;

ὁ αὐτὸς ἐν τῷ αὐτῷ·

φέρε δή μοι φράσον·
συνηγοροῦσιν ἐκ τίνων;

καὶ πάλιν ἐν τῷ αὐτῷ·

δεῦρ' ἔλθ', ἵνα κλάῃς.

[καὶ] Πλάτων ἐν Γοργίᾳ· ἴθι δὴ καὶ τόδε ἐπισκεψώμεθα. καὶ πάλιν ἐν τῷ αὐτῷ· ἴθι δή μοι ἀπόκριναι οὕτως. καὶ πάλιν ἐν [ταῖς] πολιτείαις· ἀλλ' ἄγ' ἐπειδὴ τοῦτ' ἀπετελέσαμεν, ἀναμνησθῶμεν, πόθεν δεῦρο ἐξετραπόμεθα. Ἀριστοφάνης ἐν νεφέλαις·

ἄγε δὴ ταχέως τουτὶ ξυνάρπασον.

τίθενται δὲ ἔστιν ὅτε τὸ ἄγε καὶ τὸ φέρε καὶ ἀσύντακτα ἐπιφερομένων ἐρωτήσεων. Πλάτων ἐν Γοργίᾳ· φέρε δὴ [ἡ] ῥητορικὴ περὶ τί τῶν ὄντων τυγχάνει οὖσα; Ἀριστείδης ἐν τῷ εἰς Δία· ἄγ' ὦ πάντ' εἰδυῖαι, πόθεν ἀρξώμεθα; εἰσὶ δὲ ταῦτα πάντα καὶ ῥήματα προστακτικά. τὸ δεῦρο δὲ καὶ ἀντὶ τοῦ ἐνταῦθα.

---

2. *τῷ αὐτῷ*] v. 1088. 4. *συνηγοροῦσιν ἐκ τίνων* om. B. 5. *τῷ αὐτῷ*] v. 58. 6. *δεῦρο* B. *ἔλθ'*] *ἴθ'* A. 7. *καὶ* Edd. om. „*MSS*“ (*OUD.*) GB. *Γοργίᾳ*] p. 454. c. *ἴθι* D. *ἴθι* B. *τόδε*] *τὸ δ'* B. 8. *ἐν τῷ αὐτῷ* om. B. Est p. 449. a. 9. *οὕτω* Plato. *ταῖς* Edd. om. ALLGB. Platonicorum sedes me fugit. 10. *ἄγε* B. *τοῦτ'*] *τοῦ τ'* B. 11. *ἐξετραπόμεθα* ALLGBO. *ἐξετραπώμεθα* CDPF. 12. *νεφέλαις*] v. 775. 14. *τίθεται* B. *καὶ ἀσύντακτα* GBCDPF. *καὶ* om. „*MSS. optimi*“ (*OUD.*) O. 15. *Γοργίᾳ*] p. 449. d.

16. *δὴ*] Omissa Platonis quaedam. *ἡ* RaB, Plato. om. G Edd. *περὶ τί* F. *περὶ τὶ* B. *περί τι* GDP. *περὶ τὰ* C. *περὶ* O, imprudenter puto. 17. *τυγχάνειν* La. *εἰς Δία*] vol. I, p. 5. (p. 2. Df.) 18. *ἀρξόμεθα* B. *ἀρχώμεθα* Aristides hodie, olim *ἀρχόμεθα*. 19. *πάντα* om. B.

Χ.

Χρήστης ὁ δανείζων. Ἀριστοφάνης ἐν νεφέλαις·

ὑπὸ γὰρ τόκων χρήστων [τε] δυσκολωτάτων.

καὶ ὁ τὸ δάνειον δεχόμενος. Λιβάνιος ἐν ἐπιστολῇ· εἰ δεήσει με χρήστην ὄντα περινοστεῖν ἀδυνατοῦντα τὸ χρέος ἐκτῖσαι. δανειστὴς δὲ ὁ δανείζων μόνον.

Χρυσοῦς χρυσῆ καὶ χρυσοῦν εἴποις, οὐ χρύσεος χρύσεα καὶ χρύσεον· Ἰωνικὰ γάρ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ ἀργυροῦς καὶ χαλκοῦς καὶ τῶν ἄλλων.

Χρῆται, οὐ χρᾶται.

Χρηστότης, οὐκ ἀγαθότης οὐδ' ἀγαθοσύνη.

Χθιζός, οὐ χθεσινός. Ἀριστείδης· ὁ χθιζὸς ἡμῖν ἑστιάτωρ.

Καὶ ἐχθὲς καὶ χθές. Ἀριστοφάνης ἐν νεφέλαις·

ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.

---

1. νεφέλαις] v. 240. 2. τε B, FO ex Aristophane. om. „MSS" (OUD.) GCDP. δυκολωτάτων (ων superscr.) C. δυσκολωτάτον B. 4. δάνιον D. ἐπιστολῇ] 644. p. 307. 5. δεήσει ALaRR O, Libanius. δέης B. δεῆ G. δέη LbP. δὲ ἡ CDF. 6. χρέως P. ἐκτῖσαι] Scribebatur ἐκτίσαι.

8. εἴποις — ἄλλων] καὶ τὰ ὅμοια, κρείττω τῶν ἀπολελυμένων E.

12. Χρύστότης B. ἀγαθοσύνη BEdd. ἀγαθωσύνη LbG.

13. Ἀριστείδης] περὶ τοῦ παραφθέγματος vol. III, p. 619. (II. 492. Df.) χθιζοῦς Rb. 14. ἑστιάτωρ BCDPF.

15. Continuant BE. χθές] ποιητικῶς add. E. νεφέλαις] v. 175. 16. δὲ om. Rb. 17. ἑσπέρας P. ἑσπερας B.

Συνέσιος ἐν ἐπιστολῇ· χθὲς καὶ πρώην ἐπὶ τῶν ἔναγχος ὑπάτων.

Χαιρήσεις, οὐ χαρήσῃ. Ἀριστοφάνης ἐν Πλούτῳ·

οὔ τοι μὰ τὴν Δήμητραν χαιρήσεις ἔτι.

Χαίρειν οὐ μόνον ἐπὶ ἡδονῆς, ἀλλὰ καὶ ἐπὶ τοῦ φθείρεσθαι. Ἀριστοτέλης· τὰ γὰρ εἴδη χαιρέτω, τερετίσματα γάρ εἰσι.

Χανδὸν πιεῖν Ἀττικοί. Συνέσιος ἐν τῷ περὶ προνοίας· ἀλλ' οὐδὲ χανδόν ποτε Ὄσιρις ἔπιε. κεχηνότως δὲ καὶ ἀθρόως Ἕλληνες.

Χολή καὶ χολᾷ ἐπὶ μανίας. Ἀριστοφάνης ἐν νεφέλαις·

σὺ δ' εἰς τοῦτο τῶν μανιῶν ἐλήλυθας,
ὥστ' ἀνδράσι πείθῃ χολῶσιν.

---

1. ἐν ἐπιστολῇ om. B. Est ep. 132. p. 268. d.

